a. 9r
2 Ex 90
280 A. gr. b. 3299 (2

Thucydides

ΘΟΥΚΥΔΙΔΟΥ ΣΥΓΓΡΑΦΗ

Mit

erklärenden Anmerkungen

herausgegeben

von

K. W. Krüger.

Zweiten Bandes erstes Heft, fünftes und sechstes Buch.

Berlin
bei K. W. Krüger
1846.

Bayerische Staatsbibliothek München

Von allen rechtmäßigen Exemplaren dieses Werkes führt jedes Heft hier den Stempel und die eigenhändige Namensschrift des Verfassers. Preis dieses Heftes Ein Rthlr.

BIBLIOTHECA
REGLA
MONACENSIS.

Bayerische
Staatsbibliothek
München

ΘΟΥΚΥΔΙΔΟΥ

ΣΥΓΓΡΑΦΗΣ Ε.

Τοῦ δ' ἐπιγιγνομένου θέρους αἱ μὲν ἐνιαύσιοι σπονδαὶ 1
διελέλυντο μέχρι Πυθίων. καὶ ἐν τῇ ἐκεχειρίᾳ Ἀθηναῖοι
Δηλίους ἀνέστησαν ἐκ Δήλου, ἡγησάμενοι κατὰ παλαιάν τινα
αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι, καὶ ἅμα ἐλλιπὲς σφίσιν 2
εἶναι τοῦτο τῆς καθάρσεως ἢ πρότερόν μοι δεδήλωται ὡς
ἀνελόντες τὰς θήκας τῶν τεθνεώτων ὀρθῶς ἐνόμισαν ποιῆ-
σαι. καὶ οἱ μὲν Δήλιοι Ἀτραμύττιον Φαρνάκου δόντος αὐ-
τοῖς ἐν τῇ Ἀσίᾳ ᾤκησαν, οὕτως ὡς ἕκαστος ὥρμητο.

Κλέων δὲ Ἀθηναίους πείσας ἐς τὰ ἐπὶ Θρᾴκης χωρία 2
ἐξέπλευσε μετὰ τὴν ἐκεχειρίαν, Ἀθηναίων μὲν ὁπλίτας ἔχων
διακοσίους καὶ χιλίους καὶ ἱππέας τριακοσίους, τῶν δὲ ξυμ-
μάχων πλείους, ναῦς δὲ τριάκοντα. σχὼν δὲ ἐς Σκιώνην
πρῶτον, ἔτι πολιορκουμένην, καὶ προσλαβὼν αὐτόθεν ὁπλί-

C. 1. § 1. *αἱ μὲν ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων* der jährige Vertrag war erloschen und es war wieder Krieg bis zu den Pythien. (Hl.) vgl. Kr. zu Clinton F. H. p. 214 s. Dem *μέν* entspricht nicht *Κλέων δέ* 2, 1, sondern die nächstfolgende Erzählung. vgl. Reg. zu Xen. An. unter *μέν*. — *ἱερῶσθαι, ἱερῶς ἀνακεῖσθαι τῷ θεῷ.* (Sch.) *ἱεροὺς νενομίσθαι* Phot. p. 81.

§ 2. *τοῦτο* daß sie die Delier nicht weggeschaft. — *ᾗ. ἣν* Reiske. Jenes wird mit *ἀνελόντες* zu verbinden sein: durch welche sie — weggeschafft und damit recht, dazu Genügendes, gethan zu haben glaubten. (Gö.) — *πρότερον* 1, 8, 1. 3, 104, 1. (Hudf.) — *ᾤκησαν.* zu 1, 8, 1. — *ὥρμητο* dazu geneigt war. vgl. 6, 78, 4. (Bl.) Schwerlich richtig: wohl vielmehr: hingegangen war. vgl. 8, 23, 1. (Arn.)

τας τῶν φρουρῶν κατέπλευσεν ἐς τὸν Κολοφωνίων λιμένα,
2 τῶν Τορωναίων ἀπέχοντα οὐ πολὺ τῆς πόλεως. ἐκ δ' αὐτοῦ, αἰσθόμενος ὑπ' αὐτομόλων ὅτι οὔτε Βρασίδας ἐν τῇ Τορώνῃ οὔτε οἱ ἐνόντες ἀξιόμαχοι εἶεν, τῇ μὲν στρατιᾷ πεζῇ ἐχώρει ἐς τὴν πόλιν, ναῦς δὲ περιέπεμψε δέκα ἐς τὸν λιμένα περιπλεῖν. καὶ πρὸς τὸ περιτείχισμα πρῶτον ἀφικνεῖται ὃ προσπεριέβαλε τῇ πόλει ὁ Βρασίδας, ἐντὸς βουλόμενος ποιῆσαι τὸ προάστειον, καὶ διελὼν τοῦ παλαιοῦ τείχους μίαν
3 αὐτὴν ἐποίησε πόλιν. βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τε ὁ Λακεδαιμόνιος ἄρχων καὶ ἡ παροῦσα φυλακὴ προσβαλόντων τῶν Ἀθηναίων ἠμύνοντο. καὶ ὡς ἐβιάζοντο καὶ αἱ νῆες ἅμα περιέπλεον ἐς τὸν λιμένα περιπεμφθεῖσαι, δείσας ὁ Πασιτελίδας μὴ αἵ τε νῆες φθάσωσι λαβοῦσαι ἐρῆμον τὴν πόλιν καὶ τοῦ τειχίσματος ἁλισκομένου ἐγκαταληφθῇ, ἀπο-
2 λιπὼν αὐτὸ δρόμῳ ἐχώρει ἐς τὴν πόλιν. οἱ δὲ Ἀθηναῖοι φθάνουσιν οἵ τε ἀπὸ τῶν νεῶν ἕλόντες τὴν Τορώνην καὶ ὁ πεζὸς ἐπισπόμενος αὐτοβοεί, κατὰ τὸ διῃρημένον τοῦ παλαιοῦ τείχους ξυνεσπεσών. καὶ τοὺς μὲν ἀπέκτειναν τῶν Πελοποννησίων καὶ Τορωναίων εὐθὺς ἐν χερσί, τοὺς δὲ ζῶντας ἕλα-

---

C. 2. § 1. *τῶν Τορωναίων* verbinden Manche mit *λιμένα*.

§ 2. *ὑπ'*. *ἀπ'* Kr. vgl. 1, 125, 1. — *ὅτι οὔτε* für *ὅτι οὐδέ* Pp. — *τῇ* vor *πεζῇ* wird wohl in mehr als Einer Hs. fehlen. Statthaft wäre es nur, wenn man annehmen dürfte daß die Reiter nicht ausgeschifft worden; und auch dann würde man *τῇ μὲν πεζῇ στρατιᾷ* erwarten. *ἐς τόν* für *τόν* Pp. vgl. 5, 3, 1. — *περιπλεῖν*. Gr. 55, 3 A. 20. — *προσπεριέβαλε* außer der alten Mauer um die Stadt aufführte. — *ἐντός, τῆς πόλεως δηλονότι*. (Sch.) — *ποιῆσαι*. zu 1, 109, 3. vgl. 6, 67, 2. — *καὶ διελών* wie er auch ꝛc. Gr. 59, 2 A. 6. — *τοῦ τείχους*. Gr. 47, 15 A. 3. — *αὐτήν* für *αὐτά*. Gr. 61, 7 A. 1.

C. 3. § 1. *ἐβιάζοντο, ὑπὸ τῆς βίας τῶν Ἀθηναίων ἡττῶντο οἱ περὶ τὸν Πασιτελίδαν*. (Sch.) — *αὐτό, τὸ περιτείχισμα*. (Pp.) — *Πασιτελίδας* 4, 132, 6? — *τοῦ τειχίσματος, τοῦ καινοῦ τείχους, τοῦ περιτειχίσματος*. (Sch.) — *τὴν πόλιν, ἥτις ἦν ἐν τῷ παλαιῷ τείχει*. (Sch.)

§ 2. *αὐτοβοεί* kann seinem Begriffe und dem Sprachgebrauche des Thuk. gemäß (zu 2, 81, 3) nicht mit *ξυνεσπεσών* sondern nur mit *ἕλόντες* verbunden werden. (Kr.) — *τοῦ παλαιοῦ τείχους. τείχους τοῦ παλαιοῦ* eine gute Hs. Ich würde *τοῦ τ. τοῦ π.* erwarten. — *ζῶντας* ist Prädicat: *οἱ ἄλλοι δὲ οὓς ἔλαβον ζῶντες ἦσαν*.

βον καὶ Πασιτελίδαν τὸν ἄρχοντα. Βρασίδας δὲ ἐβοήθει 3
μὲν τῇ Τορώνῃ, αἰσθόμενος δὲ καθ' ὁδὸν ἑαλωκυῖαν ἀνε-
χώρησεν, ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθά-
σαι ἐλθών. ὁ δὲ Κλέων καὶ οἱ Ἀθηναῖοι τροπαῖά τε ἔστη-
σαν δύο, τὸ μὲν κατὰ τὸν λιμένα τὸ δὲ πρὸς τῷ τειχίσματι,
καὶ τῶν Τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν,
αὐτοὺς δὲ καὶ Πελοποννησίους καὶ εἴ τις ἄλλος Χαλκιδέων
ἦν, ξύμπαντας ἐς ἑπτακοσίους, ἀπέπεμψαν ἐς τὰς Ἀθήνας·
καὶ αὐτοῖς τὸ μὲν Πελοποννήσιον ὕστερον ἐν ταῖς γενομέναις 4
σπονδαῖς ἀπῆλθεν, τὸ δὲ ἄλλο ἐκομίσθη ὑπ' Ὀλυνθίων,
ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς. εἷλον δὲ καὶ Πάνακτον Ἀθηναίων
ἐν μεθορίοις τεῖχος Βοιωτοὶ ὑπὸ τὸν αὐτὸν χρόνον προδο-
σίᾳ. καὶ ὁ μὲν Κλέων φυλακὴν καταστησάμενος τῆς Τορώ-
νης ἄρας περιέπλει τὸν Ἄθων ὡς ἐπὶ τὴν Ἀμφίπολιν.

Φαίαξ δὲ ὁ Ἐρασιστράτου τρίτος αὐτὸς Ἀθηναίων πεμ- 4
πόντων ναυσὶ δύο ἐς Ἰταλίαν καὶ Σικελίαν πρεσβευτὴς ὑπὸ
τὸν αὐτὸν χρόνον ἐξέπλευσεν. Λεοντῖνοι γὰρ ἀπελθόντων
Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν πολίτας τε ἐπε-
γράψαντο πολλοὺς καὶ ὁ δῆμος τὴν γῆν ἐπενόει ἀναδάσασθαι.
οἱ δὲ δυνατοὶ αἰσθόμενοι Συρακοσίους τε ἐπάγονται καὶ 2
ἐκβάλλουσι τὸν δῆμον. καὶ οἱ μὲν ἐπλανήθησαν ὡς ἕκαστοι,
οἱ δὲ δυνατοὶ ὁμολογήσαντες Συρακοσίοις καὶ τὴν πόλιν ἐκλι-
πόντες καὶ ἐρημώσαντες Συρακούσας ἐπὶ πολιτείᾳ ᾤκησαν.
καὶ ὕστερον πάλιν αὐτῶν τινες διὰ τὸ μὴ ἀρέσκεσθαι ἀπο- 3

---

§ 3. φθάσαι, vor der Eroberung. (Hk.) — ξύμπαντας ohne Artikel. zu 1, 107, 4.

§ 4. αὐτοῖς τοῖς Πελοποννησίοις καὶ Χαλκιδεῦσιν, Dativ des Intereſſes. (Sch.?) — τὸ Πελοποννήσιον, οἱ Πελοποννήσιοι. (A. Ps.) Gr. 43, 4 A. 17. — ἀνὴρ λυθείς. zu 2, 103.

C. 4. § 1. πεμπόντων. zu 1, 89, 2. — μετὰ τὴν ξύμβασιν 4, 65, 2. (Ds.) — ἐπεγράψαντο, ἑτέρους ἐπὶ τοῖς οὖσιν ἐνεγράψαντο εἰς τὴν πολιτείαν. (Sch.) — ἀναδάσασθαι, ἐξ ὑπαρχῆς δασμὸν καὶ μερισμὸν ποιῆσαι. (Sch.) Ein antikes und daher in der att. Proſa ziemlich ſeltenes Wort. Gr. B. 2 § 39 unter δατέομαι. Ἀναδασμὸς γῆς findet ſich auch bei den Rednern.

§ 2 ὡς ἕκαστοι. zu 1, 3, 4. — ἐρημώσαντες, καταλιπόντες ἐρήμην. (Sch.) zerſtörten Ps. Dem Begriffe gemäß iſt wohl nur jenes. — ὁμολογήσαντες, συνθέμενοι. (Sch.) — ἐπὶ πολιτείᾳ, ἐπ' ἴσῃ πολιτείᾳ τῶν Συρακοσίων. (Sch.)

§ 3. μὴ ἀρέσκεσθαι unzufrieden ſein, wie ich es ſonſt

λιπόντες ἐκ τῶν Συρακουσῶν Φωκαίας τε τῆς πόλεώς τι τῆς Λεοντίνων χωρίον καλούμενον καταλαμβάνουσι καὶ Βρικιννίας, ὃν ἔρυμα ἐν τῇ Λεοντίνῃ. καὶ τῶν τοῦ δήμου τότε ἐκπεσόντων οἱ πολλοὶ ἦλθον ὡς αὐτοὺς καὶ καταστάντες ἐκ
4 τῶν τειχῶν ἐπολέμουν. ἃ πυνθανόμενοι οἱ Ἀθηναῖοι τὸν Φαίακα πέμπουσιν, εἴ πως πείσαντες τοὺς σφίσιν ὄντας αὐτόθι ξυμμάχους καὶ τοὺς ἄλλους, ἢν δύνωνται, Σικελιώτας κοινῇ, ὡς Συρακοσίων δύναμιν περιποιουμένων, ἐπιστρατεῦ-
5 σαι, διασώσειαν τὸν δῆμον τῶν Λεοντίνων. ὁ δὲ Φαίαξ ἀφικόμενος τοὺς μὲν Καμαριναίους πείθει καὶ Ἀκραγαντίνους, ἐν δὲ Γέλᾳ ἀντιστάντος αὐτῷ τοῦ πράγματος οὐκέτι ἐπὶ τοὺς ἄλλους ἔρχεται, αἰσθόμενος οὐκ ἂν πεῖσαι αὐτούς, ἀλλ' ἀναχωρήσας διὰ τῶν Σικελῶν ἐς Κατάνην καὶ ἅμα ἐν τῇ παρόδῳ καὶ ἐς τὰς Βρικιννίας ἐλθὼν καὶ παραθαρσύνας
5 ἀπέπλει. ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν καὶ πάλιν ἀναχωρήσει καὶ ἐν τῇ Ἰταλίᾳ τισὶ πόλεσιν ἐχρημάτισε περὶ φιλίας τοῖς Ἀθηναίοις, καὶ Λοκρῶν ἐντυγχάνει τοῖς ἐκ Μεσσήνης ἐποίκοις ἐκπεπτωκόσιν, οἳ μετα τὴν τῶν Σικελιωτῶν ὁμολογίαν στασιασάντων Μεσσηνίων καὶ ἐπαγαγομένων τῶν ἑτέρων Λοκροὺς ἔποικοι ἐξεπέμφθησαν καὶ ἐγένετο
2 Μεσσήνη Λοκρῶν τινὰ χρόνον. τούτοις οὖν ὁ Φαίαξ ἐντυχὼν τοῖς κομιζομένοις οὐκ ἠδίκησεν· ἐγεγένητο γὰρ τοῖς Λοκροῖς

---

nicht gebraucht finde. (Bl.) — *ἀπολιπόντες.* zu 3, 10, 1 u. Schömann z. Isä. p. 299. — *ὄν* dem Prädicat assimilirt. Gr. 63, 6 A. vgl. Heindorf zu Plat. Prot. 121. — *Φωκαίας* für *Φωκέας* einige gute Hss. — *τῶν τοῦ δήμου.* Gr. 47, 9. — *τότε* § 2. — *καταστάντες.* zu 2, 1. — *ἐπολέμουν, πρὸς τοὺς Συρακουσίους.* (Sch.)

§ 4. *κοινῇ* ist mit *ἐπιστρατεῦσαι*, dies mit *πείσαντες* zu verbinden. (Sch.)

§ 5. *ἀντιστάντος.* 5, 38, 5: *ἀντέστη τὸ πρᾶγμα.* (Pp.) Ungewöhnlich. — *οὐκέτι.* zu 4, 96, 1. — *ἄν.* Gr. 54, 6 A. 6. — *πεῖσαι.* Der Inf. bei *αἰσθάνομαι* ist viel seltener als bei den Gr. 56, 7 A. 9 erwähnten Verben. vgl. 6, 59, 3.

C. 5. § 1. *ἐχρημάτισε.* zu 1, 87, 4. (Dr.) — *τοῖς Ἀ.* Gr. 48, 12 A. 4. — *ἐποίκοις* verdächtigt Dobree. — *ἐκπεπτωκόσι.* Gr. 50, 10 A. 3. — *τῶν ἑτέρων* die eine Parthei. (Ba.) — *καὶ ἐγένετο.* Gr. 59, 2 A. 6. — *Λοκρῶν.* Gr. 47, 6 A. 7.

§ 2. *τοῖς κομιζομένοις. ἀποκομιζομένοις* Bk. Allein über *κομίζεσθαι* zu 2, 73, 2; über den Artikel Gr. 50, 11 A. 21. Doch

πρὸς αὐτὸν ὁμολογία ξυμβάσεως πέρι πρὸς τοὺς Ἀθηναίους. μόνοι γὰρ τῶν ξυμμάχων, ὅτε Σικελιῶται ξυνηλλάσσοντο, οὐκ ἐσπείσαντο Ἀθηναίοις, οὐδ' ἂν τότε, εἰ μὴ αὐτοὺς κατεῖχεν ὁ πρὸς Ἰτωνέας καὶ Μελαίους πόλεμος, ὁμόρους τε ὄντας καὶ ἀποίκους. καὶ ὁ μὲν Φαίαξ ἐς τὰς Ἀθήνας χρόνῳ ὕστερον ἀφίκετο.

Ὁ δὲ Κλέων ὡς ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν 6
ἐπὶ τὴν Ἀμφίπολιν, ὁρμώμενος ἐκ τῆς Ἠιόνος Σταγείρῳ μὲν προσβάλλει Ἀνδρίων ἀποικίᾳ καὶ οὐχ εἷλεν, Γαληψὸν δὲ τὴν Θασίων ἀποικίαν λαμβάνει κατὰ κράτος. καὶ πέμψας 2
ὡς Περδίκκαν πρέσβεις, ὅπως παραγένοιτο στρατιᾷ κατὰ τὸ ξυμμαχικόν, καὶ ἐς τὴν Θρᾴκην ἄλλους παρὰ Πολλῆν τὸν Ὀδομάντων βασιλέα, ἄξοντα μισθοῦ Θρᾷκας ὡς πλείστους, αὐτὸς ἡσύχαζε περιμένων ἐν τῇ Ἠιόνι. Βρασίδας δὲ πυν- 3
θανόμενος ταῦτα ἀνιεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ Κερδυλίῳ· ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων ἐπὶ μετεώρου πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον τῆς Ἀμφιπόλεως, καὶ κατεφαίνετο πάντα αὐτόθεν, ὥστε οὐκ ἂν ἔλαθεν αὐτόθεν ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ· ὅπερ προσεδέχετο ποιήσειν αὐτόν, ἐπὶ τὴν Ἀμφίπολιν, ὑπεριδόντα σφῶν τὸ πλῆθος, τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι. ἅμα δὲ καὶ παρεσκευάζετο Θρᾳκάς 4

---

würd' ich τοῖς lieber entbehren. — ὁμολογία hier von Präliminarien. (Pp.) — οὐδ' ἂν τότε, ἐσπείσαντο. — ἀποίκους, ἑαυτῶν, τῶν Λοκρῶν. (Sch.)

C. 6. § 1. ὡς. vgl. 3, 69, 1. 5, 10, 8. 8, 31, 1. (Kr.) — τότε 5, 3, 4.

§ 2. κατὰ τὸ ξυμμαχικόν. zu 1, 107, 4; über die Sache 4, 132, 1. (Hf.)

§ 3. καὶ αὐτός bezieht sich nur auf ἐκάθητο nicht auf ἀνθ — noch auf ἐπὶ Κερδυλίῳ. (Ba.) Theilweise ähnlich 5, 8, 1. 7, 73, 2 u. Arr. An. 5, 1, 6. — αὐτόθεν, das zweite, gehört zu οὐκ ἂν ἔλαθεν: er würde von dort aus bemerkt worden sein. (Pp.) Wenn es (nach Ba.) nicht zu tilgen ist. (Kr.) — προσεδέχετο, ὁ Βρασίδας. (Sch.) — ὑπεριδόντα mit Geringschätzung. vgl. 6, 104, 4. — πλῆθος. eb. u. zu 4, 10, 4. — σφῶν, τῶν Λακεδαιμονίων. (Sch.) Gr. 58, 4 A. 3. — ἐπὶ τὴν Ἀμφίπολιν verband schon der Sch. richtig nicht mit ὁρμώμενος sondern mit ἀναβήσεσθαι, das als Exegem zu ποιήσειν zu nehmen ist. vgl. Matth. Gr. § 476 u. Heindorf zu Plat. Phäd. § 50. (Pp.) vgl. 3, 59, 3. — τῇ παρούσῃ στρατιᾷ, οὐ περιμείναντα πάντας. (Sch.) vgl. 5, 7, 2.

τε μισθωτοὺς πεντακοσίους καὶ χιλίους καὶ τοὺς Ἄδωνας πάντας παρακαλῶν, πελταστὰς καὶ ἱππέας· καὶ Μυρκινίων καὶ Χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν Ἀμφιπόλει. τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη, δισχίλιοι μάλιστα, καὶ ἱππῆς Ἕλληνες τριακόσιοι. τούτων Βρασίδας μὲν ἔχων ἐπὶ Κερδυλίῳ ἐκάθητο ἐς πεντακοσίους καὶ χιλίους, οἱ δ' ἄλ-
7 λοι ἐν Ἀμφιπόλει μετὰ Κλεαρίδου ἐτετάχατο. ὁ δὲ Κλέων τέως μὲν ἡσύχαζεν, ἔπειτα ἠναγκάσθη ποιῆσαι ὅπερ ὁ Βρασίδας προσεδέχετο. τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ, ἀναλογιζομένων δὲ τὴν ἐκείνου ἡγεμονίαν πρὸς οἵαν ἐμπειρίαν καὶ τόλμαν μετὰ οἵας ἀνεπιστημοσύνης καὶ μαλακίας γενήσοιτο καὶ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνῆλθον, αἰσθόμενος τὸν θροῦν καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ
2 αὐτῷ καθημένους βαρύνεσθαι ἀναλαβὼν ἦγεν. καὶ ἐχρήσατο τῷ τρόπῳ ᾧπερ καὶ ἐς τὴν Πύλον εὐτυχήσας ἐπίστευσέ τι φρονεῖν· ἐς μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν οἱ ἐπεξιέναι οὐδένα, κατὰ θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν τοῦ χωρίου, καὶ τὴν μείζω παρασκευὴν περιέμενεν, οὐχ ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται, περισχήσων, ἀλλ' ὡς κύκλῳ περιστὰς βίᾳ αἱ-
3 ρήσων τὴν πόλιν. ἐλθών τε καὶ καθίσας ἐπὶ λόφου χαρτεροῦ

C. 7. § 1. τῇ ἕδρᾳ, τῇ διατριβῇ καὶ τῇ ἀργίᾳ. (Sch.) καθέδρα 2, 18, 3. (Gö.) — πρὸς οἵαν μετὰ οἵας. Gr. 51, 14 A. 1. — οἴκοθεν steht ſchärfer betont vor ὡς. Gr. 54, 17 A. 7. — ξυνῆλθον. ξυνεξῆλθον Dobree. zu 3, 111, 1. — διὰ τό verdächtigt Ba. Py. erklärt es als Miſchung aus αὐτοὺς ἐν τῷ αὐτῷ καθημένους und αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθῆσθαι. Dieſe Miſchung hat dem Geſchmacke Mehrerer zugeſagt. Ich erkläre διὰ τὸ ἐν τῷ αὐτῷ wegen des (Verweilens) an demſelben Orte. vgl. zu ἐκ τοῦ ἐπὶ πλεῖστον 1, 2, 2. — καθημένους bei ihrer Unthätigkeit. zu 4, 124, 4.

§ 2. τῷ τρόπῳ dem Charakter, unbeſonnen darauf loszugehen. (Sch.) — ἐς τὴν Πύλον. gegen Sphakteria würde man erwarten; doch jener Name umfaßt die nahe gelegene Inſel mit. (Py.) So öfter bei Ar. — κατὰ θέαν zur Schau, Recognoscirung wie 5, 9, 2. 10, 2. vgl. 6, 31, 1. (Py.) — ἀναγκάζηται, πολεμεῖν. (Sch.) — τῷ ἀσφαλεῖ durch die Sicherheit welche das nachrückende Hauptheer gewähren möchte. (Bs.) — περισχήσων, ὑπερσχήσων καὶ νικήσων. (Sch.) um überlegen zu ſein. vgl. 8, 105, 1. (St.) Eine ſonſt ungewöhnliche Bedeutung. Pugnaturus superaturusque Ba. Und das nackte ἀναγκάζηται läßt allerdings den erſten Begriff vermiſſen. — περισταίς. περισπάσας der Sch. u. Ba.?

πρὸ τῆς Ἀμφιπόλεως τὸν στρατὸν αὐτὸς ἐθεᾶτο το λιμνῶδες τοῦ Στρυμόνος καὶ τὴν θέσιν τῆς πόλεως ἐπὶ τῇ Θρᾴκῃ ὡς ἔχοι. ἀπιέναι τε ἐνόμιζεν, ὁπόταν βούληται, ἀμαχεί· καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδεὶς οὔτε κατὰ πύλας ἐξήει, κεκλημέναι τε ἦσαν πᾶσαι. ὥστε καὶ μηχανὰς ὅτι οὐ κατῆλθεν ἔχων, ἁμαρτεῖν ἐδόκει· ἑλεῖν γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἐρῆμον. ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινου- 8
μένους τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου ἐσέρχεται ἐς τὴν Ἀμφίπολιν. καὶ ἐπέξοδον μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς τοὺς Ἀθηναίους, δεδιὼς τὴν αὐτοῦ παρασκευὴν καὶ νομίζων ὑποδεεστέρους εἶναι, οὐ τῷ πλήθει, ἀντίπαλα γάρ πως ἦν, ἀλλὰ τῷ ἀξιώματι — τῶν 2
γὰρ Ἀθηναίων ὅπερ ἐστράτευε καθαρὸν ἐξῆλθε καὶ Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον — τέχνῃ δὲ παρεσκευάζετο ἐπιθησόμενος. εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο μᾶλλον περιγενέσθαι ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ μὴ

---

§ 3. τῇ Θρᾴκῃ für τὴν Θρᾴκην die besten Hss.: gegen Thr., um es als ὁρμητήριον gegen dasselbe zu benutzen. (Dobree.) — οὐδέ gehört hier wohl zu dem ganzen Gedanken; zum nächsten Worte, gleichfalls nach καὶ γάρ, bei Isokr. 6, 39, Plat. Symp. 183, e. — ἐφαίνετο οὔτε. Ueber die Stellung zu παράδειγμα 3, 39, 3. — οὐ κατῆλθεν. οὐκ ἀπῆλθεν schlechte Hss. οὐκ ἀνῆλθεν Bk., was Hk. vorgeschlagen aber aufgegeben hatte. Pp. bezieht κατῆλθεν auf das Herabkommen von dem Hügel. vgl. 10, 2.

C. 8. § 1. δεδιὼς τὴν ἰ. π., οὐ θαρρῶν τῇ ἰδίᾳ παρασκευῇ. (Sch.) — εἶναι, τοὺς ἑαυτοῦ δηλονότι. (Sch.) Leicht ergänzbar aus τὴν αὐτοῦ παρασκευήν. Unnöthig also Ps. ὑποδεέστερος. — ἀντίπαλα. Gr. 43, 4 A. 13. — τῷ ἀξιώματι, δυνάμει. (Sch.) an Gehalt, Tüchtigkeit, in diesem Sinne nicht gewöhnlich.

§ 2. ὅπερ. Gr. 43, 4 A. 17. — καθαρόν, οὐχὶ συγκλύδων (ἐπηλύδων) οὐδὲ ἐπικούρων ἀλλ' αὐτῶν τῶν πολιτῶν. (Sch.) Der Kern Ba. u. A. vgl. die Erkl. zu Her. 4, 135. — ἀναγκαίαν, εὐτελῆ καὶ οὐκ ἐκ παρασκευῆς. (Sch.) wie man sie durch Eile gedrängt hatte beschaffen können. vgl. 6, 37, 3. (Gb.) nothdürftige nach Schöm. z. Isä. p. 279. Wohl richtig. Dio C. 56, 36: τῷ τε πατρὶ ἅμα ἱκανῶς ἐτιμώρησε καὶ ὑμῖν ἀναγκαίως ἐπεκούρησεν. — προόψεως αὐτῶν vorhergegangene Erblickung der Seinigen von Seiten der Feinde. — μή. τῆς Reiske. Dies oder Tilgung wäre die kürzeste Art die verzweifelte Stelle abzuthun. Zu ὄντος ge-

3 ἀπὸ τοῦ ὄντος καταφρονήσεως. ἀπολεξάμενος οὖν αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας ἐβουλεύετο ἐπιχειρεῖν αἰφνιδίως, πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ βοήθεια. ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας καὶ βουλόμενος παραθαρσῦναι τε καὶ τὴν ἐπίνοιαν φράσαι ἔλεγε τοιάδε.

9 "Ἄνδρες Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἤκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δωριῆς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσσους εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον· τὴν δὲ ἐπιχείρησιν ᾧ τρόπῳ διανοοῦμαι ποιεῖσθαι διδάξω, ἵνα μὴ τό [τε] κατ' ὀλίγον καὶ μὴ ἅπαν-
2 τας κινδυνεύειν ἐνδεὲς φαινόμενον ἀτολμίαν παράσχῃ. τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν καὶ οὐκ ἂν ἐλπίσαντας ὡς ἄν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην ἀναβῆναί τε πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως κατὰ θέαν τεταραμμένους
3 ἁλιγωρεῖν. ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα ἰδὼν καὶ ἅμα πρὸς τὴν ἑαυτοῦ δύναμιν τὴν ἐπιχείρησιν ποιεῖται μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον καὶ ἀντιπαρατεχθέντος ἢ ἐκ τοῦ πρὸς τὸ πρὸν ξυμφέροντος, πλεῖστ' ἂν

---

zogen (vgl. zu 1, 91, 4) gibt es den Sinn: und ohne Verachtung wegen des Nichtvorhandenen, der Mängel in der Bewaffnung. Doch vielleicht ist μή, von Ba. nicht übersetzt, aus dem Sch.: καὶ μὴ ἀπὸ τοῦ φανεροῦ eingeschlichen.

§ 3. Κλεαρίδᾳ προστάξας, μετὰ Κλεαρίδα τάξας. (Sch.) vgl. 6, 42 u. 7, 29, 1. — ἀπολαβεῖν μεμονωμένους, ἄνευ τῶν ἄλλων λαβεῖν συμμάχων. (Sch.) Das ἀπο — entspricht dem se —, durch μεμονωμένους gedeutet, was als Glossem verdächtig scheinen kann. — ἡ βοήθεια, ἡ παρὰ τοῦ Περδίκκου καὶ τοῦ Πόλλη. (Sch.) 5, 6, 2.

S. 9 § 1. ὅτι. ἤκομεν. (Ds.) — ἐλευθέρας. Gr. 57, 9 A. 2. — δεδηλωμένον. Gr. 56, 8 A. 1. — τὴν ἐπιχείρησιν, τὴν ἐπίθεσιν τὴν κατὰ τῶν πολεμίων. (Sch.) — τό τε. τό γε Reiske; Bk. hat τέ nach einigen Hss. eingeklammert; doch s. zu 2, 2, 3. — κατ' ὀλίγον. ἵνα μηδεὶς ὑμῶν διὰ τὸ κατ' ὀλίγους ὑμεῖς μέλλειν ἐξιέναι τῆς πόλεως καὶ μὴ ἅπαντας ἀθρόους κινδυνεύειν πρὸς τοὺς Ἀθηναίους, οὐκ ἀξιόμαχον νομίσας τὴν παρασκευήν, ἀτολμότερος γένηται. (Sch.)

§ 2. ἐλπίσαντας ὡς. vgl. 8, 54, 1 u. zu 3, 88, 2.

§ 3. κάλλιστα. Dem. 4, 5: εἰδὲ τοῦτο καλῶς. vgl. Schäfer zu Soph. Oed. T. 1008. — ἰδὼν καὶ ἅμα πρός mit Ersyähung und zugleich nach Maßgabe; über καί Gr. 59, 2 A. 3; über πρός Gr. 68, 39 A. 5. — ἀντιπαρατεχθέντος. zu 1, 142, 4. —

ὀρθοῖτο· καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀπατήσας τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης καὶ πρὶν ξυνταχθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μὲν ἔχων τοὺς μετ' ἐμαυτοῦ καὶ φθάσας, ἢν δύνωμαι, προσπεσοῦμαι δρόμῳ καιὰ μέσον τὸ στράτευμα· σὺ δὲ Κλεαρίδα ὕστερον, ὅταν ἐμὲ ὁρᾷς ἤδη προσκείμενον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτούς, τοὺς μετὰ σεαυτοῦ, τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμμάχους, ἄγων αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμῖξαι. ἐλπὶς γὰρ μάλισια αὐτοὺς οὕτω φοβηθῆναι· τὸ γὰρ ἐπιὸν ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου. καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκός, ὄντα Σπαρτιάτην, καὶ ὑμεῖς ὦ ἄνδρες ξύμμαχοι ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι, καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ

ὀρθοῖτο. vgl. 3, 30, 2 u. zu 2, 60, 2. — τὰ κλέμματα, τὰ στρατηγήματα. (Sch.) Doch nur durch eine Art Kleptik ausgeführte. vgl. Kr. zu Xen. An. 4, 6, 14. — ἔχει, παρέχει. (Sch.) zu 1, 9, 1. — ἃ ἀπατήσας. Kr. zu Xen. An. 5, 7, 6 u. Gr. 51, 9 A. 2.

§ 4. ὑπαπιέναι unvermerkt abziehen. — τοῦ μένοντος. zu 1, 142, 4. — ἐξ ὧν nach Maßgabe wie. vgl. zu 3, 37, 2. — φαίνονται wie bei ὡς. Gr. 55, 4 A. 3. — τῷ ἀνειμένῳ. zu 1, 6, 2. — ξυνταχθῆναι τὴν δόξαν sententiam componere Va. Wohl nur sich fassen. Dem ἀνειμένῳ entspräche besser ξυνταθῆναι. Plat. Euthyd. 288, d: ἐὰν ἐλεήσαντέ με καὶ οἰκτείραντε συντεταμένον καὶ σπουδάζοντα καὶ αὐτῷ σπουδάσητον. vgl. Lex. Plat. in συντεταμένως. Auch Xen. Hell. 4, 8, 22 vermuthe ich συντεταμένος. vgl. zu 7, 71, 1.

§ 5. ἐπεκθεῖν. Gr. 55, 1 A. 5. — οὕτω, δηλονότι ποιούντων ἡμῶν. (Sch.) — τὸ ἐπιόν, οἱ ἐπιόντες. (Sch.)

§ 6. εἰκός, γίγνεσθαι. Gr. 55, 4 A. 11. — εἶναι τοῦ καλῶς πολεμεῖν um mit Erfolg Krieg zu führen seien erforderlich, gleichsam Bestandtheile davon. — τό nach καὶ tilgen Reiske und Bk. Dann hängen die folgenden Infinitive von ἐθέλειν ab. Das τό beibehalten ist πολεμεῖν zu ergänzen. Denn Hingebung, alacritatem, kann ἐθέλειν für sich nicht wohl heißen. — αἰσχύνεσθαι. zu 2, 43, 1. — καὶ τοῖς. καὶ τὸ τοῖς. (Kr.)

ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν καὶ Λακεδαιμονίων ξυμμάχοις κεκλῆσθαι ἢ Ἀθηναίων τε δούλοις, ἢν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως πράξητε, καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε, τοῖς δὲ λοιποῖς Ἕλλησι κωλυταῖς γενέσθαι ἐλευθερώσεως. ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ ὅσων ὁ ἀγών ἐστιν, ἐγώ τε δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν.“

10 Ὁ μὲν Βρασίδας τοσαῦτα εἰπὼν τήν τε ἔξοδον παρεσκευάζετο αὐτὸς καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα καθίστη ἐπὶ τὰς Θρᾳκίας καλουμένας τῶν πυλῶν, ὅπως ὥσπερ εἴ-
2 ρητο ἐπεξίοιεν. τῷ δὲ Κλέωνι, φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ Κερδυλίου καταβάντος καὶ ἐν τῇ πόλει, ἐπιφανεῖ οὔσῃ ἔξωθεν, περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου καὶ ταῦτα πράσσοντος ἀγγέλλεται, προὐκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν, ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων ἐν τῇ πόλει καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται. ὁ δὲ ἀκούσας ἐπῆλθεν·
3 καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ διαγωνίσασθαι πρὶν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν καὶ οἰόμενος φθήσεσθαι ἀπελθὼν σημαινεῖν τε ἅμα ἐκέλευεν ἀναχώρησιν καὶ παρήγγειλε τοῖς

---

§ 7. κεκλῆσθαι hängt gleichfalls von ὑπάρχειν ab. (Ba.) es werde euch zu Theil zu heißen. vgl. 1, (82, 5.) 124, 1. 2, 64, 4. 7, 63, 1 u. Gr. 59, 2 A. 3. — Ἀθηναίων τε. Das τέ entspricht dem καί vor δουλείαν. — ἢν τὰ ἄριστα πράξητε wenn ihr noch am glücklichsten wegkommet. Gr. 46, 5 A. 11. — ἄνευ ἀ. ἢ θ. eperegetisch zu τὰ ἄριστα: nämlich ohne. — δουλείαν ist an δούλοις anzufügen: und zwar Sklaven in einer drückenderen Knechtschaft zu heißen. Gr. 46, 4 A. 6.

C. 10. § 2. αὐτοῦ, Βρασίδου. (Sch.) — καταβάντος. aus φανερὸς ἐγένετο καταβὰς καὶ θυόμενος καὶ πράσσων. (Ps.) — ἔξωθεν, mit dem Vorhergehenden zu verbinden, steht wie 5, 6, 3 κατεφαίνετο πάντα αὐτόθεν. (Hk.) — ταῦτα, die Anstalten zum Ausfalle. (Hudson.) Bei der Nähe des θυομένου kann man ταῦτα doch nur hierauf beziehen. Auch ist ταῦτα πράσσοντος nicht müßig. Denn aus der Geschäftigkeit dabei war auf das Opfer und dessen Zweck zu schließen. Die Bemerkung der Anstalten zum Ausfalle wird erst im Folgenden erwähnt. — ὑπό unter — hin, entlang. — πόδες Geräusch Hl.? Arn. erklärt sich den Ausdruck so: ein hinangeschlichener Späher habe durch eine Ritze zwischen dem Thore und dem Wege gesehen.

§ 3. ἐπῆλθεν, dahin wo der Bote gewesen. (Pp.) — τοὺς

ἀπιοῦσιν ἐπὶ τὸ εὐώνυμον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς Ἠιόνος. ὡς δ' αὐτῷ ἐδόκει σχολῇ γίγνε- 4
σθαι, αὐτὸς ἐπιστρέψας τὸ δεξιὸν καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς ἀπῆγε τὴν στρατιάν. καὶν τούτῳ Βρασίδας ὡς ὁρᾷ τὸν καιρὸν καὶ τὸ στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις· "Ὅτι οἱ ἄνδρες ἡμᾶς 5
οὐ μενοῦσιν, δῆλοι δὴ τῶν τε δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν· οἷς γὰρ ἂν τοῦτο γίγνηται οὐκ εἰώθασι μένειν τοὺς ἐπιόντας. ἀλλὰ τάς τε πύλας τις ἀνοιγέτω ἐμοὶ ἃς εἴρηται καὶ ἐπεξίωμεν ὡς τάχιστα θαρσοῦντες." καὶ ὁ μὲν 6
κατὰ τὰς ἐπὶ τὸ σταύρωμα πύλας καὶ τὰς πρώτας τοῦ μικροῦ τείχους τότε ὄντος ἐξελθὼν ἔθει δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν ἥπερ νῦν καιὰ τὸ καρτερώτατον τοῦ χωρίου λόντι τροπαῖον ἔστηκεν, καὶ προσβαλὼν τοῖς Ἀθηναίοις, πεφοβημένοις τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις, κατὰ μέσον τὸ στράτευμα τρέπει. καὶ ὁ 7
Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κατὰ τὰς Θρᾳκίας πύλας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. ξυνέβη τε τῷ ἀδοκήτῳ [καὶ] ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους θορυβηθῆναι, καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν, τὸ πρὸς τὴν Ἠιόνα, ὅπερ δὴ καὶ προεχωρήκει, εὐθὺς ἀπορραγὲν ἔφυγεν· καὶ ὁ Βρα- 8

βοηθούς 5, 6, 2. (Pp.) — τοῖς tilgt Kr. Der Sinn: er befahl daß sie nach dem linken Flügel zu abmarschirend sich langsam nach Eon zurückziehen sollten.

§ 4. σχολῇ für σχολή zwei Hss. — αὐτός im Gegensatze zu dem linken Flügel, der zuerst hatte abmarschiren sollen. — γυμνά. zu 3, 23, 4. — τὸν καιρὸν καὶ —. Gr. 59, 2 A. 3.

§ 5. μενοῦσι, δῆλοι δή für μένουσι. δῆλοι δέ Kr. Bei der Vulgata müßte gestellt sein: ὅτι οὐ μένουσιν ἡμᾶς οἱ ἄνδρες. — τις. Gr. 51, 16 A. 7. — ἀνοίγειν sagt Thuk. öfter, nie ἀνοιγνύναι. (Pp.) 4, 68, 3. 74, 1. 104, 2. 111, 2. 130, 3 u. Lobeck zu Soph. Aj. 344. — ἐμοὶ. μοι? — ἃς εἴρηται, ἀνοίγειν. Gr. 55, 4 A. 11.

§ 6. ὁ μέν, ὁ Βρασίδας. (Sch.) Es entspricht καὶ ὁ Κλεαρίδας § 7 zu 1, 20, 1. — καί vor τάς ist mir verdächtig. — ἔθει δρόμῳ. zu 4, 67, 5. — καρτερώτατον. vgl. 5, 7, 3. — λόντι. zu 1, 24, 1.

§ 7. καί vor ἐξαπίνης fehlt in zwei Hss. Wenn es echt ist, verbindet es τῷ ἀδοκήτῳ und ἀμφοτέρωθεν. — ἀπορραγέν, ἀποσπασθὲν τῆς ἄλλης τάξεως. (Sch.)

σίδας ὑποχωροῦντος ἤδη αὐτοῦ ἐπιπαριὼν τῷ δεξιῷ τιτρώσκεται, καὶ πεσόντα αὐτὸν οἱ μὲν Ἀθηναῖοι οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἄραντες ἀπήνεγκαν. τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον, καὶ ὁ μὲν Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων καὶ καταληφθεὶς ὑπὸ
9 Μυρκινίου πελιασιοῦ ἀποθνήσκει, οἱ δὲ αὐτοῦ συστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον τόν τε Κλεαρίδαν ἠμύνοντο καὶ δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν πρὶν ἥ τε Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ πελτασταὶ περιστάντες
10 καὶ ἐσακοντίζοντες αὐτοὺς ἔτρεψαν. οὕτω δὲ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων, φυγὸν χαλεπῶς καὶ πολλὰς ὁδοὺς τραπόμενοι κατὰ ὄρη, ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν ἢ ὑπὸ τῆς Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ
11 λοιποὶ ἀπεκομίσθησαν ἐς τὴν Ἠιόνα. οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης καὶ διασώσαντες ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐσεκόμισαν· καὶ ἤσθετο μὲν ὅτι νικῶσιν οἱ μεθ' ἑαυτοῦ, οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύτησεν. καὶ ἡ ἄλλη στρατιὰ ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου ἐκ τῆς διώξεως νεκρούς
11 τε ἐσκύλευσε καὶ τροπαῖον ἔστησεν. μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες ξὺν ὅπλοις ἐπισπόμενοι δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται, περιέρξαντες αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωί τε ἐντέμνουσι καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν,
2 κατιβαλόντες τὰ Ἀγνώνεια οἰκοδομήματα καὶ ἀφανίσαντες

---

§ 8. *ἐπιπαριὼν τῷ δεξιῷ* längs dem rechten Flügel der Athener hinziehend. Kr. zu Xen. An. 3, 4, 30. — *ἔμενε* für *ἔμενέ τε* drei gute Hss.; vielleicht *ἔμενέ τι*. — *ὡς*. zu 5, 6, 1.

§ 9. *αὐτοῦ* ist der Stellung wegen als Adverbium zu nehmen. vgl. 7, 16, 1. 64, 1. — *καὶ δὶς* sogar zweimal ist hier anstößig. Eine Hs. *ἢ δὶς*, eine *καὶ δὶς καὶ τρὶς*. (Bp.)

C. 11. § 1. *περιέρξαντες*. *περιείρξαντες* nur Eine Hs. Gr. B. 2 § 39 unter *εἴργω* u. vgl. Lob. Soph. Aj. 593. — *ἐντέμνουσιν*, *ἐναγίζουσιν*, *ἐναγίσματα προσφέρουσιν*. (Sch.) *Ἔντομα τὰ σφάγια κυρίως τὰ τοῖς νεκροῖς ἐναγιζόμενα διὰ τὸ ἐν τῇ γῇ αὐτῶν ἀποτέμνεσθαι τὰς κεφαλάς· οὕτω γὰρ θύουσι τοῖς χθονίοις· τοῖς δὲ οὐρανίοις ἄνω ἀναστρέφοντες τὸν τράχηλον σφάζουσιν*. Sch. Apoll. Rh. 1, 587. (Bl.)

§ 2. *Ἀγνώνεια* wohl nur die dem Hagnon als *οἰκιστής* (4, 102, 2) erbauten *μνημεῖα*. (Ds.) Vielleicht bestimmt so genannte Gebäude. —

εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι, νομίσαντες τὸν μὲν Βρασίδαν σωτῆρά τε σφῶν γεγενῆσθαι καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν φόβῳ τῶν Ἀθηναίων θεραπεύοντες, τὸν δὲ Ἄγνωνα κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων οὐκ ἂν ὁμοίως σφίσι ξυμφόρως οὐδ' ἂν ἡδέως τὰς τιμὰς ἔχειν. καὶ τοὺς 3
νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. ἀπέθανον δὲ Ἀθηναίων μὲν περὶ ἑξακοσίους, τῶν δ' ἐναντίων ἑπτά, διὰ τὸ μὴ ἐκ παρατάξεως ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ προεκφοβήσεως τὴν μάχην μᾶλλον γενέσθαι. μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ' οἴκου ἀνέπλευσαν, οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν καθίσταντο.

Καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τελευτῶντος 12
Ῥαμφίας καὶ Αὐτοχαρίδας καὶ Ἐπικυδίδας Λακεδαιμόνιοι ἐς τὰ ἐπὶ Θρᾴκης χωρία βοήθειαν ἦγον ἐνακοσίων ὁπλιτῶν, καὶ ἀφικόμενοι ἐς Ἡράκλειαν τὴν ἐν Τραχῖνι καθίσταντο ὅ τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν. ἐνδιατριβόντων δὲ αὐτῶν ἔτυχεν ἡ μάχη αὕτη γενομένη, καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς μέχρι μὲν Πιερίου 13
τῆς Θεσσαλίας διῆλθον οἱ περὶ τὸν Ῥαμφίαν, κωλυόντων δὲ τῶν Θεσσαλῶν καὶ ἅμα Βρασίδου τεθνεῶτος, ᾧπερ ἦγον τὴν στρατιάν, ἀπετράποντο ἐπ' οἴκου, νομίσαντες οὐδένα καιρὸν εἶναι ἔτι τῶν τε Ἀθηναίων ἥσσῃ ἀπελήλυθότων καὶ οὐκ ἀξιόχρεων αὐτῶν ὄντων δρᾶν τι ὧν κἀκεῖνος ἐπενόει.

σωτῆρά τε, als ob folgen ſollte χρῆναι θεραπεύειν. vgl. 5, 28, 2. 29, 3. 44, 2. 6, 61, 4 u. Schömann z. Iſä. p. 325. — πολέμιον τῶν Feindſeligkeit gegen die. — οὐκ ἄν — ἔχειν, οὔτε συμφέρειν τοῖς Ἀμφιπολίταις τιμᾶσθαι τὸν Ἄγνωνα, διὰ τὸ κολακεύειν τοὺς Λακεδαιμονίους, οὔτε ἡδὺ ἦν τοῖς Ἀμφιπολίταις τιμᾶν αὐτόν. (Sch.) — τάς die angedeuteten, dem οἰκιστής gebührenden. — ὁμοίως ξυμφόρως nicht eben ſo vortheilhaft wie wenn Braſidas geehrt würde. — οἱ μέν, οἱ Ἀθηναῖοι. (Sch.)

§ 3. προεκφόβησις find' ich erſt bei Dio C. wieder. (Bl.)

C. 12. ὁπλιτῶν. Gr. 47, 8 A. 1. — Ἡράκλειαν 3, 92 f.

C. 13. καιρόν das Heer nach Thrake zu führen. (Py.) — ἀξιόχρεων, δυνατῶν. (Sch.) — αὐτῶν ſie ſelbſt, Ramphias mit den Seinigen. (Sch.) — κἀκεῖνος. καί mit Bezug auf den Gedanken: wie auch ſie darauf ſannen, jedoch an der Ausführung verzweifelnd. (Ba.)

μάλιστα δὲ ἀπῆλθον εἰδότες τοὺς Λακεδαιμονίους, ὅτε ἐξή-
14 εσαν, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην ἔχοντας. ξυνέβη τε εὐθὺς μετὰ τὴν ἐν Ἀμφιπόλει μάχην καὶ τὴν Ῥαμφίου ἀναχώρησιν ἐκ Θεσσαλίας ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον, οἱ μὲν Ἀθηναῖοι πληγέντες ἐπὶ τῷ Δηλίῳ καὶ δι' ὀλίγου αὖθις ἐν Ἀμφιπόλει, καὶ οὐκ ἔχοντες τὴν ἐλπίδα τῆς ῥώμης πιστὴν ἔτι, ᾗπερ οὐ προσεδέχοντο πρότερον τὰς σπονδάς, δοκοῦντες τῇ παρούσῃ εὐτυχίᾳ καθυπέρτεροι γενήσεσθαι· καὶ τοὺς ξυμμάχους ἅμα ἐδεδίεσαν σφῶν μὴ διὰ τὰ σφάλματα ἐπαιρόμενοι ἐπὶ πλέον ἀποστῶσιν, μετεμέλοντό τε ὅτι
2 μετὰ τὰ ἐν Πύλῳ καλῶς παρασχὸν οὐ ξυνέβησαν· οἱ δ' αὖ Λακεδαιμόνιοι παρὰ γνώμην μὲν ἀποβαίνοντος σφίσι τοῦ πολέμου, ἐν ᾧ ᾤοντο ὀλίγων ἐτῶν καθαιρήσειν τὴν τῶν Ἀθηναίων δύναμιν, εἰ τὴν γῆν τέμνοιεν, περιπεσόντες δὲ τῇ ἐν τῇ νήσῳ ξυμφορᾷ, οἷα οὔπω γεγένητο τῇ Σπάρτῃ, καὶ λῃστευομένης τῆς χώρας ἐκ τῆς Πύλου καὶ Κυθήρων, αὐτομολούντων τε τῶν Εἱλώτων καὶ ἀεὶ προσδοκίας οὔσης μή τι καὶ οἱ ὑπομένοντες τοῖς ἔξω πίσυνοι πρὸς τὰ παρόντα
3 σφίσιν, ὥσπερ καὶ πρότερον, νεωτερίσωσιν. ξυνέβαινε δὲ καὶ πρὸς τοὺς Ἀργείους αὐτοῖς τὰς τριακονταέτεις σπονδὰς ἐπ' ἐξόδῳ εἶναι καὶ ἄλλας οὐκ ἤθελον σπένδεσθαι οἱ Ἀργεῖοι, εἰ μή τις αὐτοῖς τὴν Κυνοσουρίαν γῆν ἀποδώσει. ὥστ' ἀδύνατα εἶναι ἐφαίνετο Ἀργείοις καὶ Ἀθηναίοις ἅμα

C. 14. § 1. *ὥστε.* Her. 3, 14: *συνήνεικε ὥστε ἄνδρα παριέναι.* (Arn.) — *εἶχον* statt *ἔχειν.* zu 2, 47, 2. 3, 2, 1. — *δι' ὀλίγου, μετ' ὀλίγον.* (Sch.) zu 2, 94, 3. — *ᾗπερ, ἐλπίδι* aus welchem Vertrauen. — *καθυπέρτεροι, τῶν Λακεδαιμονίων.* (Sch.) Der Ausdruck, bei Attikern selten, findet sich auch 7, 56, 1 u. Xen. Mem. 4, 6, 14, Her. 1, 65. 67. 68. 7, 51. 233 u. *καινπέριατος* 4, 199. vgl. Gr. B. 2 § 23, 5 A. 3. — *σφῶν.* zu 1, 25, 2. — *καλῶς παρασχόν, καλῶς ἐξόν, καιροῦ ἐπιτηδείου παρατυχόντος.* (Sch.) zu 1, 120, 3.

§ 2. *οἱ δ' αὖ Λ., μετεμέλοντο.* (Sch.) Wohl vielmehr *πρὸς τὴν εἰρήνην τὴν γνώμην εἶχον.* (Ein andrer Sch.) — *λῃστευομένης* 4, 41, 2 f. 54 f. (Pp.) — *μή.* zu 2, 93, 2. — *τῇ νήσῳ, τῇ Σφακτηρίᾳ.* (Sch.) — *τοῖς ἔξω* auf die auswärts befindlichen, entlaufenen. — *πρὸς τὰ παρόντα.* zu 4, 80, 1. vgl. Eur. Hipp. 718. 868.

§ 3. *τριαχοντούτεις* für *τριαχονταετεῖς* (*τριαχονταέτεις*) nur Eine Hs.; doch vgl. 1, 23, 4. 115, 1. 2, 2, 1. (Pp.) *τριαχοντουτίς* 1, 87, 4. — *ἐξόδῳ, λήξει.* (Sch.) vgl. 28, 2. — *ὥστε* bezieht sich nicht auf den

πολεμεῖν. τῶν τε ἐν Πελοποννήσῳ πόλεων ὑπώπτευόν τινας ἀποστήσεσθαι πρὸς τοὺς Ἀργείους· ὅπερ καὶ ἐγένετο. ταῦτ' οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα 15
εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧσσον τοῖς Λακεδαιμονίοις, ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι· ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως σφίσι ξυγγενεῖς. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσ- 2
σειν, ἀλλ' οἱ Ἀθηναῖοι οὔ πως ἤθελον, εὖ φερόμενοι, ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. σφαλέντων δὲ αὐτῶν ἐπὶ τῷ Δηλίῳ παραχρῆμα οἱ Λακεδαιμόνιοι, γνόντες νῦν μᾶλλον ἂν ἐνδεξομένους, ποιοῦνται τὴν ἐνιαύσιον ἐκεχειρίαν, ἐν ᾗ ἔδει ξυνιόντας καὶ περὶ τοῦ πλείονος χρόνου βουλεύεσθαι. ἐπειδὴ 16
δὲ καὶ ἡ ἐν Ἀμφιπόλει ἧσσα τοῖς Ἀθηναίοις ἐγεγένητο καὶ ἐτεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφοτέρωθεν μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ δὲ γενομένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν καὶ ἀπιστότερος δια-

---

letzten Satz sondern auf die ganze vorhergehende Erörterung § 2, namentlich auf das über die Widerstandskräfte Athens und Spartas innere Bedrängnisse Gesagte.

C. 15. § 1. *ἐπιθυμίᾳ τῶν ἀνδρῶν κομίσασθαι.* Gr. 61, 6 A. 8. vgl. Plat. Krit. 52, b: *οὐδ' ἐπιθυμία σε ἄλλων νόμων ἔλαβεν εἰδέναι.* — *αὐτῶν.* zu 4, 126, 3. — *ὁμοίως, ὁμοίων* Reiske: den ersten, Vornehmsten, ähnlich; *ὁμοίοις* Bk. Erwähnung der *ὅμοιοι* oder *ὁμότιμοι* ahnet Arn.; das *καί* setzt nach *ὁμοίως* J. C. G. Winkelmann Lycurgus p. 54.

§ 2. *οὔ πως* für *οὔπω* die besten Hsn. Suidas: *οὔπως, οὐδένα τρόπον, καὶ Θουκυδίδης ἐν ε' καὶ Ὅμηρος.* (Vp.) — *εὖ φερόμενοι.* zu 2, 60, 2. — *ἐπὶ τῇ ἴσῃ, ὥστε τὸ προσῆκον μόνον ἔχειν, ἀλλὰ δηλονότι καὶ περιττότερον.* (Sch.) zu 1, 27, 1. — *ἐνδεξαμένους*, die Anträge. *ἐνδεξαμένους* Martins Hf. u. Thomas; *δεξαμένους* einige Hsn. vgl. 6, 20, 1. An den meisten Stellen könnte man den Ao. durch bloße Aenderung des *o* herstellen, wie Lys. 31, 21, Isokr. 8, 81, Plat. Apol. 30, c, Xen. Mem. 2, 2, 3, muß wohl auch, wie Dem. 18, 168. Doch widerstreben andre, wie 9, 70: *πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται.* Xen. Cyr. 1, 4, 23: *εἱστήκεισαν ὡς ἂν στησομένους.* vgl. Gr. 64, 3 A. 3 mit 54, 6 A. 6.

C. 16. § 1. *ὁ μέν, ὁ Βρασίδας.* (Sch.) Gr. 50, 1 A. 2. — *κακουργῶν.* Ar. Ri. 803: *ὁ δῆμος ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς οὐ καθορᾷ σου.*

2 βάλλων, τότε δὴ οἱ ἐν ἑκατέρᾳ τῇ πόλει σπεύδοντες τὰ μάλιστα τὴν ἡγεμονίαν Πλειστοάναξ τε ὁ Παυσανίου βασιλεὺς Λακεδαιμονίων καὶ Νικίας ὁ Νικηράτου, πλεῖστα τῶν τότε εὖ φερόμενος ἐν στρατηγίαις, πολλῷ δὴ μᾶλλον προεθυ-
3 μοῦντο, Νικίας μέν, βουλόμενος, ἐν ᾧ ἀπαθὴς ἦν καὶ ἠξιοῦτο, διασώσασθαι τὴν εὐτυχίαν, καὶ ἔς τε τὸ αὐτίκα πόνων πεπαῦσθαι καὶ αὐτὸς καὶ τοὺς πολίτας παῦσαι, καὶ τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα ὡς οὐδὲν σφήλας τὴν πόλιν διεγένετο, νομίζων ἐκ τοῦ ἀκινδύνου τοῦτο ξυμβαίνειν καὶ ὅστις ἐλάχιστα τύχῃ αὐτὸν παραδίδωσι, τὸ δὲ ἀκίνδυνον τὴν
4 εἰρήνην παρέχειν· Πλειστοάναξ δέ, ὑπὸ τῶν ἐχθρῶν διαβαλλόμενος περὶ τῆς καθόδου καὶ ἐς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις ἀεὶ προβαλλόμενος ὑπ' αὐτῶν, ὁπότε τι πταίσειαν, ὡς διὰ τὴν ἐκείνου κάθοδον παρανομηθεῖσαν ταῦτα ξυμβαί-
5 νοι. τὴν γὰρ πρόμαντιν τὴν ἐν Δελφοῖς ἐπῃτιῶντο αὐτὸν πεῖσαι μετ' Ἀριστοκλέους τοῦ ἀδελφοῦ ὥστε χρῆσαι Λακεδαιμονίοις ἐπὶ πολὺ τάδε θεωροῖς ἀφικνουμένοις, Διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα ἐκ τῆς ἀλλοτρίας ἐς τὴν ἑαυτῶν ἀναφέρειν, εἰ δὲ μή, ἀργυρέᾳ εὐλάκᾳ εὐλάξειν· χρόνῳ δὲ

---

§ 2. τότε δή für τότε δέ zwei ſchlechte Hſn. Denn verſchieden ſind die Fälle Gr. 69, 16 A. 2; ähnlich ἐπειδὴ δέ — οὕτω δή 3, 98, 1. — οἱ ἐν aus einigen Hſn. zugefügt empfahl ſchon Kiſt. Man ſage nicht σπεύδειν τινί τι bemerkt Pp. — τὴν ἡγεμονίαν den erſten Rang für ſich; τὴν ὁμολογίαν L. Dindorf.

§ 3. ἀπαθής, εὐτυχής. (Sch.) — ἠξιοῦτο geehrt wurde. Porſon zu Eur. Hek. 319. (Dobree.) Dieſe Bedeutung iſt in der (atti-ſchen) Proſa wohl ſehr ſelten. — καὶ τῷ. κἂν τῷ Dobree. Paſſender als ἔν wäre ἕς; doch ſ. Gr. 48, 4 A. 1 E. — ὅστις, τούτῳ οστις. (Ba.) Gr. 51, 13 A. 5. — παραδίδωσι, wie 6, 23, 3.

§ 4. δέ, προεθυμεῖτο aus § 2. — ἐς ἐνθυμίαν προβαλλόμενος der immer zur Beherzigung vorgehalten, vorgerückt wurde. — παρανομηθεῖσαν, ἤγουν παρανόμως δοθεῖσαν αὐτῷ. (Sch.) vgl. 2, 21, 1.

§ 5. τὴν πρόμαντιν, ἤγουν τὴν προαγορεύουσαν ἐκ μαντείας. (Sch.) von der Pythia auch Her. 6, 66. 7, 111 u. a. — ἐπὶ πολύ, πολλάκις. (Sch.) Eig. lange Zeit hin. Gr. 68, 42 A. 1. — θεωροῖς ἀφικνουμένοις wenn ſie als Theoren hinkamen. — ἡμιθέου, τοῦ Ἡρακλέους. (Sch.) — τὸ σπέρμα, τὸν ἀπόγονον. (Sch.) In dieſem Sinne poetiſch. (Bl.) — ἀναφέρειν, κατάγειν. (Sch.) Veranlaßt durch den Begriff Samen, den man trägt, führt.

εἶχαν τὴν ὕννιν Λακεδαιμόνιοι λέγουσιν· ἔνιοι δὲ τὴν δίκελλαν

προτρέψαι τοὺς Λακεδαιμονίους φεύγοντα αὐτὸν ἐς Λύκαιον 6
διὰ τὴν ἐκ τῆς Ἀττικῆς ποτε μετὰ δώρων δοκοῦσαν ἀναχώ-
ρησιν καὶ ἥμισυ τῆς οἰκίας τοῦ ἱεροῦ τότε τοῦ Διὸς οἰκοῦντα
φόβῳ τῷ Λακεδαιμονίων, ἔτει ἑνὸς δέοντι εἰκοστῷ τοῖς
ὁμοίοις χοροῖς καὶ θυσίαις καταγαγεῖν ὥσπερ ὅτε τὸ πρῶτον
Λακεδαίμονα κτίζοντες τοὺς βασιλέας καθίστωντο. ἀχθό- 17
μενος οὖν τῇ διαβολῇ ταύτῃ καὶ νομίζων ἐν εἰρήνῃ μὲν οὐ-
δενὸς σφάλματος γιγνομένου καὶ ἅμα τῶν Λακεδαιμονίων
τοὺς ἄνδρας κομιζομένων κἂν αὐτὸς τοῖς ἐχθροῖς ἀνεπίληπτος
εἶναι, πολέμου δὲ καθεσιῶτος ἀεὶ ἀνάγκην εἶναι τοὺς προὔ-
χοντας ἀπὸ τῶν ξυμφορῶν διαβάλλεσθαι, προὐθυμήθη τὴν
ξύμβασιν. καὶ τόν τε χειμῶνα τοῦτον ἦεσαν ἐς λόγους καὶ 2
πρὸς τὸ ἔαρ ἤδη παρασκευή τε προεπανεσείσθη ἀπὸ τῶν Λα-
κεδαιμονίων, περιαγγελλομένη κατὰ πόλεις ὡς ἐπὶ τειχισμόν,
ὅπως οἱ Ἀθηναῖοι μᾶλλον ἐσακούοιεν, καὶ ἐπειδὴ ἐκ τῶν
συνόδων ἅμα πολλὰς δικαιώσεις προενεγκόντων ἀλλήλοις
ξυνεχωρεῖτο ὥστε ἃ ἑκάτεροι πολέμῳ ἔσχον ἀποδόντας τὴν

(Sch.) Der Sinn: λιμὸν ἔσεσθαι καὶ πολλοῦ σφόδρα τὸν σῖτον ὠνήσεσθαι, ὥσπερ ἀργυροῖς ἐργαλείοις χρωμένους. (Sch.) Sprüchwörtlich ἀργυρέα λιμός.

§ 6. προτρέψαι haben ſie bewogen. (Pp.) — ποτέ 1, 114, 2. 2, 21, 1. — δοκοῦσαν. δόκησιν mehrere Hſn. δοκοῦσαν ἕως (aus δοκήσεως Bk.) andere; λῆψιν erklären die Sch. — ἥμισυ. τοῦ τόπου καθ' ὃν ᾠκοδόμησε τὴν οἰκίαν τὸ μὲν ἥμισυ ἦν ἱερόν, τὸ δὲ ἥμισυ βέβηλον. (Sch.) Mit εἶναι hieße es ἥμισυ τῆς οἰκίας ἦν τοῦ ἱεροῦ. zu 1, 134, 2; über ἥμισυ ohne Artikel zu 1, 8, 1. — τότε gehört zu οἰκοῦντα. (Ba.) vgl. 3, 87, 2. (Pp.)

C. 17. § 1. ἀνεπίληπτος unantaſtbar, hier durch Beſchuldigung. (Sch.) — ἀνάγκην εἶναι es ſei unvermeidlich. (Ba.) — ξύμβασιν. Gr. 46, 6 A. 3. vgl. 8, 90, 2 mit 5, 39, 2. 6, 39, 2. 8, 6, 1.

§ 2. προεπανεσείσθη, προηπειλήθη. (Sch.) ἀπὸ μεταφορᾶς τῶν ἀνασειόντων τὸ ξίφος ἐπί τινα. (Ds.) So ἐπανάσεισις 4, 126, 4. (Dobree.) Προ — hat den Begriff des Vorhaltens, wie in προσείω 6, 86, 1. — περιαγγελλομένη herum, den verſchiedenen Staaten, aufgetragen. — ὡς ἐπὶ τειχισμόν zum Mauerbau, noch unbeſtimmt ob zur ἐπιτείχισις oder περιτείχισις. vgl. 8, 34, 2. Unnöthig alſo iſt die Conjectur ὡς ἐς ἐπιτειχισμόν. (Pp.) Das ὡς ἐπὶ τ. iſt mit παρασκευή zu verbinden. — δικαιώσεις, αἰτήματα δίκαια. (Sch.) zu 1, 141, 1. — προενεγκόντων vorbrachten. Her. 9, 46: αὐτοῖσι ἡμῖν ἐν νόῳ ἐγένετο εἰπεῖν ταῦτα τάπερ ὑμεῖς φθάσαντες προφέρετε.

3 εἰρήνην ποιεῖσθαι, Νίσαιαν δ' ἔχειν Ἀθηναίους — ἀνταπαιτούντων γὰρ Πλάταιαν οἱ Θηβαῖοι ἔφασαν οὐ βίᾳ ἀλλ' ὁμολογίᾳ αὐτῶν προσχωρησάντων καὶ οὐ προδόντων ἔχειν τὸ χωρίον, καὶ οἱ Ἀθηναῖοι τῷ αὐτῷ τρόπῳ τὴν Νίσαιαν — τότε δὴ παρακαλέσαντες τοὺς ἑαυτῶν ξυμμάχους οἱ Λακεδαιμόνιοι καὶ ψηφισαμένων πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων καὶ Μεγαρέων τῶν ἄλλων ὥστε καταλύεσθαι, τούτοις δὲ οὐκ ἤρεσκε τὰ πρυσσόμενα, ποιοῦνται τὴν ξύμβασιν καὶ ἐσπείσαντο πρὸς τοὺς Ἀθηναίους καὶ ὤμοσαν, ἐκεῖνοί τε πρὸς τοὺς Λακεδαιμονίους, τάδε.

18 "Σπονδὰς ἐποιήσαντο Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι κατὰ τάδε, καὶ ὤμοσαν κατὰ πόλεις. περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν, θύειν καὶ ἰέναι καὶ μαντεύεσθαι καὶ θεωρεῖν κατὰ τὰ πάτρια τὸν βουλόμενον καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀδεῶς. τὸ δ' ἱερὸν καὶ τὸν νεὼν τὸν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος καὶ Δελφοὺς αὐτονόμους εἶναι καὶ αὐτοτελεῖς καὶ αὐτοδίκους καὶ αὐτῶν καὶ τῆς γῆς τῆς ἑαυτῶν
2 κατὰ τὰ πάτρια. ἔτη δὲ εἶναι τὰς σπονδὰς πεντήκοντα Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις τοῖς Ἀθηναίων καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις τοῖς Λακεδαιμονίων ἀδόλους καὶ ἀβλαβεῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε Λακεδαιμονίους καὶ τοὺς

---

§ 3. καὶ οὐ προδόντων, erg. τινῶν. Wenn aber auch dies auszudrücken war, weshalb nicht οὐδὲ προδοσίᾳ oder οὐδὲ προδόντων nach βίᾳ, wie Va. übersetzt? — τῶν ἄλλων gehört zu ψηφισαμένων. (Ps.) Va. der es mit Μεγαρέων verband hat wohl als Gegensatz die von Nisäa gedacht. — τούτοις, den genannten vier Staaten. — ἐκεῖνοί τε. zu 4, 36, 3.

C. 18. § 1. θύειν fehlt bei Va. Die Infinitive hängen, wie auch § 2. 4 u. 5, von σπονδὰς ἐποιήσαντο ab; doch können sie auch absolut stehen, wie 5, 23, 1 ff. — περί. zu 4, 118, 1. — ἰέναι hingehen, besuchen würde man vor θύειν erwarten. (Arn.) — θεωρεῖν, θεωροὺς πέμπειν. (Sch.) Dieser Bedeutung widerstrebt die Endung έω und der Sprachgebrauch. (Bv.) — αὐτοτελεῖς, μὴ ἄλλοις συντελοῦντας. (Sch.) vgl. zu 2, 15, 2. — αὐτοδίκους, μὴ ὑπ' ἄλλων χρινομένους. (Sch) wie etwa Athens Bundesgenossen. — αὐτῶν über sich selbst, die Bewohner des ἱερόν. Gr. 47, 26 A. 9. — τῆς γῆς d. h. über die Bevölkerung desselben.

§ 2. ἀβλαβεῖς ohne Gefährde. (Hl.) vgl. 5, 47, 1. — πημονῇ, κακῷ § 4, ein veraltetes, poetisches Wort, auch bei Thuk. nur

ξυμμάχους ἐπ' Ἀθηναίους καὶ τοὺς ξυμμάχους μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ἐπὶ Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ. ἢν δέ τι διά- 3
φορον ᾖ πρὸς ἀλλήλους, δικαίῳ χρήσθων καὶ ὅρκοις καθ' ὅ τι ἂν ξυνθῶνται. ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Ἀμφίπολιν. ὅσας δὲ πόλεις παρέδοσαν Λακεδαιμόνιοι Ἀθηναίοις, ἐξέστω ἀπιέναι ὅποι ἂν βούλωνται αὐτοὺς καὶ τὰ ἑαυτῶν ἔχοντας. τὰς δὲ πόλεις φερούσας 4
τὸν φόρον τὸν ἐπ' Ἀριστείδου αὐτονόμους εἶναι. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν Ἀθηναίους μηδὲ τοὺς ξυμμάχους ἐπὶ κακῷ, ἀποδιδόντων τὸν φόρον, ἐπειδὴ αἱ σπονδαὶ ἐγένοντο. εἰσὶ δὲ αἵδε, Ἄργιλος, Στάγειρος, Ἄκανθος, Σκῶλος, Ὄλυνθος, Σπάρτωλος. ξυμμάχους δ' εἶναι μηδετέρων, μήτε Λα- 5
κεδαιμονίων μήτε Ἀθηναίων· ἢν δὲ Ἀθηναῖοι πείθωσι τὰς πόλεις, βουλομένας ταύτας ἐξέστω ξυμμάχους ποιεῖσθαι αὐτοὺς Ἀθηναίοις. Μηκυβερναίους δὲ καὶ Σαναίους καὶ Σιγγαίους οἰκεῖν τὰς πόλεις τὰς ἑαυτῶν, καθάπερ Ὀλύνθιοι καὶ Ἀκάνθιοι. ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ 6
ξύμμαχοι Πάνακτον. ἀποδόντων δὲ καὶ Ἀθηναῖοι Λακεδαιμονίοις Κορυφάσιον καὶ Κύθηρα καὶ Μεθώνην καὶ Πτελεὸν καὶ Ἀταλάντην καὶ τοὺς ἄνδρας ὅσοι εἰσὶ Λακεδαιμονίων ἐν τῷ δημοσίῳ τῷ Ἀθηναίων ἢ ἄλλοθί που ὅσης

---

in Documenten. vgl. 47, 2. (Pv.) — *μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ* in keiner Art und Weise. So werden beide Wörter oft verbunden. Kr. zu Xen. An. 4, 5, 16. In dieser festen Formel sagte man wohl eig. ohne das erste *μήτε* bloß *τέχνῃ μηδὲ μηχανῇ μηδεμιᾷ*. vgl. 5, 47, 2. 10 u. Dem. 50, 17. Aenderung ist jedoch bedenklich. Dem. 24, 150: *οὔτε τέχνῃ οὔτε μηχανῇ οὐδεμιᾷ*. vgl. Lys. 13, 95.

§ 3. *δικαίῳ*. *δίκαις* einige Hss., wie Thuk. sonst *δίκην*, *δίκας* und *διάφορα* verbindet, 1, 78, 3. 140, 3. (Dr.) Weniger anstößig wäre *τῷ δικαίῳ*. (Arn.) Wohl: eines Rechtsverfahrens, näher bestimmt durch *καθ' ὅ τι ἂν ξυνθῶνται*. — *αὐτούς* die Einwohner selbst. — *καὶ ἔχοντας*. zu 1, 140, 3.

§ 4. *τὸν ἐπ' Ἀριστείδου, ταχθέντα δηλονότι*. (Sch.) zu 1, 96, 2. — *ἀποδιδόντων*. Gr. 47, 4 A. 2. — *ἐπειδή* seit. (Ba.) vgl. 1, 6, 2.

§ 6. *Κορυφάσιον* 4, 3, 2. (Ds.) — *ἐν τῷ δημοσίῳ, ἐν τῷ δεσμωτηρίῳ*. (Sch.) u. Hesych. Lakonisch nach Schneider zu Xen. Hell. 7, 4, 36. — *ὅσης, γῆς ὅσης*. vgl. § 7.

7 Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ· καὶ τοὺς ἐν Σκιώνῃ πολιορκουμένους Πελοποννησίων ἀφεῖναι καὶ τοὺς ἄλλους ὅσοι Λακεδαιμονίων ξύμμαχοι ἐν Σκιώνῃ εἰσὶ καὶ ὅσους Βρασίδας ἐσέπεμψεν καὶ εἴ τις τῶν ξυμμάχων τῶν Λακεδαιμονίων ἐν Ἀθήναις ἐστὶν ἐν τῷ δημοσίῳ ἢ ἄλλοθί που ἧς Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ. ἀποδόντων δὲ καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι οὕστινας ἔχουσιν Ἀθηναίων καὶ τῶν
8 ξυμμάχων κατὰ ταὐτά. Σκιωναίων δὲ καὶ Τορωναίων καὶ Σερμυλίων καὶ εἴ τινα ἄλλην πόλιν ἔχουσιν Ἀθηναῖοι, Ἀθηναίους βουλεύεσθαι περὶ αὐτῶν καὶ τῶν ἄλλων πόλεων ὅ τι ἂν δοκῇ αὐτοῖς. ὅρκους δὲ ποιήσασθαι Ἀθηναίους πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κατὰ πόλεις. ὀμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἑκάτεροι τὸν μέγιστον ἐξ
9 ἑκάστης πόλεως. ὁ δ' ὅρκος ἔστω ὅδε· "ἐμμενῶ ταῖς ξυνθήκαις καὶ ταῖς σπονδαῖς ταῖσδε δικαίως καὶ ἀδόλως." ἔστω δὲ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις κατὰ ταὐτὰ ὅρκος πρὸς Ἀθηναίους, τὸν δὲ ὅρκον ἀνανεοῦσθαι κατ' ἐνιαυτὸν
10 ἀμφοτέρους. στήλας δὲ στῆσαι Ὀλυμπίασι καὶ Πυθοῖ καὶ Ἰσθμοῖ καὶ ἐν Ἀθήναις ἐν πόλει καὶ ἐν Λακεδαίμονι ἐν Ἀμυκλαίῳ. εἰ δέ τι ἀμνημονοῦσιν ὑποτεροιοῦν καὶ ὅτου

---

§ 7. *τοὺς ἐν Σ.* 4, 122. 133, 2. — *τοὺς ἄλλους* 4, 123. — *κατὰ ταὐτά* eben ſo. vgl. 8, 18, 2 u. Plat. Geſ. 767, d: *ἕτερον ἀνθαιρεῖσθαι κατὰ ταὐτά.*

§ 8. *Σκιωναίων δέ* was aber die Sk. anbetrifft. Xen. Dek. 11, 11: *τῆς δὲ χρηματίσεως καὶ μετὰ ταῦτα ἀρχέσει ἀκούειν.* vgl. Gr. 47, 3 A. 3 u. Heind. zu Plat. Gorg. 139. — *τὸν μέγιστον, τὸν ἰσχυρότατον.* (Sch.) — *ἐξ.* ἓξ ἐξ? oder eine andre Zahl? Daß nur ein unbeſtimmtes *τινές* zu denken iſt wenig wahrſcheinlich.

§ 9. *ἐμμενῶ* für *ἐμμένω* F. Ps. vgl. 5, 47, 10: *ἐμμενῶ καὶ οὐ παραβήσομαι.*

§ 10. *στήλας* mit der Inſchrift der Bedingungen. Kr. Stud. S. 117 ff. — *Ἰσθμοῖ* für *Ἰσθμῷ* F. Ps. Gr. 46, 1 A. 4. — *ἐν* vor *Ἀθήναις* fehlt in vielen und guten Hſn. vgl. jedoch 23, 5. (Waſſe.) — *Ἀθήναις. Ἀθήνησι* eine gute Hſ. — *ἐν πόλει* auf der Burg. zu 2, 15, 4. — *ὅτου* für *εἴτου* oder *οἱ τοῦ* nur eine (ſchlechte) Hſ., wohl auch die Martinſche. Es wird durch *καὶ* mit *εἴ τι* verbunden: wenn ſie etwas vergeſſen haben und in Bezug auf welchen Punct ſie es vergeſſen haben. Bedenklich wäre *καὶ ὅτου πέρι* für *καὶ ὁτουοῦν πέρι* worüber auch immer zu nehmen. Denn verſchieden ſind doch (die ſeltenen) Stellen wie Plat. Hipp. 282, d: *πλέον ἀργύριον*

πέρι, λόγοις δικαίοις χρωμένοις εὔορκον εἶναι ἀμφοτέροις ταύτῃ μεταθεῖναι ὅπῃ ἂν δοκῇ ἀμφοτέροις, Ἀθηναίοις καὶ Λακεδαιμονίοις."

Ἄρχει δὲ τῶν σπονδῶν ἔφορος Πλειστόλας Ἀρτεμισίου 19
μηνὸς τετάρτῃ φθίνοντος, ἐν δὲ Ἀθήναις ἄρχων Ἄλκαῖος Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. ὤμνυον δὲ οἵδε καὶ ἐσπένδοντο, Λακεδαιμονίων μὲν ** Πλειστόλας, Λαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Λάϊθος, Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄντιππος, Τέλλις, Ἀλκινίδας, Ἐμπεδίας, Μηνᾶς, Λάφιλος· Ἀθηναίων δὲ οἵδε, Λάμπων, 2
Ἰσθμιόνικος, Νικίας, Λάχης, Εὐθύδημος, Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς, Θεαγένης, Ἀριστοκράτης, Ἰώλκιος, Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης.

Αὗται αἱ σπονδαὶ ἐγένοντο τελευτῶντος τοῦ χειμῶνος 20
ἅμα ἦρι ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν, αὐτόδεκα ἐτῶν διελθόντων καὶ ἡμερῶν ὀλίγων παρενεγκουσῶν ἢ ὡς τὸ πρῶτον ἡ ἐσβολὴ ἡ ἐς τὴν Ἀττικὴν καὶ ἡ ἀρχὴ τοῦ πολέμου

ἀπὸ σοφίας εἴργασται ἢ ἄλλος δημιουργὸς ἀφ' ἧστινος τέχνης. vgl. Gr. 51, 15 A. 1. — λόγοις δικαίοις χρωμένοις indem sie auf eine dem Rechte gemäße Weise darüber verhandelten. — Ἀθηναίοις καὶ Λακεδαιμονίοις könnt n verdächtig scheinen, da man die Bundesgenossen hier nicht füglich habe ausschließen können; allein f. 29, 3. 4.

C. 19. § 1. ἄρχει τῶν σπονδῶν ἔφορος es beginnt den Vertrag das Ephorat, er beginnt unter dem Ephorat. vgl. 4, 118, 9.

§ 2. ὤμνυον. Gr. 36, 9 A. 2. — Πλειστόλας. Πλειστοάναξ, Ἄγις sind vorher wegen des gleichen Anfanges ausgefallen. (Arn.) Denn auch 24, 1 (vgl. 23, 4) sind von jeder Seite dieselben siebzehn. — Λάϊθος. Λάϊδος einige Hsn., Λάϊος eine wohl richtig. — Λάφιλος für Λάμφιλος Hl. Dies ist wohl ungriechisch und aus Λάμπων entstanden. vgl. 24, 1. — Θεαγένης für Θεογένης mehrere gute Hsn. — Ἀριστοχράτης für Ἀριστοχοίτης Kr. vgl. 24, 1.

C. 20. § 1. ἐκ nach. (Sch.) Gr. 68, 17 A. 7. — αὐτόδεκα ὁλοκλήρων, πρὸς ἀκρίβειαν. (Sch.) gerade zehn. Dem. 18, 242: αὐτοτραγικὸς πίθηκος. — παρενεγκουσῶν, παρελθουσῶν (Sch.) nach Verlauf Ps. So auch Buttm. Mid. p. 127. Allein da wäre Eins von beiden Participien überflüssig. Also: mit einem Unterschiede von, drunter oder drüber, nach Schneider Lex. (Pp.) vgl. 5, 26, 3. — ἢ ὡς als ob ὕστερον vorherginge: zehn Jahre später als da. (Ba.) vgl. zu 4, 90, 3. — ἡ ἐσβολὴ ἐς. ἡ ἐσβολὴ ἡ ἐς einige gute Hsn. vgl. Gr. 50, 9 A. 9.

2 τοῦδε ἐγένετο. σκοπείτω δέ τις καιὰ τοὺς χρόνους καὶ μὴ τῶν ἑκασταχοῦ ἢ ἀρχόντων ἢ ἀπὸ τιμῆς τινος τὴν ἀπαρι-
Θμησιν τῶν ὀνομάτων ἐς τὰ προγεγενημένα σημαινόντων πιστεύσας μᾶλλον. οὐ γὰρ ἀκριβές ἐστιν οἷς καὶ ἀρχομέ-
3 νοις καὶ μεσοῦσι καὶ ὅπως ἔτυχέ τῳ ἐπεγένετό τι. κατὰ Θέρη δὲ καὶ χειμῶνας ἀριθμῶν, ὥσπερ γέγραπται, εὑρήσει ἐξ ἡμισείας ἑκατέρου τοῦ ἐνιαυτοῦ τὴν δύναμιν ἔχοντος δέκα μὲν Θέρη ἴσους δὲ χειμῶνας τῷ πρώτῳ πολέμῳ τῷδε γεγε-
νημένους.

21 Λακεδαιμόνιοι δέ, ἔλαχον γὰρ πρότεροι ἀποδιδόναι ἃ εἶχον, τούς τε ἄνδρας εὐθὺς τοὺς παρὰ σφίσιν αἰχμαλώτους ἀφίεσαν καὶ πέμψαντες ἐς τὰ ἐπὶ Θρᾴκης πρέσβεις Ἰσχα-
γόραν καὶ Μηνᾶν καὶ Φιλοχαρίδαν ἐκέλευον τὸν Κλεαρίδαν τὴν Ἀμφίπολιν παραδιδόναι τοῖς Ἀθηναίοις καὶ τοὺς ἄλ-
λους τὰς σπονδάς, ὡς εἴρητο ἑκάστοις, δέχεσθαι. οἱ δ' οὐκ
2 ἤθελον, νομίζοντες οὐκ ἐπιτηδείας εἶναι· οὐδὲ ὁ Κλεαρίδας

---

§ 2. *καὶ μὴ — μᾶλλον.* Hier steckt wohl ein Fehler, vielleicht des Schriftstellers. Pp. will *τῶν* nach *ὀνομάτων* einschieben, *τῶν ἑκασταχοῦ — τινός* von *ὀνομάτων*, dieses von *ἀπαριθμησιν*, *ἀπαριθμησιν* noch von *κατά* abhängen lassen: man berechne nach den Zeiten und nicht nach der Aufzählung der zu Merkmalen des früher Geschehenen dienenden Namen derer die in den einzelnen Staaten die höchsten Stellen bekleiden oder eine Ehrenstelle einnehmen mehr (oder eher) Vertrauen schenkend. Mehrfach unbefriedigend. — *ἀπαριθμησιν* läßt der Sch. von *πιστεύσας* abhängen. — *σημαινόντων, σημασίαν καὶ δήλωσιν διδόντων.* (Sch.) — *οὐ γὰρ ἀκριβές ἐστιν* denn es ist damit (z. B. mit Erwähnung des Archons) nicht genau bestimmt. — *οἷς ἀρχομένοις* unter welchen anfangenden, d. h. ob unter dem Anfang der Magistratur. — *ὅπως ἔτυχέ τῳ* unter welchem andern Zeitpuncte irgend, z. B. bald nach dem Anfange, gegen das Ende ꝛc. (Hk.) Zu *ἔτυχεν* ergänze man *ἐπιγενόμενον.* Gr. 56, 4 A. 2 u. 16 A. vgl. 5, 56, 4. 8, 95, 2.

§ 3. *ἐξ — ἔχοντος* da aus den Halbtheilen beider, d. h. indem der Sommer die eine der Winter die andere Hälfte ausmacht, das Jahr seinen Betrag hat, daraus besteht: (St. u. P.) — *δύναμιν* Summe auch 2, 97, 3 u. 6, 46, 2 (Dobree.)

C. 21. § 1. *ἔλαχον* erhielten durchs Loos die Bestimmung. — *πρότεροι* gehört zu *ἀποδιδόναι.* vgl. 5, 35, 2 u. Gr. 57, 5 A. 3. — *τοὺς ἄλλους*, die thrakischen Bundesgenossen 5, 18, 4. 5. (Sch. u. Pp.) — *εἴρητο, συνεφωνήθη.* (Sch.) nach 18, 3 ff. vgl. zu 2. — *ἐπιτηδείας* zuträglich, wie 5, 112, 2. vgl. 2, 2, 4 u.

παρέδωκε τὴν πόλιν, χαριζόμενος τοῖς Χαλκιδεῦσιν, λέγων ὡς οὐ δυνατὸς εἴη βίᾳ ἐκείνων παραδιδόναι. ἐλθὼν δὲ αὐτὸς κατὰ τάχος μετὰ πρέσβεων αὐτόθεν ἀπολογησόμενός τε ἐς τὴν Λακεδαίμονα, ἣν κατηγορῶσιν οἱ περὶ τὸν Ἰσχαγόραν ὅτι οὐκ ἐπείθετο, καὶ ἅμα βουλόμενος εἰδέναι εἰ ἔτι μετακινητὴ εἴη ἡ ὁμολογία, ἐπειδὴ εὗρε κατειλημμένας, αὐτὸς μὲν πάλιν πεμπόντων τῶν Λακεδαιμονίων καὶ κελευόντων μάλιστα μὲν καὶ τὸ χωρίον παραδοῦναι, εἰ δὲ μή, ὁπόσοι Πελοποννησίων ἔνεισιν ἐξαγαγεῖν, κατὰ τάχος ἐπορεύετο. οἱ δὲ ξύμμαχοι ἐν τῇ Λακεδαίμονι αὐτοῦ ἔτυχον ὄντες καὶ 22
αὐτῶν τοὺς μὴ δεξαμένους τὰς σπονδὰς ἐκέλευον οἱ Λακεδαιμόνιοι ποιεῖσθαι. οἱ δὲ τῇ αὐτῇ προφάσει ἥπερ καὶ τὸ πρῶτον ἀπεώσαντο οὐκ ἔφασαν δέξασθαι, ἢν μή τινας δικαιοτέρας τούτων ποιῶνται. ὡς δ' αὐτῶν οὐκ ἐσήκουον, 2
ἐκείνους μὲν ἀπέπεμψαν, αὐτοὶ δὲ πρὸς τοὺς Ἀθηναίους ξυμμαχίαν ἐποιοῦντο, νομίζοντες ἥκιστα ἂν σφίσι τούς τε Ἀργείους, ἐπειδὴ οὐκ ἤθελον Ἀμπελίδου καὶ Λίχου ἐλθόντων ἐπισπένδεσθαι, νομίσαντες αὐτοὺς ἄνευ Ἀθηναίων οὐ δεινοὺς εἶναι, καὶ τὴν ἄλλην Πελοπόννησον μάλιστ' ἂν ἡσυ-

---

§ 2. *βίᾳ*. zu 1, 43, 2. — *ἐκείνων, τῶν Χαλκιδέων.* (Sch.) — *μεταχινητή, ἤγουν δυνατὴ κινηθῆναι.* (Sch.) umzustoßen sei. (Hl.) in Bezug auf einzelne Puncte. — *κατειλημμένας, ἰσχυρὰς τὰς σπονδάς.* (Sch.) festgestellt; *κατειλημμένους*, was Pp. nicht für nöthig hält, hatte ich schon vor länger als fünfundzwanzig Jahren beigeschrieben, vielleicht auch irgendwo mitgetheilt. Gegen die gew. La., bemerkt Haase, spreche die Beziehung auf das entfernte *σπονδάς* statt, wie *μεταχινητή*, auf *ὁμολογίας*, und der Gebrauch des Thuk., der *καταλαμβάνειν* so nur von Menschen hat 1, 9, 1. 4, 86, 1. Keine Ausnahme sei 8, 63, 2, wo *τὰ ἐν τῷ στρατεύματι* s. v. a. *στρατιῶται* seien.

C. 22. § 1. *αὐτοῦ* für *αὐτοί* Kr. Xen. Hell. 7, 4, 36: *ἐν τῇ Τεγέᾳ αὐτοῦ.* Thuk. 8, 28, 5: *ἐς τὴν Μίλητον αὐτοῦ.* 5, 83, 1: *ἐκ τοῦ Ἄργους αὐτόθεν.* (Kr.) vgl zu 3, 81, 2. — *ποιεῖσθαι, αὐτάς.* (Pp.) — *τὸ πρῶτον* wohl mit Bezug auf 5, 17, 3. — *δέξασθαι.* Gr. 53, 1 A. 10. vgl. Heindorf zu Plat. Phäd. 32. — *τούτων, τῶν γενομένων.* (Sch.)

§ 2. *ἐπισπένδεσθαι, ἄλλας σπονδὰς σπένδεσθαι* 5, 14, 3; *ἐπι* — dazu, ferner. — *νομίσαντες αὐτούς* ist Wiederholung des *νομίζοντες τοὺς Ἀργείους.* (Sch.) Die Epanalepsis (Gr. 65, 9 A. 2) ist bei einem so kurzen Zwischensatze durch nichts gerechtfertigt. Doch mag die Schuld dem Schriftsteller aufgebürdet werden. — *οὐ* als ob *ἥκιστα*

χάζειν· πρὸς γὰρ ἂν τοὺς Ἀθηναίους, εἰ ἐξῆν, χωρεῖν. παρόντων οὖν πρέσβεων ἀπὸ τῶν Ἀθηναίων καὶ γενομένων λόγων ξυνέβησαν καὶ ἐγένοντο ὅρκοι καὶ ξυμμαχία ἥδε.

23 "Κατὰ τάδε ξύμμαχοι ἔσονται Λακεδαιμόνιοι πεντήκοντα ἔτη. ἢν δέ τινες ἴωσιν ἐς τὴν γῆν πολέμιοι τὴν Λακεδαιμονίων καὶ κακῶς ποιῶσι Λακεδαιμονίους, ὠφελεῖν Ἀθηναίους Λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ
2 τὸ δυνατόν· ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπὸ ἀμφοτέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε. ταῦτα δ' εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως. καὶ ἢν τινες ἐς τὴν Ἀθηναίων γῆν ἴωσι πολέμιοι καὶ κακῶς ποιῶσιν, Ἀθηναίους ὠφελεῖν Λακεδαιμονίους τρόπῳ ὅτῳ ἂν
3 δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν· ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπ' ἀμφοτέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε. ταῦτα δ' εἶναι δικαίως καὶ προθυμως καὶ ἀδόλως. ἢν δὲ ἡ δουλεία ἐπανιστῆται, ἐπικουρεῖν Ἀθηναίους Λακεδαιμονίοις παντὶ σθένει κατὰ τὸ δυνατόν.
4 ὀμοῦνται δὲ ταῦτα οἵπερ καὶ τὰς ἄλλας σπονδὰς ὤμνυον ἑκατέρων. ἀνανεοῦσθαι δὲ κατ' ἐνιαυτὸν Λακεδαιμονίους μὲν ἰόντας ἐς Ἀθήνας πρὸς τὰ Διονύσια, Ἀθηναίους δὲ
5 ἰόντας ἐς Λακεδαίμονα πρὸς τὰ Ὑακίνθια. στήλην δὲ ἑκα-

---

nicht vorherginge. — γάρ denn ſonſt, wenn die Athener nicht durch einen Vertrag ſie aufzunehmen gehindert wären. (Ba.) — χωρεῖν, τοὺς Πελοποννησίους. (Sch.) τοὺς ἄλλους II. Py. Der Sache nach möchte man lieber τοὺς Ἀργείους denken. — λόγων, συμβατικῶν. (Sch.)

C. 23. § 1. Κατὰ τάδε zieht man ſonſt zum vorigen C.; doch ſ. 5, 77, 1. 79, 1. 8, 36, 1. vgl. 18, 1. — Λακεδαιμόνιοι. Ausgefallen iſt καὶ Ἀθηναῖοι. (F. Bs.) — Λακεδαιμονίους, das zweite, verdächtigt Schäfer zu Eur. Or. 793. (Py.) vgl. § 2. — τρόπῳ — δυνατόν auf die kräftigſte Weiſe auf die ſie ihren Mitteln nach könnten. vgl. § 2. (3.) 5, 47, 3. 5. Plat. Rep. 458, e: γάμους ποιήσομεν ἱεροὺς εἰς δύναμιν ὅτι μάλιστα.

§ 2. τὴν πόλιν, τῶν δῃωσάντων. (Sch.) — εἶναι. Xen. Hell. 4, 4, 8: πάντα εἶναι ἀδόλως. vgl. Her. 1, 69. Gr. 62, 2 A. 3. — Ἀθηναίους verband man mit dem Vorhergehenden.

§ 3. ἡ δουλεία, ἤγουν τὸ πλῆθος τῶν δούλων, οἱ Εἵλωτες. (Sch.) So θεραπηίη Her. 1, 199.

τέρους στῆσαι τὴν μὲν ἐν Λακεδαίμονι παρ' Ἀπόλλωνι ἐν Ἀμυκλαίῳ, τὴν δὲ ἐν Ἀθήναις ἐν πόλει παρ' Ἀθηνᾷ. ἦν δέ τι δοκῇ Λακεδαιμονίοις καὶ Ἀθηναίοις προσθεῖναι καὶ ἀφελεῖν περὶ τῆς ξυμμαχίας, ὅ τι ἂν δοκῇ, εὔορκον ἀμφοτέροις εἶναι."

Τὸν δὲ ὅρκον ὤμνυον Λακεδαιμονίων μὲν οἵδε, Πλει- 24
στοάναξ, Ἄγις, Πλειστόλας, Λαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Λάϊθος, Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἀντιππος, Ἀλκινάδας, Τέλλις, Ἐμπεδίας, Μηνᾶς, Λάφιλος· Ἀθηναίων δὲ Λάμπων, Ἰσθμιόνικος, Λάχης, Νικίας, Εὐθύδημος, Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς, Θεαγένης, Ἀριστοκράτης, Ἰώλκιος, Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης.

Αὕτη ἡ ξυμμαχία ἐγένετο μετὰ τὰς σπονδὰς οὐ πολλῷ 2
ὕστερον, καὶ τοὺς ἄνδρας τοὺς ἐκ τῆς νήσου ἀπέδοσαν οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις καὶ τὸ θέρος ἦρχε τοῦ ἑνδεκάτου ἔτους. ταῦτα δὲ τὰ δέκα ἔτη ὁ πρῶτος πόλεμος ξυνεχῶς γενόμενος γέγραπται.

Μετὰ δὲ τὰς σπονδὰς καὶ τὴν ξυμμαχίαν τῶν Λακεδαι- 25
μονίων καὶ τῶν Ἀθηναίων, αἳ ἐγένοντο μετὰ τὸν δεκαετῆ πόλεμον ἐπὶ Πλειστόλα μὲν ἐν Λακεδαίμονι ἐφόρου, Ἀλκαίου δ' ἄρχοντος Ἀθήνησι, τοῖς μὲν δεξαμένοις αὐτὰς εἰρήνη ἦν, οἱ δὲ Κορίνθιοι καὶ τῶν ἐν Πελοποννήσῳ πόλεών τινες διε- 2
κίνουν τὰ πεπραγμένα καὶ εὐθὺς ἄλλη ταραχὴ καθίστατο τῶν ξυμμάχων πρὸς τὴν Λακεδαίμονα. καὶ ἅμα καὶ τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι προϊόντος τοῦ χρόνου ὕποπτοι ἐγένοντο, ἔστιν ἐν οἷς οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων ἃ

---

§ 5. παρ' Ἀ. neben der Statue des A. — προσθεῖναι καὶ ἀφελεῖν. vgl. 5, 18, 10. 29, 3. 47, 13, Pol. 22, 26, 27. ohne τι 7, 9, 17. vgl. Heindorf zu Plat. Theät. 31 u. Stallbaum z. Rep. 1, 12. Andok. 3, 40: ἔξεστιν ἀφελεῖν. Mit τι entgegengesetzt stehen beide Begriffe auch Plat. Krat. 432, a u. Phäd. 95, e.

S. 24. § 2. μετὰ τὰς σπονδάς 5, 18. — τῆς νήσου, Sphakteria. (Wasse.) — ξυνεχῶς ohne Unterbrechung, wie jetzt eine eintrat.

S. 25. § 2. τινές, Mantinea 5, 29, 1; Elis 31, 1. (Py.) — διεκίνουν suchten zu zerstören. (Hl.) — ἐκ τῶν ξυγκειμένων verdächtigt Kr. — εἴρητο, ἐν ταῖς σπονδαῖς. (Sch)

3 εἴρητο. καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἔξωθεν δὲ μετ' ἀνακωχῆς οὐ βεβαίου ἔβλαπτον ἀλλήλους τὰ μάλιστα· ἔπειτα μέντοι καὶ ἀναγκασθέντες λῦσαι τὰς μετὰ τὰ δέκα ἔτη σπονδὰς
26 αὖθις ἐς πόλεμον φανερὸν κατέστησαν. γέγραφε δὲ καὶ ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθηναῖος ἑξῆς, ὡς ἕκαστα ἐγένετο, κατὰ θέρη καὶ χειμῶνας, μέχρι οὗ τήν τε ἀρχὴν κατέ-
παυσαν τῶν Ἀθηναίων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι καὶ
2 τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ κατέλαβον. ἔτη δὲ ἐς τοῦτο τὰ ξύμπαντα ἐγένετο τῷ πολέμῳ ἑπτὰ καὶ εἴκοσι. καὶ τὴν διὰ μέσου ξύμβασιν εἴ τις μὴ ἀξιώσει πόλεμον νομίζειν, οὐκ ὀρθῶς δικαιώσει. τοῖς τε γὰρ ἔργοις ὡς διῄρηται ἀθρείτω καὶ εὑρήσει οὐκ εἰκὸς ὂν εἰρήνην αὐτὴν κριθῆναι,
3 ἐν ᾗ οὔτε ἀπέδοσαν πάντα οὔτ' ἀπεδέξαντο ἃ ξυνέθεντο, ἔξω τε τούτων πρὸς τὸν Μαντινικὸν καὶ Ἐπιδαύριον πόλεμον καὶ ἐς ἄλλα ἁμφοτέροις ἁμαρτήματα ἐγένοντο, καὶ οἱ ἐπὶ Θρᾴκης ξύμμαχοι οὐδὲν ἧσσον πολέμιοι ἦσαν, Βοιωτοί τε ἐχεχειρίαν δεχήμερον ἦγον. ὥστε ξὺν τῷ πρώτῳ πολέμῳ τῷ

---

§ 3. ἓξ. ἑπτά Acacius und Kr., δέκα. δ', τέσσαρας Kr. z. Clinton F. H. 414. Ullrich Beiträge zur Erkl. des Thuk. S. 153 ff. sucht ἓξ καὶ τέσσαρας als das Richtige zu erweisen. — ἀπέσχοντο μή. Xen. ἱππ. 9, 5: τῶν ἀπεχομένων μὴ ἱππεύειν. Gr. 67, 12 A. 3. — ἑκατέρων. ἀλλήλων wäre das übliche. zu 1, 44, 1. — στρατεῦσαι, was zuerst die Athener 6, 105, 1 ff. verschuldeten. — μετ' ἀναχωχῆς unter Waffenruhe (Ba.) per. (Ba). — ἀναγκασθέντες. zu 4, 25, 1.

C. 26. § 1. κατέλαβον. κατέβαλον zwei Hss.; nicht übel. Plut. Lys. 14: καββαλόντες τὸν Πειραιᾶ καὶ τὰ μακρὰ σκέλη. Xen. Hell. 2, 2, 20: τὰ μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντες. (Dr.)

§ 2. δικαιώσει, δικαίως κρινεῖ. (Sch.) — τοῖς τε. Dem τέ entspricht ἔξω τε. (Arn.) — τοῖς ἔργοις ὡς διῄρηται wie er, ἢ διὰ μέσου ξύμβασις, durch die Thatsachen von dem frühern und spätern Kriege geschieden ist, gleichfalls durch Thätlichkeiten bezeichnet, also nicht wesentlich verschieden. Schlechtere Hss. haben διείρηται. vgl. Schömann z. Isä. p. 468. — αὐτήν kann man nach Gr. 61, 7 A. 1 erklären. Plat. Euthyphr. 2, a: οὐ δίκην αὐτὴν καλοῦσιν ἀλλὰ γραφήν. — ἃ ξυνέθεντο, ἀποδιδόναι καὶ ἀποδέχεσθαι. Gr. 55, 4 A. 11. — πολέμιοι ἦσαν, καὶ μετὰ τὴν εἰρήνην. (Sch.)

§ 3. τὸν Μαντινικόν 5, 33 ff. (Pp.) — Ἐπιδαύριον 5, 53 ff. (Ds.) — δεχήμερον den man alle zehn Tage erneu-

δεκαετεῖ καὶ τῇ μετ' αὐτὸν ὑπόπτῳ ἀναχωχῇ καὶ τῷ ὕστερον ἐξ αὐτῆς πολέμῳ εὑρήσει τις τοσαῦτα ἔτη, λογιζόμενος κατὰ τοὺς χρόνους καὶ ἡμέρας οὐ πολλὰς παρενεγκούσας· καὶ τοῖς ἀπὸ χρησμῶν τι ἰσχυρισαμένοις μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν· ἀεὶ γὰρ ἔγωγε μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου 4
καὶ μέχρι οὗ ἐτελεύτησεν, προφερόμενον ὑπὸ πολλῶν ὅτι τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν. ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ, αἰσθανόμενός τε τῇ ἡλικίᾳ καὶ προσέχων τὴν γνώμην, ὅπως ἀκριβές τι εἴσομαι· καὶ ξυνέβη μοι φεύγειν τὴν ἐμαυ- 5
τοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπολιν στρατηγίαν καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι, καὶ οὐχ ἧσσον τοῖς Πελοποννησίων διὰ τὴν φυγήν, καθ' ἡσυχίαν τι αὐτῶν μᾶλλον αἴσθεσθαι. τὴν οὖν μετὰ τὰ δέκα ἔτη διαφοράν τε καὶ ξύγχυσιν τῶν σπονδῶν καὶ τὰ ἔπειτα ὡς ἐπολεμήθη ἐξηγήσομαι.

Ἐπειδὴ γὰρ αἱ πεντηκοντούτεις σπονδαὶ ἐγένοντο καὶ 27
ὕστερον αἱ ξυμμαχίαι, καὶ αἱ ἀπὸ τῆς Πελοποννήσου πρεσβεῖαι, αἵπερ παρεκλήθησαν ἐς αὐτά, ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος. καὶ οἱ μὲν ἄλλοι ἐπ' οἴκου ἀπῆλθον, Κορίνθιοι 2
δὲ ἐς Ἄργος τραπόμενοι πρῶτον λόγους ποιοῦνται πρός

---

ert e. (Dodwell.) vgl. 5, 32, 4. 5. 6, 7, 4. 10, 2. — *παρενεγκούσας, προσθεμένας.* (Sch.) ſ. jedoch zu 5, 20, 1. — *ἀπὸ χρησμῶν, ὡρμημένοις ἀπὸ χρησμῶν.* (Ds.) die auf Prophezeiungen hin, auf P. geſtützt. — *ἐχυρῶς* ſicher, eintreffend. (Va.) — *ξυμβάν.* Ar. Ri. 220: *χρησμοί τε ξυμβαίνουσι καὶ τὸ Πυθικόν.*

§ 4. *προφερόμενα.* vgl. 7, 69, 3. Nach Paſſow ſo nur bei Spätern. — *ἐπεβίων.* zu 2, 65, 3. — *αἰσθανόμενος.* zu 1, 71, 4 — *τῇ ἡλικίᾳ.* Kr. Leben des Th. S. 9 f. epikr. Nachtr. S. 14 ff. u. Ullrich Beiträge S. 128 ff. — *εἴσομαι.* Gr. 38, 7 A. 5.

§ 5. *φεύγειν.* Kr. Leben des Th. S. 47 ff. — *παρ' ἀμφοτέροις, τοῖς τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων.* (Sch.) Man würde den Ge. erwarten. Aehnlich Xen. Oek. 4, 5: *ἐξ ὁπόσων περ ἐθνῶν δασμοὺς λαμβάνει, τέταχε τῷ ἄρχοντι ἑκάστῳ εἰς ὁπόσους δεῖ διδόναι τροφὴν ἱππέας.* — *αἴσθεσθαι* für *αἰσθέσθαι* mit drei der beſten Hſn. Bk. vgl. Gr. § 40 u. d. W. — *τι.* Gr. 51, 16 A. 10. — *ξύγχυσιν.* zu 1, 146. — *ὡς.* zu 1, 1, 1.

C. 27. § 1. *αἱ ξυμμαχίαι.* Der Plural in ſofern auch Bundesgenoſſen ſie annahmen 5, 25, 1. — *καὶ αἱ.* Hier fängt der Nachſatz an: kehrten auch die. (Hf.) — *ἐς αὐτά* zu den Verhandlungen darüber nach Sparta.

§ 2. *πρῶτον* gehört zum ganzen Gedanken: das erſte was ſie

τινας τῶν ἐν τέλει ὄντων Ἀργείων ὡς χρή, ἐπειδὴ Λακεδαιμόνιοι οὐκ ἐπ' ἀγαθῷ ἀλλ' ἐπὶ καταδουλώσει τῆς Πελοποννήσου σπονδὰς καὶ ξυμμαχίαν πρὸς Ἀθηναίους τοὺς πρὶν ἐχθίστους πεποίηνται, ὁρᾶν τοὺς Ἀργείους ὅπως σωθήσεται ἡ Πελοπόννησος, καὶ ψηφίσασθαι τὴν βουλομένην πόλιν τῶν Ἑλλήνων, ἥτις αὐτόνομός τέ ἐστι καὶ δίκας ἴσας καὶ ὁμοίας δίδωσι, πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι ὥστε τῇ ἀλλή-
3 λων ἐπιμαχεῖν, ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας, καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι, τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος· ἔφασαν δὲ πολλοὺς προσχωρήσεσθαι μίσει τῶν Λακεδαιμονίων. καὶ οἱ μὲν Κορίνθιοι διδάξαντες ταῦτα ἀνεχώρησαν ἐπ' οἴκου.
28 οἱ δὲ τῶν Ἀργείων ἄνδρες ἀκούσαντες ἐπειδὴ ἀνήνεγκαν τοὺς λόγους ἔς τε τὰς ἀρχὰς καὶ τὸν δῆμον, ἐψηφίσαντο Ἀργεῖοι, καὶ ἄνδρας εἵλοντο δώδεκα πρὸς οὓς τὸν βουλόμενον τῶν Ἑλλήνων ξυμμαχίαν ποιεῖσθαι πλὴν Ἀθηναίων καὶ Λακεδαιμονίων· τούτων δὲ μηδετέροις ἐξεῖναι ἄνευ τοῦ δήμου
2 τοῦ Ἀργείων σπείσασθαι. ἐδέξαντό τε ταῦτα οἱ Ἀργεῖοι μᾶλλον ὁρῶντες τόν τε τῶν Λακεδαιμονίων σφίσι πόλεμον ἐσόμενον, ἐπ' ἐξόδῳ γὰρ πρὸς αὐτοὺς αἱ σπονδαὶ ἦσαν, καὶ

---

thaten war daß sie. — ἀγαθῷ, συμφέροντι. (Sch.) — δίκαι. vgl. 5, 79, 1. (Pp.) vgl. zu 1, 28, 1. — ἴσας καὶ ὁμοίας. zu 1, 27, 1. — ἀλλήλων. zu 1, 44, 1. — ἐπιμαχεῖν. zu 1, 44, 1.

§ 3. ἀρχήν in Anſehung der Macht. — αὐτοκράτορας, ἀνάθεσιν τῶν ὅλων πραγμάτων ἔχοντας. (Sch.) zu 2, 65, 2. — τοῦ μή —, ἵνα μὴ φωραθῶσιν ὑπὸ τῶν Λακεδαιμονίων οἱ συνθέμενοι τοῖς Ἀργείοις. (Sch.) zu 1, 4, 2. — τοὺς μὴ πείσαντας, ἐὰν μὴ πείσωσι. (Sch.) Ueber den Artikel zu 3, 81, 3. Abgeſandte die vor dem Volke der Argeier auftraten konnten nicht unbekannt bleiben und hatten perſönliche Gefahren von Seiten der Lakedämonier zu befürchten, wenn die Verbindung mit Argos fehlſchlug. — προσχωρήσεσθαι, τοῖς Ἀργείοις. (Sch.)

C. 28. § 1. ἀνήνεγκαν. Soph. Ant. 272: ἀνοιστέον σοι τοὔργον. vgl. dort die Erkl. — οἱ τῶν Ἀργείων ἄνδρες, τῶν ἐν τέλει ὄντων Ἀργείων 5, 27, 2. (Ba.) — ἐψηφίσαντο nahmen die Vorſchläge durch Beſchluß an. — ποιεῖσθαι, ἐψηφίσαντο, hier bloß in der Bedeutung beſchloſſen. (Pp.) Gr. 65, 11 A. 9. — μηδετέροις hängt von σπείσασθαι ab. (Ba.) — ἄνευ. zu 1, 91, 4. — τοῦ Ἀ. für τῶν Ἀ. einige gute Hſn. Kr. Gr. 50, 8 A. 11 zweite Ausg. — ἐξεῖναι, ἐψηφίσαντο. (Hudſon.)

§ 2. τε. zu 5, 11, 2. — ἐπ' ἐξόδῳ, ἐπὶ τέλους. (Sch.) zu 5, 14, 3. — ἡγήσεσθαι, ἡγεμόνες ἔσεσθαι. (Sch.)

ἅμα ἐλπίσαντες τῆς Πελοποννήσου ἡγήσεσθαι· κατὰ γὰρ τὸν 3
χρόνον τοῦτον ἥ τε Λακεδαίμων μάλιστα δὴ κακῶς ἤκουσε
καὶ ὑπερώφθη διὰ τὰς ξυμφοράς, οἵ τε Ἀργεῖοι ἄριστα
ἔσχον τοῖς πᾶσιν, οὐ ξυναράμενοι τοῦ Ἀττικοῦ πολέμου,
ἀμφοτέροις δὲ μᾶλλον ἔνσπονδοι ὄντες ἐκκαρπωσάμενοι. οἱ
μὲν οὖν Ἀργεῖοι οὕτως ἐς τὴν ξυμμαχίαν προσεδέχοντο τοὺς
ἐθέλοντας τῶν Ἑλλήνων, Μαντινῆς δ' αὐτοῖς καὶ οἱ ξύμμαχοι 29
αὐτῶν πρῶτοι προσεχώρησαν, δεδιότες τοὺς Λακεδαιμονίους.
τοῖς γὰρ Μαντινεῦσι μέρος τι τῆς Ἀρκαδίας κατέστραπτο
ὑπήκοον, ἔτι τοῦ πρὸς Ἀθηναίους πολέμου ὄντος, καὶ ἐνό- 2
μιζον οὐ περιόψεσθαι σφᾶς τοὺς Λακεδαιμονίους ἄρχειν,
ἐπειδὴ καὶ σχολὴν ἦγον· ὥστε ἄσμενοι πρὸς τοὺς Ἀργείους
ἐτράποντο, πόλιν τε μεγάλην νομίζοντες καὶ Λακεδαιμονίοις
ἀεὶ διάφορον, δημοκρατουμένην τε ὥσπερ καὶ αὐτοί. ἀπο-
στάντων δὲ τῶν Μαντινέων καὶ ἡ ἄλλη Πελοπόννησος ἐς
θροῦν καθίστατο ὡς καὶ σφίσι ποιητέον τοῦτο, νομίσαντες 3
πλέον τέ τι εἰδότας μεταστῆναι αὐτοὺς καὶ τοὺς Λακεδαι-
μονίους ἅμα δι' ὀργῆς ἔχοντες, ἐν ἄλλοις τε καὶ ὅτι ἐν ταῖς
σπονδαῖς ταῖς Ἀττικαῖς ἐγέγραπτο εὔορκον εἶναι προσθεῖναι

---

§ 3. *μάλιστα δή*, ὑπερβαλλόντως. (Sch.) zu 1, 1, 2. — *ὑπερ-ώφθη*, ἐξουδενώθη. (Sch.) vgl. zu 7, 42, 3. — *διὰ τὰς ξυμφοράς* 5, 14, 2. (Pp.) — *ἄριστα ἔσχον* waren in den beſten Zuſtand gelangt. — *τοῖς πᾶσιν* in allen Dingen, Stücken. (Pp.) — *ξυναράμενοι τοῦ*. zu 2, 71, 2. — *Ἀττικοῦ* gegen die Athener, wie 31, 3. vgl. 1, 128, 2. 2, 95, 2. vgl. zu 1, 24, 4. — *ἀμφοτέροις, τοῖς Λακεδαιμονίοις καὶ Ἀθηναίοις*. (Sch.) — *μᾶλλον* vielmehr gehört zu *ἐκκαρπωσάμενοι*. (Ps.) — *ἐκκαρπωσάμενοι, τοὺς καρποὺς καὶ τὰς προσόδους λαβόντες ἀπὸ τῆς γῆς ἀλλοτρίους*. (Sch.) — *ἐθέλοντας* erg. *προσχωρεῖν* als Paſſiv zu *προσδέχεσθαι*. Gr. 55, 4 A. 11.

C. 29. § 1. *μέρος τι* 5, 33, 1. (Hf.) — *ὑπήκοον*. Gr. 57, 4 A. 2.

§ 2. *περιόψεσθαι, ἐπιτρέψειν*. (Sch.) zu 1, 35, 3. — *σφᾶς, τοὺς Μαντινέας*. (Sch.) — *ἄρχειν, τῶν κατεστραμμένων*. (Sch.) — *ἐπειδὴ καί* ſowohl aus andern Gründen als auch weil. Gr. 69, 32 A. 17. — *ἦγον, οἱ Λακεδαιμόνιοι*. (Sch.) — *ὥσπερ καὶ αὐτοί, ἐδημοκρατοῦντο*. vgl. 5, 44, 1. 7, 55, 2. Xen. Cyr. 8, 4, 21: *τῷ εὖ δεδειπνηκότι, ὥσπερ καὶ ἐγὼ νῦν, ἄδειπνος ἂν συναρμόζοι*. vgl. Gr. 62, 4 A. 1. — *τοῦτο, τὸ προσελθεῖν τοῖς Ἀργείοις*. (Sch.)

§ 3. τε. zu 5, 11, 2. — *ἐν ἄλλοις* in andern Dingen, in Bezug auf dieſelben. — *Ἀττικαῖς* mit den Athenern, wie 36, 2.

καὶ ἀφελεῖν ὅ τι ἂν ἀμφοῖν τοῖν πολέοιν δοκῇ, Λακεδαιμο-
4 νίοις καὶ Ἀθηναίοις. τοῦτο γὰρ τὸ γράμμα μάλιστα τὴν Πελοπόννησον διεθορύβει καὶ ἐς ὑποψίαν καθίστη μὴ μετὰ Ἀθηναίων σφᾶς βούλωνται Λακεδαιμόνιοι δουλώσασθαι· δίκαιον γὰρ εἶναι πᾶσι τοῖς ξυμμάχοις γεγράφθαι τὴν μετάθεσιν. ὥστε φοβούμενοι οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργείους καὶ αὐτοὶ ἕκαστοι ξυμμαχίαν ποιεῖσθαι.

30 Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸν θροῦν τοῦτον ἐν τῇ Πελοποννήσῳ καθεστῶτα καὶ τοὺς Κορινθίους διδασκάλους τε γενομένους καὶ αὐτοὺς μέλλοντας σπείσασθαι πρὸς τὸ Ἄργος, πέμπουσι πρέσβεις ἐς τὴν Κόρινθον βουλόμενοι προκαταλαβεῖν τὸ μέλλον, καὶ ᾐτιῶντο τήν τε ἐσήγησιν τοῦ
2 παντὸς καὶ εἰ Ἀργείοις, σφῶν ἀποστάντες, ξύμμαχοι ἔσονται, παραβήσεσθαί τε ἔφασαν αὐτοὺς τοὺς ὅρκους, καὶ ἤδη ἀδικεῖν ὅτι οὐ δέχονται τὰς Ἀθηναίων σπονδάς, εἰρημένον
3 κύριον εἶναι ὅ τι ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται, ἢν μή τι θεῶν ἢ ἡρώων κώλυμα ᾖ. Κορίνθιοι δὲ παρόντων σφίσι τῶν ξυμμάχων, ὅσοι οὐδ' αὐτοὶ ἐδέξαντο τὰς σπονδάς — παρεκάλεσαν δὲ αὐτοὺς αὐτοὶ πρότερον — ἀντέλεγον τοῖς Λακεδαιμονίοις, ἃ μὲν ἠδικοῦντο, οὐ δηλοῦντες ἄντικρυς,

---

Ἀθηναίων 30, 2. 4. 40, 2. 3 u. zu 1, 35, 1; mit πρός 5, 40, 2. 46, 5. — εὔορκον 5, 18, 10. 23, 5. (Wasse.)

§ 4. γράμμα Klausel. (Gb.) — μή. zu 2, 13, 1. — εἶναι, ἐνόμιζον aus ὑποψίαν. (Hk.) Gr. 65, 11 A. 7. — πᾶσι γεγράφθαι τὴν μετάθεσιν die Erlaubniß zu Aenderungen allen garantirt worden wäre. (Ba.) — πρὸς τοὺς Ἀργείους gehört zu ξυμμαχίαν ποιεῖσθαι. (Dr.) Anders jedoch Haase Lucubrr. p. 110, wie auch 2, 59, 1.

C. 30. § 1. προκαταλαβεῖν verhüten, vorbauen. (Ba.) — τὸ μέλλον die beabsichtigte Verbindung mit Argos. (Sch.) — ᾐτιῶντο machten ihnen Vorwürfe über. (Sch.) vgl. 1, 123, 1. 133. — ἐσήγησιν Angabe, Anstiftung. (Ps.) So das Verbum 3, 20, 1. 4, 76, 2. vgl. 6, 99, 2. 7, 73, 1. Xen. Hier. 9, 10: ὁ ἀγαθόν τι εἰσηγούμενος οὐκ ἀτίμητος ἔσται. — καὶ εἰ, καὶ ᾐτιῶντο εἰ. (Sch.) Gr. 65, 5 A. 7. — σφῶν, τῶν Λακεδαιμονίων. (Sch.)

§ 2. εἰρημένον, ὁρισθέντος. (Sch.) Gr. 56, 9 A. 5. vgl. 5, 39, 2. 7, 18, 3. vgl. 7, 77, 6. — κύριον, κεκυρωμένον, βέβαιον. (Sch.) Zu beziehen ist dies auf den peloponnesischen Bundesvertrag. vgl. 5, 47, 10. — τὸ πλῆθος. zu 4, 112, 2.

ὅτι οὔτε Σόλλιον σφίσιν ἀπέλαβον παρ' Ἀθηναίων οὔτε Ἀνακτόριον, εἴ τέ τι ἄλλο ἐνόμιζον ἐλασσοῦσθαι, πρόσχημα δὲ ποιούμενοι τοὺς ἐπὶ Θρᾴκης μὴ προδώσειν· ὀμόσαι γὰρ αὐτοῖς ὅρκους ἰδίᾳ τε, ὅτε μετὰ Ποτιδαιατῶν τὸ πρῶτον ἀφίσταντο, καὶ ἄλλους ὕστερον. οὔκουν παραβαίνειν τοὺς τῶν ξυμμάχων ὅρκους ἔφασαν οὐκ ἐσιόντες ἐς τὰς τῶν Ἀθηναίων σπονδάς· θεῶν γὰρ πίστεις ὀμόσαντες ἐκείνοις οὐκ ἂν εὐορκεῖν προδιδόντες αὐτούς. εἰρῆσθαι δ' ὅτι ἢν μὴ θεῶν ἢ ἡρώων κώλυμα ᾖ· φαίνεσθαι οὖν σφίσι κώλυμα θεῖον τοῦτο. καὶ περὶ μὲν τῶν παλαιῶν ὅρκων τοσαῦτα εἶπον, περὶ δὲ τῆς Ἀργείων ξυμμαχίας μετὰ τῶν φίλων βουλευσάμενοι ποιήσειν ὅ τι ἂν δίκαιον ᾖ. καὶ οἱ μὲν Λακεδαιμονίων πρέσβεις ἀνεχώρησαν ἐπ' οἴκου, ἔτυχον δὲ παρόντες ἐν Κορίνθῳ καὶ Ἀργείων πρέσβεις, οἳ ἐκέλευον τοὺς Κορινθίους ἰέναι ἐς τὴν ξυμμαχίαν καὶ μὴ μέλλειν· οἱ δὲ ἐς τὸν ὕστερον ξύλλογον αὐτοῖς τὸν παρὰ σφίσι προεῖπον ἥκειν.

Ἦλθε δὲ καὶ Ἠλείων πρεσβεία εὐθὺς καὶ ἐποιήσαντο πρὸς Κορινθίους ξυμμαχίαν πρῶτον, ἔπειτα ἐκεῖθεν ἐς Ἄργος ἐλθόντες, καθάπερ προείρητο, Ἀργείων ξύμμαχοι ἐγένοντο. 31

---

§ 3. *Σόλλιον. Σάλλειον* viele u. gute Hfn.; doch vgl. 3, 95, 1, wo alle *Σόλλιον* oder *Σόλιον* haben. — *ἀπέλαβον, οἱ Κορίνθιοι.* (Sch.) Vielmehr *οἱ Λακεδαιμόνιοι*, wie 35, 5, was wegen *σφίσιν* nothwendig ist. Gr. 51, 2 A. 3. — *εἴ τε.* zu 1, 35, 2. — *πρόσχημα.* zu 1, 96, 1. — *προδώσειν.* Gr. 61, 6 A. 8.

§ 4. *ὕστερον. κοινῇ* entbehr' ich ungern. — *οὔκουν — ἔφασαν* sie verletzten also nicht, erklärten sie, die eidliche Verpflichtung gegen ihre Verbündeten, insbesondere die Lakedämonier als Hegemonen. (Va.) — *θεῶν πίστεις, θεῶν ὅρκους ἐπὶ πίστει.* (Sch.) Aehnlich *ὅρκοι θεῶν* Xen. An. 2, 5, 7. 3, 1, 22. 2, 10. — *ἐκείνοις* den Verbündeten in Thrake. (Va.)

§ 5. *ὅτι, κύριον ἔσται ὅ τι ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται.* aus § 2. (Hf.) Thuk. schrieb wohl: *ὅ τι δ' εἰρῆσθαι — ᾖ, φαίνεσθαι σφίσιν.* Gr. 51, 13 A. 13. — *τῶν παλαιῶν ὅρκων, τῶν πρὸς τοὺς ἐπὶ Θρᾴκης.* (Sch.) Vielmehr *τῶν πρὸς τοὺς Λακεδαιμονίους.* (Bl.) Ich möchte beide verstehen. — *ποιήσειν, εἶπον.* (Va.) — *Ἀργείων. Ἀργείας* mehrere u. einige gute Hfn. vgl. jedoch 3, 86, 1. 5, 11, 2. 25, 1. 32, 5. 44, 1. 45, 1. 46, 2. 78. 82, 4. 8, 6, 1. (6, 33, 2.) vgl. zu 5, 29, 3. — *ἥκειν, τοὺς Κορινθίους.* (Sch.)

§ 6. *σφίσι, τοῖς Κορινθίοις.* (Sch.)

S. 31. § 1. *ἐποιήσαντο. ἐποιήσατο* mehrere Hfn. — *προείρητο* 5, 27, 2. 3. (Hudson.) vgl. 28, 1. (Bl.)

2 διαφερόμενοι γὰρ ἐτύγχανον τοῖς Λακεδαιμονίοις περὶ Λεπρέου. πολέμου γὰρ γενομένου ποτὲ πρὸς Ἀρκάδων τινὰς Λεπρεάταις καὶ Ἠλείων παρακληθέντων ὑπὸ Λεπρεατῶν ἐς ξυμμαχίαν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς καταλυσάντων τὸν πόλεμον, Ἠλεῖοι τὴν γῆν νεμομένοις αὐτοῖς τοῖς Λεπρεάταις τάλαντον
3 ἔταξαν τῷ Διὶ τῷ Ὀλυμπίῳ ἀποφέρειν. καὶ μέχρι τοῦ Ἀττικοῦ πολέμου ἀπέφερον, ἔπειτα παυσαμένων διὰ πρόφασιν τοῦ πολέμου οἱ Ἠλεῖοι ἐπηνάγκαζον· οἱ δ' ἐτράποντο πρὸς τοὺς Λακεδαιμονίους. καὶ δίκης Λακεδαιμονίοις ἐπιτραπείσης ὑποτοπήσαντες οἱ Ἠλεῖοι μὴ ἴσον ἕξειν ἀνέντες
4 τὴν ἐπιτροπὴν Λεπρεατῶν τὴν γῆν ἔτεμον. οἱ δὲ Λακεδαιμόνιοι οὐδὲν ἧσσον ἐδίκασαν αὐτονόμους εἶναι Λεπρεάτας καὶ ἀδικεῖν Ἠλείους, καὶ ὡς οὐκ ἐμμεινάντων τῇ ἐπιτροπῇ φρουρὰν ὁπλιτῶν ἐσέπεμψαν ἐς Λέπρεον. οἱ δὲ Ἠλεῖοι, νομίζοντες πόλιν σφῶν ἀφεστηκυῖαν δέξασθαι τοὺς Λακεδαιμονίους καὶ τὴν ξυνθήκην προφέροντες ἐν ᾗ εἴρητο, ἃ ἔχοντες ἐς τὸν Ἀττικὸν πόλεμον καθίσταντό τινες, ταῦτα ἔχοντας καὶ ἐξελθεῖν, ὡς οὐκ ἴσον ἔχοντες ἀφίστανται πρὸς
5 τοὺς Ἀργείους καὶ τὴν ξυμμαχίαν, ὥσπερ προείρητο, καὶ οὗτοι ἐποιήσαντο. ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι εὐθὺς

---

§ 2. *ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς, ἐπὶ τῷ καρποῦσθαι τὸ ἥμισυ γῆς.* (Sch.) Arr. An. 2, 1, 4: *κατιέναι ἐπὶ τοῖς ἡμίσεσι τῶν τότε ὄντων.* Ueber *ἐπί* Gr. 68, 41 A. 8, über *γῆς* 47, 28 A. 9. — *καταλυσάντων* für *καὶ λυσάντων* zwei Hſn., wie ich conjicirt hatte: wenn ſie beigelegt hätten. *Λύειν πόλεμον* hat Thuk. nie geſagt, und wer ſonſt? — *τάλαντον. ταλαντα ε'* Bl.

§ 3. *διὰ πρόφασιν. προφάσει* 3, 86, 2. — *ἐπηνάγκαζον, ἀποφέρειν.* (Sch.) hielten ſie dazu an. Gr. 55, 4 A. 11. — *ἐπιτρέπειν δίκην, δίαιταν*, wie *ἐπιτροπή* ſind die eig. Ausdrücke in dieſer Sache. vgl. 4, 83, 2, Sch. zu 1, 28, 2, Harpokr. in *ἐπιτροπή* u. Bud. comm. p. 150. (Dr.) — *ἴσον, τὸ δίκαιον.* (Sch.) — *ἀνέντες τὴν ἐπιτροπήν, παυσάμενοι τοῦ ἐπιτρέψαι τὴν δίκην Λακεδαιμονίοις.* (Sch.) *οὐκ ἐμμείναντες τῇ ἐπιτροπῇ* § 4.

§ 4. *οὐδὲν ἧσσον* nichtsdeſtoweniger (Va.), obgleich die Eleer die ſchiedsrichterliche Entſcheidung aufgegeben hatten. — *ξυνθήκην.* Es mußte alſo vor dem Anfange des Krieges darüber unter den Peloponneſiern ein beſonderer Vertrag [zur Garantie] geſchloſſen ſein. (Pp.) Sonderbar jedoch daß nicht auch die Korinthier 30, 3 ſich darauf beriefen. (Bl.) — *προφέροντες.* zu 3, 64, 2. — *τινές* Jegliche. Gr. 51, 16 A. 7? Statthaft wäre *οἵτινες.* zu 5, 18, 10. — *ἐξελθεῖν, τοῦ πολέμου.* (Sch.) — *προείρητο* 28, 1.

μετ' ἐκείνους καὶ οἱ ἐπὶ Θρᾴκης Χαλκιδῆς Ἀργείων ξύμμαχοι. Βοιωτοὶ δὲ καὶ Μεγαρῆς τὸ αὐτὸ λέγοντες ἡσύχαζον, περιορώμενοι ὑπὸ τῶν Λακεδαιμονίων καὶ νομίζοντες σφίσι τὴν Ἀργείων δημοκρατίαν, αὐτοῖς ὀλιγαρχουμένοις, ἧσσον ξύμφορον εἶναι τῆς Λακεδαιμονίων πολιτείας.

Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου Σκι- 32
ωναίους μὲν Ἀθηναῖοι ἐκπολιορκήσαντες ἀπέκτειναν τοὺς ἡβῶνιας, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν καὶ τὴν γῆν Πλαταιεῦσιν ἔδοσαν νέμεσθαι, Δηλίους δὲ κατήγαγον πάλιν ἐς Δῆλον, ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις ξυμφορὰς καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος. καὶ Φωκῆς καὶ Λο- 2
κροὶ ἤρξαντο πολεμεῖν. καὶ Κορίνθιοι καὶ Ἀργεῖοι ἤδη ξύμμαχοι ὄντες ἔρχονται ἐς Τέγεαν ἀποστήσοντες Λακεδαιμονίων, ὁρῶντες μέγα μέρος ὄν, καὶ εἰ σφίσι προσγένοιτο, νομίζοντες ἅπασαν ἂν ἔχειν Πελοπόννησον. ὡς δὲ οὐδὲν 3
ἂν ἔφασαν ἐναντιωθῆναι οἱ Τεγεᾶται Λακεδαιμονίοις, οἱ Κορίνθιοι μέχρι τούτου προθύμως πράσσοντες ἀνεῖσαν τῆς φιλονεικίας καὶ ὠρρώδησαν μὴ οὐδεὶς σφίσιν ἔτι τῶν ἄλλων προσχωρῇ. ὅμως δὲ ἐλθόντες ἐς τοὺς Βοιωτοὺς ἐδέοντο σφῶν τε καὶ Ἀργείων γίγνεσθαι ξυμμάχους καὶ τἆλλα κοινῇ πράσσειν· τάς τε δεχημέρους ἐπισπονδάς, αἳ 4
ἦσαν Ἀθηναίοις καὶ Βοιωτοῖς πρὸς ἀλλήλους οὐ πολλῷ ὕστερον γενόμεναι τούτων τῶν πεντηκονταετίδων σπονδῶν,

---

§ 5. τὸ αὐτὸ λέγοντες, τὴν αὐτὴν γνώμην ἔχοντες. (Sch.) eben die Sprache führend (Hl.), wie die Korinthier u. A., über die Lakedämonier sich beschwerend. — περιορώμενοι vernachlässigt Va., unpassend; mit Aufmerksamkeit und Achtung behandelt Ds.; aber 4, 124, 4 ist doch verschieden und das Wort sonst von Thuk. nicht passiv gebraucht. Ansprechend tilgt Dobree ὑπὸ τῶν Λακεδαιμονίων und verbindet ἡσύχαζον περιορώμενοι, vgl. zu 4, 71, 1. Haase vermuthet τὰ ἀπό für ὑπό. vgl. 1, 127. 7, 77, 4. 8, 51, 2. 48, 2. 56, 2. 5, 37, 3 u. Pflugk zu Eur. Her. 23. — αὐτοῖς da sie selbst.

C. 32. § 1. ἀπέκτειναν. vgl. 4, 122. (Pp.) — νέμεσθαι. zu 1, 2, 1. — ἐνθυμούμενοι. Gr. 47, 11 A. 1.

§ 2. ἀποστήσοντες, τὴν Τέγεαν. — μέγα μέρος ὄν, τῆς Πελοποννήσου. (Sch.) — προσγένοιτο, προσκτηθείη. (Sch.) — ἀνεῖσαν τῆς. Gr. 47, 13. vgl. 7, 43, 7. Ar. Frie. 318: τῆς βοῆς ἀνήσετε. Her. 9, 33: μετιέσαν τῆς χρησμοσύνης.

§ 4. ἐπισπονδάς, ein ἅπαξ εἰρημένον (Bl.); über ἐπι —

ἐκέλευον οἱ Κορίνθιοι τοὺς Βοιωτοὺς ἀκολουθήσαντας Ἀθήναζε καὶ σφίσι ποιῆσαι, ὥσπερ Βοιωτοὶ εἶχον, μὴ δεχομένων δὲ Ἀθηναίων ἀπειπεῖν τὴν ἐκεχειρίαν καὶ τὸ λοιπὸν μὴ σπένδεσθαι ἄνευ αὐτῶν. Βοιωτοὶ δὲ δεομένων τῶν Κορινθίων περὶ μὲν τῆς Ἀργείων ξυμμαχίας ἐπισχεῖν αὐτοὺς ἐκέλευον, ἐλθόντες δὲ Ἀθήναζε μετὰ Κορινθίων οὐχ εὕροντο τὰς δεχημέρους σπονδάς, ἀλλ' ἀπεκρίναντο οἱ Ἀθηναῖοι Κορινθίοις εἶναι σπονδάς, εἴπερ Λακεδαιμονίων εἰσὶ ξύμμαχοι. Βοιωτοὶ μὲν οὖν οὐδὲν μᾶλλον ἀπεῖπον τὰς δεχημέρους, ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων ξυνθέσθαι σφίσιν· Κορινθίοις δὲ ἀνακωχὴ ἄσπονδος ἦν πρὸς Ἀθηναίους.

33 Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ θέρους πανδημεὶ ἐστράτευσαν, Πλειστοάνακτος τοῦ Παυσανίου Λακεδαιμονίων βασιλέως ἡγουμένου, τῆς Ἀρκαδίας ἐς Παρρασίους, Μαντινέων ὑπηκόους ὄντας, κατὰ στάσιν ἐπικαλεσαμένων σφᾶς, ἅμα δὲ καὶ τὸ ἐν Κυψέλοις τεῖχος ἀναιρήσοντες, ἢν δύνωνται, ὃ ἐτείχισαν Μαντινῆς καὶ αὐτοὶ ἐφρούρουν, ἐν τῇ Παρρασικῇ
2 κείμενον ἐπὶ τῇ Σκιρίτιδι τῆς Λακωνικῆς. καὶ οἱ μὲν Λακεδαιμόνιοι τὴν γῆν τῶν Παρρασίων ἐδῄουν, οἱ δὲ Μαντινῆς τὴν πόλιν Ἀργείοις φύλαξι παραδόντες αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν· ἀδύνατοι δ' ὄντες διασῶσαι τό τε ἐν Κυψέλοις τεῖχος καὶ τὰς ἐν Παρρασίοις πόλεις ἀπῆλθον. Λακεδαιμόνιοι δὲ τούς τε Παρρασίους αὐτονόμους ποιήσαντες καὶ τὸ τεῖχος καθελόντες ἀνεχώρησαν ἐπ' οἴκου.

34 Καὶ τοῦ αὐτοῦ θέρους ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ Θρᾴκης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ Κλεαρίδας μετὰ τὰς σπονδὰς ἐκόμισεν, οἱ Λακεδαιμόνιοι ἐψη-

---

nach — Gr. 68, 46 A. 17. — *αὐτῶν* für *σφῶν*. vgl. 5, 40, 2. (Pv.) 6, 35. 7, 17, 3. 8, 46, 4.

§ 5. *ἐπισχεῖν* abwarten. (Ba.) — *εὕροντο*. Gr. 52, 10 A. 1. vgl. 1, 31, 2. 58, 1. — *ξυνθέσθαι* von *ἀξιούντων* abhängig, ein *διὰ μέσου*.

C. 33. § 1. *ἐπικαλεσαμένων, τῶν Παρρασίων*. (Sch.) — *κείμενον ἐπὶ τῇ Σ., ἐπιτετειχισμένον ὥστε βλάπτειν τὴν Σκιρῖτιν*. (Sch.) vgl. 51, 1. 8, 60, 1.

§ 2. *τὴν ξυμμαχίαν* das Land, die Plätze der Verbündeten. vgl. 118, 3; das parrhasische Gebiet. (Sch.) u. zu 3, 92, 3.

C. 34. § 1. *τῶν ἀπό*. Gr. 50, 8 A. 14. — *μετά, τῶν μετά*

φίσαντο τοὺς μὲν μετὰ Βρασίδου Εἵλωτας μαχεσαμένους ἐλευθέρους εἶναι καὶ οἰκεῖν ὅπου ἂν βούλωνται, καὶ ὕστερον οὐ πολλῷ αὐτοὺς μετὰ τῶν νεοδαμωδῶν ἐς Λέπρεον κατέστησαν, κείμενον ἐπὶ τῆς Λακωνικῆς καὶ τῆς Ἠλείας, ὄντες ἤδη διάφοροι Ἠλείοις· τοὺς δ' ἐκ τῆς νήσου ληφθέντας σφῶν 3
καὶ τὰ ὅπλα παραδόντας, δείσαντες μή τι διὰ τὴν ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι καὶ ὄντες ἐπίτιμοι νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας ἀτίμους ἐποίησαν, ἀτιμίαν δὲ τοιάνδε ὥστε μήτε ἄρχειν μήτε πριαμένους τι ἢ πωλοῦντας κυρίους εἶναι. ὕστερον δὲ αὖθις χρόνῳ ἐπίτιμοι ἐγένοντο.

Τοῦ δ' αὐτοῦ θέρους καὶ Θύσσον τὴν ἐν τῇ Ἄθῳ Ἀκ- 35
τιδιῆς εἷλον, Ἀθηναίων οὖσαν ξύμμαχον.

Καὶ τὸ θέρος τοῦτο πᾶν ἐπιμιξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις, ὑπώπτευον δὲ ἀλλήλους εὐθὺς μετὰ τὰς σπονδὰς οἵ τε Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. τὴν γὰρ Ἀμφίπολιν 2
πρότεροι λαχόντες οἱ Λακεδαιμόνιοι ἀποδιδόναι καὶ τὰ ἄλλα οὐκ ἀποδεδώκεσαν, οὐδὲ τοὺς ἐπὶ Θράκης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους οὐδὲ Βοιωτοὺς οὐδὲ Κορινθίους, λέγοντες ἀεὶ ὡς μετ' Ἀθηναίων τούτους, ἢν μὴ θέλωσι, κοινῇ ἀναγκάσουσιν· χρόνους τε προὔθεντο ἄνευ ξυγγραφῆς ἐν οἷς χρῆν τοὺς μὴ ἐσιόντας ἀμφοτέροις πολεμίους

Kr. — *τοὺς μετὰ Β. Εἵλωτας* 4, 80, 3. — *μαχεσαμένους*. Gr. 50, 10 A. 3.

§ 3. *Νεοδαμωδῶν*. vgl. 7, 58, 3. Heloten die ſchon einige Zeit frei geweſen nach Müller Dor. 2 S. 45. Ueber die Betonung des Je. Göttling Acc. S. 327. — *νομίσαντες καὶ ὄντες* indem ſie glaubten und wenn ſie wären. Gr. 56, 14 A. 1. — *ἐλασσωθήσεσθαι* auch Dem. 21, 66; *ἐλασσώσεσθαι* unten 5, 104. 105, 2. — *ἀτιμίαν* iſt an *ἀτίμους* anzuſchließen, wie *δουλείαν* an *δούλοις* 5, 9, 7. — *πριαμένους — κυρίους εἶναι* noch auf eine rechtsgültige Art etwas kaufen oder verkaufen könnten. (Hl.)

C. 35. § 1. *τῇ Ἄθῳ*. *τῷ Ἄθῳ* ſchlechte Hſn. vgl. 4, 109, 1. 5, 3, 4. Vielleicht jedoch war das Wort Fem. als Bezeichnung der Landſchaft. (Hk.) — *Ἀκτιδιῆς*. *Ἀιῆς* Gatterer gegen 5, 82, 1; *οἱ Χαλκιδῆς* Pp. — *ὑπώπτευον ἀλλήλους*. vgl. 8, 39, 2 u. zu 4, 51. — *οὐκ ἀπόδοσιν*. zu 1, 137, 4.

§ 2. *πρότεροι*. zu 5, 21, 1. — *τὰ ἄλλα*. *τἄλλα* eine Hſ. — *παρεῖχον δεχομένους* bewirkten die Annahme Va.; *ἀπεδείκνυον* Dd. — *προὔθεντο, ἔταξαν*. (Sch.) — *ἄνευ ξυγγραφῆς, συμφωνίας γεγραμμένης*. (Sch.) — *ἐσιόντας, εἰς τὰς σπονδάς*. (Sch.)

εἶναι. τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ γιγνόμενον ὑπετόπευον τοὺς Λακεδαιμονίους μηδὲν δίκαιον διανοεῖσθαι, ὥστε οὔτε Πύλον ἀπαιτούντων αὐτῶν ἀπεδίδοσαν, ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες, τά τε ἄλλα χωρία εἶχον, μένοντες ἕως σφίσι κἀκεῖνοι
4 ποιήσειαν τὰ εἰρημένα. Λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ ἔφασαν πεποιηκέναι· τοὺς γὰρ παρὰ σφίσι δεσμώτας ὄντας Ἀθηναίων ἀποδοῦναι καὶ τοὺς ἐπὶ Θρᾴκης στρατιώτας ἀπαγαγεῖν καὶ εἴ του ἄλλου ἐγκρατεῖς ἦσαν· Ἀμφιπόλεως δὲ
5 οὐκ ἔφασαν κρατεῖν ὥστε παραδοῦναι, Βοιωτοὺς δὲ πειράσεσθαι καὶ Κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν καὶ Πάναχτον ἀπολαβεῖν καὶ Ἀθηναίων ὅσοι ἦσαν ἐν Βοιωτοῖς αἰχμάλωτοι κομιεῖν. Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή, Μεσσηνίους γε καὶ τοὺς Εἵλωτας ἐξαγαγεῖν, ὥσπερ καὶ αὐτοὶ τοὺς ἀπὸ Θρᾴκης, Ἀθηναίους δὲ φρουρεῖν τὸ
6 χωρίον αὐτούς, εἰ βούλονται. πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων ἐν τῷ θέρει τούτῳ ἔπεισαν τοὺς Ἀθηναίους ὥστε ἐξαγαγεῖν ἐκ Πύλου Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτάς τε καὶ ὅσοι ηὐτομολήκεσαν ἐκ τῆς Λακωνικῆς· καὶ κατῴκισαν αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας· τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ' ἀλλήλους.

36 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος — ἔτυχον γὰρ ἔφοροι ἕτεροι καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο ἄρχοντες ἤδη καί τινες αὐτῶν καὶ ἐναντίοι σπονδαῖς — ἐλθουσῶν πρεσβειῶν ἀπὸ τῆς ξυμμαχίδος καὶ παρόντων Ἀθηναίων καὶ Βοιωτῶν καὶ Κορινθίων καὶ πολλὰ ἐν ἀλλήλοις εἰπόντων καὶ οὐδὲν

---

§ 3. αὐτῶν fehlt in ſchlechten Hſn.; Eine αὐτοί. — τά τε ἄλλα, χωρία 5, 18, 6. — εἰρημένα, τεταγμένα. (Sch.)

§ 4. καὶ εἴ του und aus andern Orten deren ſie etwa. Gr. 60, 10 A. 1. Doch kann man dieſen Satz auch, καὶ τοὺς — ἀπαγαγεῖν als διὰ μέσου genommen, an ἀποδοῦναι anſchließen.

§ 5. ἀπολαβεῖν von den Böotern (5, 3, 4) für die Athener zurückzuerhalten. vgl. 30, 3. — κομιεῖν für κομίσαι. zu 1, 27, 2. — τε καί. γε καί Reiske. — ὥσπερ καὶ αὐτοί, ἐξήγαγον. Gr. 62, 4 A. 1.

§ 6. ἔφοδοι. zu 1, 6, 1.

C. 36. § 1. ἐναντίοι σπονδαῖς Verträgen mit Athen abgeneigt. Kr. zu Xen. An. 2, 3, 7. (Pp.) — οὐδέν. zu 2, 5, 4.

ξυμβάντων, ὡς ἀπῆεσαν ἐπ' οἶκου, τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Κλεόβουλος καὶ Ξενάρης, οὗτοι οἵπερ τῶν ἐφόρων ἐβούλοντο μάλιστα διαλῦσαι τὰς σπονδάς, λόγους ποιοῦνται ἰδίους, παραινοῦντες ὅτι μάλιστα ταὐτά τε γιγνώσκειν καὶ πειρᾶσθαι Βοιωτούς, Ἀργείων γενομένους πρῶτον αὐτοὺς ξυμμάχους, αὖθις μετὰ Βοιωτῶν Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους· οὕτω γὰρ ἥκιστα ἀναγκασθῆναι Βοιω- 2
τοὺς ἐς τὰς Ἀττικὰς σπονδὰς ἐσελθεῖν· ἑλέσθαι γὰρ Λακεδαιμονίους πρὸ τῆς Ἀθηναίων ἔχθρας καὶ διαλύσεως τῶν σπονδῶν Ἀργείους σφίσι φίλους καὶ ξυμμάχους γενέσθαι. τὸ γὰρ Ἄργος ἀεὶ ἠπίσταντο ἐπιθυμοῦντας τοὺς Λακεδαι- 3
μονίους καλῶς σφίσι φίλιον γενέσθαι, ἡγούμενοι τὸν ἔξω Πελοποννήσου πόλεμον ῥᾴω ἂν εἶναι. τὸ μέντοι Πάναχτον ἐδέοντο Βοιωτοὺς ὅπως παραδῶσι Λακεδαιμονίοις, ἵνα ἀντ' αὐτοῦ Πύλον, ἣν δύνωνται, ἀπολαβόντες ῥᾷον καθιστῶνται Ἀθηναίοις ἐς πόλεμον. καὶ οἱ μὲν Βοιωτοὶ καὶ 37
Κορίνθιοι ταῦτα ἐπεσταλμένοι ἀπό τε τοῦ Ξενάρους καὶ Κλεοβούλου καὶ ὅσοι φίλοι ἦσαν αὐτοῖς τῶν Λακεδαιμονίων ὥστε ἀπαγγεῖλαι ἐπὶ τὰ κοινά, ἐκάτεροι ἀνεχώρουν. Ἀρ-

---

— ἀπῆεσαν, οἱ Βοιωτοὶ καὶ οἱ Κορίνθιοι. (Sch.) — ταὐτά für ταῦτα Hl. u. Reiske; gleichgesinnt zu sein, dieselben Interessen zu verfolgen. (Bd.) — αὐτούς selbst.

§ 2. ἥκιστ' ἄν für ἥκιστα Pp. u. Elmsley. — ἑλέσθαι — γενέσθαι denn die Lakedämonier würden der Feindschaft mit den Athenern und der Brechung des Vertrages die Freundschaft und Bundesgenossenschaft mit den Argeiern vorziehen d. h. wenn sie diese erlangten, so würden sie es nicht achten darüber mit den Athenern zu brechen. (Ps. u. Bd.) Das ἄν aus dem vorigen Satze kann auch hier gedacht werden. Kr. zu Xen. An. 4, 6, 13.

§ 3. καλῶς, βεβαίως. (Sch.) auf anständige Weise, ohne dafür das kynurische Gebiet hinzugeben. (Arn.) Ein Sch. verbindet es mit ἠπίσταντο. vgl. Kr. zu Dion. p. 296. Doch wäre das Hyperbaton hart. Dobree vermuthet κἄλλως, eine jedoch nicht prosaische Krasis, Kr. καὶ ἄλλως; πάντως steht 41, 3. — ἡγούμενοι auf ἐπεθύμησαν bezogen; passender wäre jedoch ἡγουμένους. (Kr.) — ἐδέοντο Βοιωτοὺς ὅπως, ἐδέοντο Βοιωτοὺς οὕτω ποιῆσαι ὅπως. (Sch.) Sommer verglich Soph. Aj. 557: δεῖ σ' ὅπως, unzureichend; ich vermuthe χρῄζουντο.

C. 37. § 1. ἐπεσταλμένοι. ἀντὶ τοῦ τούτων ἐντεταλμένων αὐτοῖς ὑπὸ τῶν ἐφόρων. (Sch.) Gr. 52, 4 A. 1. — κοινά Staats-Behörden. vgl. 38, 2 u. Xen. An. 5, 6, 27.

γείων δὲ δύο ἄνδρες τῆς ἀρχῆς τῆς μεγίστης ἐπετήρουν ἀπιόντας αὐτοὺς καθ' ὁδὸν καὶ ξυγγενόμενοι ἐς λόγους ἦλθον, εἴ πως οἱ Βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο ὥσπερ Κορίν-
2 θιοι καὶ Ἠλεῖοι καὶ Μαντινῆς· νομίζειν γὰρ ἂν τούτου προχωρήσαντος ῥᾳδίως ἤδη καὶ πολεμεῖν καὶ σπένδεσθαι καὶ πρὸς Λακεδαιμονίους, εἰ βούλοιντο, κοινῷ λόγῳ χρωμένους, καὶ εἴ τινα πρὸς ἄλλον δέοι. τοῖς δὲ τῶν Βοιωτῶν πρέ-
3 σβεσιν ἀκούουσιν ἤρεσκεν· κατὰ τύχην γὰρ ἐδέοντο τούτων ὥνπερ καὶ οἱ ἐκ τῆς Λακεδαίμονος αὐτοῖς φίλοι ἐπεστάλκεσαν. καὶ οἱ τῶν Ἀργείων ἄνδρες ὡς ᾔσθοντο αὐτοὺς δεχομένους τὸν λόγον, εἰπόντες ὅτι πρεσβεις πέμψουσιν ἐς Βοιωτοὺς ἀπῆλθον. ἀφικόμενοι δὲ οἱ Βοιωτοὶ ἀπήγγειλαν τοῖς βοιωτάρχαις τά τε ἐκ τῆς Λακεδαίμονος καὶ τὰ ἀπὸ τῶν ξυγγενομένων Ἀργείων· καὶ οἱ βοιωτάρχαι ἠρέσκοντό τε καὶ πολλῷ προθυμότεροι ἦσαν, ὅτι ἀμφοτέρωθεν ξυνεβε-
4 βήκει αὐτοῖς τούς τε φίλους τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεῖσθαι καὶ τοὺς Ἀργείους ἐς τὰ ὅμοια σπεύδειν. καὶ οὐ πολλῷ ὕστερον πρέσβεις παρῆσαν Ἀργείων τὰ εἰρημένα προκαλούμενοι· καὶ αὐτοὺς ἀπέπεμψαν ἐπαινέσαντες τοὺς λόγους οἱ βοιωτάρχαι καὶ πρέσβεις ὑποσχόμενοι ἀποστελεῖν περὶ τῆς ξυμμαχίας ἐς Ἄργος.

38 Ἐν δὲ τούτῳ ἐδόκει πρῶτον τοῖς βοιωτάρχαις καὶ Κορινθίοις καὶ Μεγαρεῦσι καὶ τοῖς ἀπὸ Θρᾴκης πρέσβεσιν ὀμόσαι ὅρκους ἀλλήλοις ἢ μὴν ἔν τε τῷ παρατυχόντι ἀμυνεῖν τῷ δεομένῳ καὶ μὴ πολεμήσειν τῳ μηδὲ ξυμβήσεσθαι

---

§ 2. κοινῷ λόγῳ χρωμένους, ὁμοφρονοῦντας δηλονότι Ἀργείους τε καὶ Κορινθίους καὶ Βοιωτούς. (Sch.) vgl. zu 4, 64, 2. — εἴ τινα πρὸς ἄλλον. Gr. 68, 4 A. 2.

§ 3. οἱ ἐκ τῆς Λ., οἱ περὶ τὸν Κλεόβουλον δηλονότι. (Sch.) — αὐτοῖς, τοῖς τῶν Βοιωτῶν πρέσβεσι καὶ τοῖς Κορινθίοις. (Sch.)

§ 4. τῶν αὐτῶν, Verbindung der Böoter mit den Argeiern. (Pp.) — ἐς τὰ ὅμοια σπεύδειν auf ähnliche Zwecke hinstreben, eodem properare Ps. Mir ist ἐς verdächtig. Gr. 46, 6 A. 3.

§ 5. τὰ εἰρημένα προκαλούμενοι zur Annahme der Vorschläge § 1 auffordernd. vgl. zu 4, 20, 1 mit 2, 72, 3 u. 73, 1. (Dr.)

C. 38. § 1. τῷ δεομένῳ dem von ihnen der Hülfe bedürfe. (Ba.)

ἄνευ κοινῆς γνώμης, καὶ οὕτως ἤδη τοὺς Βοιωτοὺς καὶ Με- 2
γαρέας, τὸ γὰρ αὐτὸ ἐποίουν, πρὸς τοὺς Ἀργείους σπένδε-
σθαι. πρὶν δὲ τοὺς ὅρκους γενέσθαι οἱ βοιωτάρχαι ἐκοι-
νωσαν ταῖς τέσσαρσι βουλαῖς τῶν Βοιωτῶν ταῦτα, αἵπερ
ἅπαν τὸ κῦρος ἔχουσιν, καὶ παρήνουν γενέσθαι ὅρκους ταῖς
πόλεσιν, ὅσαι βούλονται ἐπ' ὠφελίᾳ σφίσι ξυνομνύναι. οἱ 3
δ' ἐν ταῖς βουλαῖς τῶν Βοιωτῶν ὄντες οὐ προσδέχονται τὸν
λόγον, δεδιότες μὴ ἐναντία Λακεδαιμονίοις ποιήσωσι, τοῖς
ἐκείνων ἀφεστῶσι Κορινθίοις ξυνομνύντες· οὐ γὰρ εἶπον 4
αὐτοῖς οἱ βοιωτάρχαι τὰ ἐκ τῆς Λακεδαίμονος, ὅτι τῶν τε
ἐφόρων Κλεόβουλος καὶ Ξενάρης καὶ οἱ φίλοι παραινοῦσιν
Ἀργείων πρῶτον καὶ Κορινθίων γενομένους ξυμμάχους
ὕστερον μετὰ τῶν Λακεδαιμονίων γίγνεσθαι, οἰόμενοι τὴν
βουλήν, κἂν μὴ εἴπωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι ἢ ἃ σφίσι
προδιαγνόντες παραινοῦσιν. ὡς δὲ ἀντέστη τὸ πρᾶγμα, οἱ 5
μὲν Κορίνθιοι καὶ οἱ ἀπὸ Θρᾴκης πρέσβεις ἄπρακτοι ἀπῆλ-
θον, οἱ δὲ βοιωτάρχαι μέλλοντες πρότερον, εἰ ταῦτα ἔπεισαν,
καὶ τὴν ξυμμαχίαν πειράσεσθαι πρὸς Ἀργείους ποιεῖν, οὐ-
κέτι ἐσήνεγκαν περὶ Ἀργείων ἐς τὰς βουλάς, οὐδὲ ἐς τὸ
Ἄργος τοὺς πρέσβεις οὓς ὑπέσχοντο ἔπεμπον, ἀμέλεια δέ
τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων.

---

§ 2. τὸ αὐτὸ ἐποίουν, ἤγουν τὴν κοινὴν πρᾶξιν ἐποιησαν. (Sch.) sie handelten einstimmig. (Hl.) Mir scheint die Stelle verfälscht. Va.: idem ii inter se ipsi fecerant. Ungenügend ἐπόθουν für ἐποίουν Kr. — σπένδεσθαι von ἐδόκει regiert. (Va.) — ὠφελίᾳ, συμμαχίᾳ. (Sch.) vgl. § 1 u. zu 1, 3, 2. — σφίσι gehört zu ξυνομνύναι. (Ps.)

§ 3. ἀφεστῶσι, in sofern sie mit den Argeiern, den Feinden Spartas, sich verbündet hatten. (Ds.)

§ 4. μετὰ τῶν Λ. γίγνεσθαι. Py. hält für passender mit Va. ξυμμάχους zu ergänzen als mit Ds. den Ausdruck für sich zu nehmen, wie μετά τινος εἶναι. vgl. zu 4, 125, 1; ich ziehe dieses vor. — σφίσιν. σφεῖς Bk. Es schwebt hier das Subject von ψηφιεῖσθαι als Hauptsubject vor. (Arn.) Ich billige σφεῖς.

§ 5. ἀντέστη, ἄλλως ἀπέβη, ἐκωλύθη. (Sch.) vgl. 5, 4, 5. — καί vor τήν gehört zum ganzen Satze, insbesondere zu πρὸς Ἀργείους. vgl. § 1. (Py.) — ἐσήνεγκαν stellten einen Antrag. Gr. 52, 1 A. 2. Mit einem Ac. 8, 67, 1. 2. — ὑπέσχοντο 5, 37, 4. (Ds.)

39 Καὶ ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ Μηκύβερναν Ὀλύνθιοι Ἀθηναίων φρουρούντων ἐπιδραμόντες εἷλον.

Μετὰ δὲ ταῦτα — ἐγίγνοντο γὰρ ἀεὶ λόγοι τοῖς τε Ἀθηναίοις καὶ Λακεδαιμονίοις περὶ ὧν εἶχον ἀλλήλων — ἐλπίζοντες οἱ Λακεδαιμόνιοι, εἰ Πάνακτον Ἀθηναῖοι παρὰ Βοιωτῶν ἀπολάβοιεν, κομίσασθαι ἂν αὐτοὶ Πύλον, ἦλθον ἐς τοὺς Βοιωτοὺς πρεσβευόμενοι καὶ ἐδέοντο σφίσι Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι, ἵν' ἀντ' αὐ-
2 τῶν Πύλον κομίσωνται. οἱ δὲ Βοιωτοὶ οὐκ ἔφασαν ἀποδώσειν, ἢν μὴ σφίσι ξυμμαχίαν ἰδίαν ποιήσωνται ὥσπερ Ἀθηναίοις. Λακεδαιμόνιοι δὲ εἰδότες μὲν ὅτι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον ἄνευ ἀλλήλων μήτε σπένδεσθαι τῳ μήτε πολεμεῖν, βουλόμενοι δὲ τὸ Πάνακτον παραλαβεῖν ὡς τὴν Πύλον ἀντ' αὐτοῦ κομιούμενοι καὶ ἅμα τῶν ξυγχέαι σπευδόντων τὰς σπονδὰς προθυμουμένων τὰ ἐς Βοιωτούς, ἐποιήσαντο τὴν ξυμμαχίαν τοῦ χειμῶνος τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ· καὶ τὸ Πάνακτον εὐθὺς καθῃρεῖτο. καὶ ἐνδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

40 Ἅμα δὲ τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους οἱ Ἀργεῖοι, ὡς οἵ τε πρέσβεις τῶν Βοιωτῶν οὓς ἔφασαν πέμψειν οὐχ ἥκον, τό τε Πάνακτον ἤσθοντο καθαιρούμενον καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς Βοιωτοῖς πρὸς τοὺς Λα-

---

C. 39. § 1. Ἀ. φρουρούντων. zu 1, 89, 2. — τε scheint verdächtig. (Kampe.) — ἀλλήλων von ἅ in ὧν regiert. Gr. 47, 9 A. 5. — τὸ Π. auch 40, 1. 2 u. 42, 1, ἡ Πάνακτος Plut. Nik. 10 (Dr.). ὁ Π. Menander bei Harpokr. u. Suid. (Wasse.) vgl. Phot. p. 274. (Pp.)

§ 2. εἰρημένον — πολεμεῖν. Diese Bedingung, auch 46, 2 erwähnt, dürfte C. 23 ausgefallen sein. — συγχέαι ὅρκους Eur. Hipp. 1063, νόμιμα Her. 7, 136. (Gb.) So συγχεῖν τὰ νόμιμα Ant. 4, α, 1. 6. 4, β, 7, τὸν θεσμόν Dem. 23, 62, τὰ σύμβολα 21, 173. vgl. zu 1, 146. — τὰ ἐς für τὰς ἐς die besten Hsn.: die Verbindung mit. So προὐθυμήθη τὴν ξύμβασιν 5, 17, 1. (Pp.) 5, 46, 1: ἐπισχόντας τὰ πρὸς Ἀργείους. (Arn.) Gr. 46, 6 A. 3. — ἤδη καί. καὶ ἤδη? vgl. 4, 135, 1. 5, 81, 2 u. 8, 108, 1. — καὶ πρὸς ἔαρ. ὄντος ergänzt Gb. Vielmehr: sie machten ein Bündniß am Ende des Winters und gegen den Frühling zu. (Pp?) Va. verbindet es mit dem Folgenden. — καθῃρεῖτο, ὑπὸ Βοιωτῶν. (Sch.)

C. 40. § 1. ἦκον Kr. ἵκοντο oder ἥκοντο die Hsn. Das — το ist aus dem folgenden το entstanden. Auch Thuk. gebraucht das Simplex ἵκνεῖσθαι in der eig. Bedeutung nirgends. vgl. zu 1, 99, 3.

κεδαιμονίους, ἔδεισαν μὴ μονωθῶσι καὶ ἐς Λακεδαιμονίους
πᾶσα ἡ ξυμμαχία χωρήσῃ· τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖ- 2
σθαι ὑπὸ Λακεδαιμονίων τό τε Πάναχτον καθελεῖν καὶ ἐς
τὰς Ἀθηναίων σπονδὰς ἐσιέναι, τούς τε Ἀθηναίους εἰδέναι
ταῦτα, ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι ξυμμα-
χίαν ποιήσασθαι, πρότερον ἐλπίζοντες ἐκ τῶν διαφορῶν, εἰ
μὴ μείνειαν αὐτοῖς αἱ πρὸς Λακεδαιμονίους σπονδαί, τοῖς
γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι. ἀποροῦντες οὖν ταῦτα 3
οἱ Ἀργεῖοι καὶ φοβούμενοι μὴ Λακεδαιμονίοις καὶ Τεγεά-
ταις, Βοιωτοῖς καὶ Ἀθηναίοις ἅμα πολεμῶσιν, πρότερον οὐ
δεχόμενοι τὰς Λακεδαιμονίων σπονδάς, ἀλλ' ἐν φρονήματι
ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο
τάχιστα ἐς τὴν Λακεδαίμονα πρέσβεις Εὔστροφον καὶ Αἴ-
σωνα, οἳ ἐδόκουν προσφιλέστατοι αὐτοῖς εἶναι, ἡγούμενοι ἐκ
τῶν παρόντων κράτιστα πρὸς Λακεδαιμονίους σπονδὰς ποιη-
σάμενοι, ὅπῃ ἂν ξυγχωρῇ, ἡσυχίαν ἄγειν. καὶ οἱ πρέσβεις 41
ἀφικόμενοι αὐτῶν λόγους ἐποιοῦντο πρὸς τοὺς Λακεδαιμο-
νίους ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ γίγνοιντο. καὶ τὸ μὲν
πρῶτον οἱ Ἀργεῖοι ἠξίουν δίκης ἐπιτροπὴν σφίσι γενέσθαι
ἢ ἐς πόλιν τινὰ ἢ ἰδιώτην περὶ τῆς Κυνοσουρίας γῆς, ἧς ἀεὶ
πέρι διαφέρονται μεθορίας οὔσης — ἔχει δὲ ἐν αὐτῇ Θυρέαν
καὶ Ἀνθήνην πόλιν, νέμονται δ' αὐτὴν Λακεδαιμόνιοι·

---

§ 2. ὥστε οὐδέ. ὥστε οὔ mit dem Inf. auch 8, 76, 6, Eur. Phön. 1358, Hel. 108, Plat. Apol. 26, d, Lyſ. 21, 18, Iſokr. 12, 255, Iſä. 11, 27, Dem. 9, 48. 18, 283. (Pp.) — εἶναι, ἐξεῖναι.

§ 3. ἀποροῦντες ταῦτα. So ἀπορεῖν τι Xen. Hell. 6, 1, 4 und ſelbſt ἀπορέειν τὴν ἐξαγωγήν Her. 4, 179, τὴν ἔλασιν 3, 4, ἀπορᾶ τὴν αἰτίαν Ariſtot. Thierg. 7. (St. u. Bl.) Gr. 56, 5 A. 4. vgl. 6 A. 3. — ἐν φρονήματι ὄντες, διανοίᾳ ἐπηρμένῃ ἐλπίζοντες. (Ps.) — ἡγούμενοι ἡσυχίαν ἄγειν entſchloſſen ſich ruhig zu verhalten. (Hl.) vgl. Gr. 55, 3 A. 15. Zwar könnte man mit dem Sch. κράτιστα als Prädicat faſſen; doch ſcheint der Plural nicht eben ſo wie bei εἶναι auch bei ἡγεῖσθαι und ähnlichen Verben üblich zu ſein. (Pp.) — ὅπῃ ἂν ξυγχωρῇ, καθὼς ἂν συγχωρῇ ὁ καιρός. (Sch.) So gefaßt erſcheint es mit dem Vorhergehenden verbunden pleonaſtiſch nach ἐκ τῶν παρόντων (?), mit dem Folgenden unpaſſend Ba.: wie man ſich darüber vereinigen könne; alſo ξυγχωρεῖ impersonal, ein nicht erwieſener Gebrauch. (Pp.) Statthaft wäre ἐγχωρῇ.

C. 41. § 1. αὐτῶν, τῶν Ἀργείων. (Sch.) — σφίσι, von Ba. nicht überſetzt, dürfte aus der vorigen Zeile eingefälſcht ſein. — νέμονται, τὴν νομὴν καὶ τὸ κέρδος ἔχουσιν. (Sch.) zu 1, 2, 1.

2 ἔπειτα δ' οὐκ ἐώντων Λακεδαιμονίων μεμνῆσθαι περὶ αὐτῆς, ἀλλ' εἰ βούλονται σπένδεσθαι ὥσπερ πρότερον, ἑτοῖμοι εἶναι, οἱ Ἀργεῖοι πρέσβεις τάδε ὅμως ἐπηγάγοντο τοὺς Λακεδαιμονίους ξυγχωρῆσαι, ἐν μὲν τῷ παρόντι σπονδὰς ποιήσασθαι ἔτη πεντήκοντα, ἐξεῖναι δ' ὁποτεροισοῦν προκαλεσαμένοις, μήτε νόσου οὔσης μήτε πολέμου Λακεδαίμονι καὶ Ἄργει, διαμάχεσθαι περὶ τῆς γῆς ταύτης, ὥσπερ καὶ πρότερόν ποτε, ὅτε αὐτοὶ ἑκάτεροι ἠξίωσαν νικᾶν, διώκειν δὲ μὴ ἐξεῖναι περαιτέρω τῶν πρὸς Ἄργος καὶ Λακεδαίμονα
3 ὅρων. τοῖς δὲ Λακεδαιμονίοις τὸ μὲν πρῶτον ἐδόκει μωρία εἶναι ταῦτα, ἔπειτα — ἐπεθύμουν γὰρ τὸ Ἄργος πάντως φίλιον ἔχειν — ξυνεχώρησαν ἐφ' οἷς ἠξίουν καὶ ξυνεγράψαντο. ἐκέλευον δ' οἱ Λακεδαιμόνιοι, πρὶν τέλος τι αὐτῶν ἔχειν, ἐς τὸ Ἄργος πρῶτον ἐπαναχωρήσαντας αὐτοὺς δεῖξαι τῷ πλήθει, καὶ ἢν ἀρέσκοντα ᾖ, ἥκειν ἐς τὰ Ὑακίνθια τοὺς
42 ὅρκους ποιησομένους. καὶ οἱ μὲν ἀνεχώρησαν· ἐν δὲ τῷ χρόνῳ τούτῳ ᾧ οἱ Ἀργεῖοι ταῦτα ἔπρασσον, οἱ πρέσβεις τῶν Λακεδαιμονίων Ἀνδρομένης καὶ Φαίδιμος καὶ Ἀντιμενίδας, οὓς ἔδει τὸ Πάναχτον καὶ τοὺς ἄνδρας τοὺς παρὰ Βοιωτῶν παραλαβόντας Ἀθηναίοις ἀποδοῦναι, τὸ μὲν Πά-
2 ναχτον ὑπὸ τῶν Βοιωτῶν αὐτῶν καθῃρημένον εὗρον, ἐπὶ προφάσει ὡς ἦσάν ποτε Ἀθηναίοις καὶ Βοιωτοῖς ἐκ διαφορᾶς περὶ αὐτοῦ ὅρκοι παλαιοὶ μηδετέρους οἰκεῖν τὸ χωρίον ἀλλὰ κοινῇ νέμειν, τοὺς δ' ἄνδρας οὓς εἶχον αἰχμαλώτους

---

§ 2. ἀλλ', λεγόντων aus ἐώντων. (Pp.) — ἐπηγάγοντο gewannen, vermochten. vgl. 5, 45, 1. — ὁποτεροισοῦν. Gr. 60, 10 A. 2. — Ἄργει. Daß die Dative mit οὔσης zu verbinden seien, nicht mit διαμάχεσθαι sah schon Va. — πρότερόν ποτε, im Zeitalter des Krösos, um 555 v. Ch. G. (Bd.) Her. 1, 82.

§ 3. ταῦτα. Gr. 61, 7 A. 4. — ἐφ' οἷς ἠξίουν, ἐπὶ τούτοις ἐφ' οἷς οἱ Ἀργεῖοι συγχωρεῖν ἠξίουν τοὺς Λακεδαιμονίους. — ξυνεγράψαντο, συνθήκην ἔγγραφον δεδώκασι. (Sch.) — τέλος ἔχειν, κύριον εἶναι. (Pp.) vgl. zu 4, 118, 7. — δεῖξαι, τὴν συγγραφήν. (Sch.) zu übergeben. Kr. zu Xen. An. 1, 6, 3. — ἀρέσκοντα ᾖ. zu 1, 38, 2.

C. 42. § 1. Ἀνδρομένης für Ἀνδρομέδης hier u. § 2 die besten Hss.

§ 2. νέμειν beweiden. (Sch.) — καὶ τοῦτο ἀποδιδόναι auch dies, die Ueberlassung des geschleiften Ortes, sei zurückgeben.

Βοιωτοὶ Ἀθηναίων, παραλαβόντες οἱ περὶ τὸν Ἀνδρομένην ἐκόμισαν τοῖς Ἀθηναίοις καὶ ἀπέδοσαν, τοῦ τε Πανάκτου τὴν καθαίρεσιν ἔλεγον αὐτοῖς, νομίζοντες καὶ τοῦτο ἀποδιδόναι· πολέμιον γὰρ οὐκέτι ἐν αὐτῷ Ἀθηναίοις οἰκήσειν οὐδένα. λεγομένων δὲ τούτων οἱ Ἀθηναῖοι δεινὰ ἐποίουν, 3
νομίζοντες, ἀδικεῖσθαι ὑπὸ Λακεδαιμονίων τοῦ τε Πανάκτου τῇ καθαιρέσει, ὃ ἔδει ὀρθὸν παραδοῦναι, καὶ πυνθανόμενοι ὅτι καὶ Βοιωτοῖς ἰδίᾳ ξυμμαχίαν πεποίηνται, φάσκοντες πρότερον κοινῇ τοὺς μὴ δεχομένους τὰς σπονδὰς προσαναγκάσειν. τά τε ἄλλα ἐσκόπουν ὅσα ἐξελελοίπεσαν τῆς ξυνθήκης καὶ ἐνόμιζον ἐξηπατῆσθαι, ὥστε χαλεπῶς πρὸς τοὺς πρέσβεις ἀποκρινάμενοι ἀπέπεμψαν.

Κατὰ τοιαύτην δὴ διαφορὰν ὄντων τῶν Λακεδαιμονίων 43
πρὸς τοὺς Ἀθηναίους οἱ ἐν ταῖς Ἀθήναις αὖ βουλόμενοι λῦσαι τὰς σπονδὰς εὐθὺς ἐνέκειντο. ἦσαν δὲ ἄλλοι τε καὶ Ἀλκιβιάδης ὁ Κλεινίου, ἀνὴρ ἡλικίᾳ μὲν ὢν ἔτι τότε νέος ὡς ἐν ἄλλῃ πόλει, ἀξιώματι δὲ προγόνων τιμώμενος· ᾧ 2
ἐδόκει μὲν καὶ ἄμεινον εἶναι πρὸς τοὺς Ἀργείους μᾶλλον χωρεῖν, οὐ μέντοι ἀλλὰ καὶ φρονήματι φιλονεικῶν ἠναντιοῦτο, ὅτι Λακεδαιμόνιοι διὰ Νικίου καὶ Λάχητος ἔπραξαν

---

§ 3. *δεινὰ ἐποίουν, ἐδεινοπάθουν.* (Sch.) Beiſpiele des Activs bietet Jacobitz zu Luc. Tox. 33. (Pp.) [Dem.] 25, 60: *αἰτιωμένου καὶ δεινὰ ποιοῦντος τἀνθρώπου.* — *ὀρθόν* auch 5, 46, 2; *ἐστώς* Plut. Alc. 14. vgl. Nic. 10. (Gb.) vgl. Her. 9, 13. (Bl.) — *ξυνθήκης* hängt von *ὅσα* ab. — *ἰδίᾳ, ἄνευ τῶν Ἀθηναίων.* (Sch.) — *φάσκοντες* 5, 35, 2. (Ds.) — *ἐξελελοίπεσαν, (οὐκ) ἐποίησαν, ἐάσαντες τὴν συνθήκην.* (Sch.) vgl. 5, 35, 2. (Pp.) — *πρός*, von Va. nicht anerkannt, wird zu tilgen ſein.

C. 43. § 1. *αὖ* ihrerſeits, wie Kleobulos und Xenares zu Sparta. (Arn.) — *ἡλικίᾳ*, etwa dreißig Jahre alt. Krüger zu Clintons F. H. unter 423, 2. — *ὡς ἐν ἄλλῃ πόλει* nach dem in andern Städten üblichen Maßſtabe. (Hl.) zu 4, 84, 2. — *ἀξιώματι προγόνων, εὐγενείᾳ.* (Sch.) — *καί* vor *ἄμεινον* bezeichnet den Gegenſatz zu dem zweiten Grunde.

§ 2. *οὐ μέντοι ἀλλά* doch nicht dies allein war es ſondern. (Bl.) Plat. Phäd. 62, b: *Δόξειεν οὕτω γ' εἶναι ἄλογον· οὐ μέντοι ἀλλ' ἴσως ἔχει τινὰ λόγον.* (Hoogeween.) Viel häufiger ſo *οὐ μὴν ἀλλά.* Gr. 67, 14 A. 2. — *φρονήματι, ὄγκῳ, ἐπάρσει.* (Sch.) aus verletztem Stolze (vgl. 4, 64, 1) widerſtrebte ſich anſtrengend. (Pp.)

τὰς σπονδάς, αὐτὸν κατά τε τὴν νεότητα ὑπεριδόντες καὶ κατὰ τὴν παλαιὰν προξενίαν ποτὲ οὖσαν οὐ τιμήσαντες, ἣν τοῦ πάππου ἀπειπόντος αὐτὸς τοὺς ἐκ τῆς νήσου αὐτῶν αἰ-
3 χμαλώτους θεραπεύων διενοεῖτο ἀνανεώσασθαι. πανταχόθεν τε νομίζων ἐλασσοῦσθαι τό τε πρῶτον ἀντεῖπεν, οὐ βεβαίους φάσκων εἶναι Λακεδαιμονίους, ἀλλ' ἵνα Ἀργείους σφίσι σπεισάμενοι ἐξέλωσι καὶ αὖθις ἐπ' Ἀθηναίους μόνους ἴωσι, τούτου ἕνεκα σπένδεσθαι αὐτούς· καὶ τότε, ἐπειδὴ ἡ διαφορὰ ἐγεγένητο, πέμπει εὐθὺς ἐς Ἄργος ἰδίᾳ, κελεύων ὡς τάχιστα ἐπὶ τὴν ξυμμαχίαν προκαλουμένους ἥκειν μετὰ Μαντινέων καὶ Ἠλείων, ὡς καιροῦ ὄντος καὶ αὐτὸς ξυμπράξων τὰ μά-
44 λιστα. οἱ δὲ Ἀργεῖοι ἀκούσαντες τῆς τε ἀγγελίας καὶ ἐπειδὴ ἔγνωσαν οὐ μετ' Ἀθηναίων πραχθεῖσαν τὴν τῶν Βοιωτῶν ξυμμαχίαν, ἀλλ' ἐς διαφορὰν μεγάλην καθεστῶτας αὐτοὺς πρὸς τοὺς Λακεδαιμονίους, τῶν μὲν ἐν Λακεδαίμονι πρεσβεων, οἳ σφίσι περὶ τῶν σπονδῶν ἔτυχον ἀπόντες, ἠμέλουν, πρὸς δὲ τοὺς Ἀθηναίους μᾶλλον τὴν γνώμην εἶχον, νομίζοντες πόλιν τε σφίσι φιλίαν ἀπὸ παλαιοῦ καὶ δημοκρατουμένην, ὥσπερ καὶ αὐτοί, καὶ δύναμιν μεγάλην ἔχουσαν τὴν κατὰ θάλασσαν ξυμπολεμήσειν σφίσιν, ἣν καθιστῶνται ἐς πόλεμον.
2 ἔπεμπον οὖν εὐθὺς πρέσβεις ὡς τοὺς Ἀθηναίους περὶ τῆς ξυμμαχίας· ξυνεπρεσβεύοντο δὲ καὶ οἱ Ἠλεῖοι καὶ Μαντινῆς, ἀφίκοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις κατὰ τάχος, δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις, Φιλοχαρίδας καὶ Λέων καὶ Ἔνδιος, δείσαντες μὴ τήν τε ξυμμαχίαν ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται καὶ ἅμα Πύλον ἀπαι-

---

— *αὐτόν*, ein betontes ihn. vgl. Gr. 51, 1 A. 3. — *τοῦ πάππου, Ἀλκιβιάδου τοῦ παλαιοῦ.* Heindorf zu Plat. Euthyd. 10. — *καὶ κατά* und gemäß, wie er es danach erwarten konnte. (Ba.)

§ 3. *ἐλασσοῦσθαι* zurückgesetzt zu sein. — *τό τε.* Es entspricht *καὶ τότε.* (Ps.) Zu beziehen ist dies auf die Verhandlungen des funfzigjährigen Vertrages. (Dr.) — *σφίσι, τοῖς Ἀθηναίοις.* (Sch.) — *ἐξέλωσι* überwältigten. zu 3, 113, 4. (Dr.) vgl. 8, 46, 4. — *τούτου ἕνεκα* steht eben so nach *ἵνα* Xen. An. 2, 3, 13. — *προκαλουμένους* ist das Fu.

C. 44. § 1. *τέ.* zu 5, 11, 2. — *καὶ ἐπειδή.* Gr. 59, 2 A. 4. — *μετ' Ἀ.* mit Genehmigung der A. (Abr. u. Hl.) zu 3, 66, 1. vgl. 4, 104, 2. — *σφίσι, τοῖς Ἀργείοις.* (Sch.) — *τὴν γνώμην εἶχον.* zu 3, 25, 2. — *ὥσπερ καὶ αὐτοί.* zu 5, 29, 2.

τήσοντες ἀντὶ Πανάκτου καὶ περὶ τῆς Βοιωτῶν ξυμμαχίας ἀπολογησόμενοι ὡς οὐκ ἐπὶ κακῷ τῶν Ἀθηναίων ἐποιήσαντο. καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων καὶ ὡς αὐτοκρά- 45
τορες ἥκουσι περὶ πάντων ξυμβῆναι τῶν διαφόρων, τὸν Ἀλκιβιάδην ἐφόβουν μὴ καὶ ἦν ἐς τὸν δῆμον ταῦτα λέγωσιν, ἐπαγάγωνται τὸ πλῆθος καὶ ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία. μηχανᾶται δὲ πρὸς αὐτοὺς τοιόνδε τι ὁ Ἀλκι- 2
βιάδης· τοὺς Λακεδαιμονίους πείθει, πίστιν αὐτοῖς δούς, ἢν μὴ ὁμολογήσωσιν ἐν τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον τε αὐτοῖς ἀποδώσειν — πείσειν γὰρ αὐτὸς Ἀθηναίους, ὥσπερ καὶ νῦν ἀντιλέγειν — καὶ τἆλλα ξυναλλάξειν. βουλόμενος 3
δὲ αὐτοὺς Νικίου τε ἀποστῆσαι ταῦτα ἔπραττεν καὶ ὅπως ἐν τῷ δήμῳ διαβαλὼν αὐτοὺς ὡς οὐδὲν ἀληθὲς ἐν νῷ ἔχουσιν οὐδὲ λέγουσιν οὐδέποτε ταὐτά, τοὺς Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ξυμμάχους ποιήσῃ. καὶ ἐγένετο οὕτως. ἐπειδὴ 4
γὰρ ἐς τὸν δῆμον παρελθόντες καὶ ἐπερωτώμενοι οὐκ ἔφασαν ὥσπερ ἐν τῇ βουλῇ αὐτοκράτορες ἥκειν, οἱ Ἀθηναῖοι οὐκέτι ἠνείχοντο, ἀλλὰ τοῦ Ἀλκιβιάδου πολλῷ μᾶλλον ἢ πρότερον κατιβοῶντος τῶν Λακεδαιμονίων ἐσήκουόν τε καὶ ἑτοῖμοι ἦσαν εὐθὺς παραγαγόντες τοὺς Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους ποιεῖσθαι· σεισμοῦ δὲ γενομένου πρίν τι ἐπικυρωθῆναι, ἡ ἐκκλησία αὖτη ἀνεβλήθη.

Τῇ δ' ὑστεραίᾳ ἐκκλησίᾳ ὁ Νικίας, καίπερ τῶν Λακε- 46
δαιμονίων αὐτῶν ἠπατημένων καὶ αὐτὸς ἐξηπατημένος περὶ τοῦ μὴ αὐτοκράτορας ὁμολογῆσαι ἥκειν, ὅμως τοῖς Λακε-
δαιμονίοις ἔφη χρῆναι φίλους μᾶλλον γίγνεσθαι, καὶ ἐπι-

C. 45. § 1. *ξυμβῆναι.* Gr. 55, 3 A. 3. — *καὶ ἦν.* ἦν καὶ Kr. — *ἐπαγάγωνται, καταπείσωσι.* (Sch.)

§ 2. *πίστιν, ὅρκον βέβαιον.* (Sch.) So hat es auch Plut. Alc. 14 u. Nic. 10 gefaßt. (Pp.) — *μὴ ὁμολογήσωσιν, μὴ φανερῶς εἴπωσιν.* (Sch.) vgl. Gr. 67, 1 A. 5. — *ἀποδώσειν* bewirken daß wiedergegeben werde. (Bl.) — *καὶ νῦν. καί* gehört nicht zu *νῦν* sondern zum ganzen Satze: er werde eben so gut auch das bewirken als er jetzt widerspreche und durch Widerspruch es verhindere. vgl. Gr. 69, 32 A. 13.

§ 3. *Νικίου, ἡγουν τῆς φιλίας τοῦ Νικίου.* (Sch.) — *καὶ ὅπως.* Gr. 59, 2 A. 4. — *ἀληθές* könnte wohl Gloſſem von *ὑγιές* ſein, was Plut. Alc. 14 hat; sincerum Va. (Kr.) vgl. zu 3, 75, 3. — *οὐδέποτε ταὐτά.* zu 4, 50, 1.

C. 46. § 1. *τῇ ὑστεραίᾳ* die am folgenden Tage gehaltene.

σχόντας τὰ πρὸς Ἀργείους πέμψαι ἔτι ὡς αὐτοὺς καὶ εἰδέναι ὅ τι διανοοῦνται, λέγων ἐν μὲν τῷ σφετέρῳ καλῷ ἐν δὲ
2 τῷ ἐκείνων ἀπρεπεῖ τὸν πόλεμον ἀναβάλλεσθαι· σφίσι μὲν γὰρ εὖ ἑστιώτων τῶν πραγμάτων ὡς ἐπὶ πλεῖστον ἄριστον εἶναι διασώσασθαι τὴν εὐπραγίαν, ἐκείνοις δὲ δυστυχοῦσιν ὅτι τάχιστα εὕρημα εἶναι διακινδυνεῦσαι. ἔπεισέ τε πέμψαι πρέσβεις, ὧν καὶ αὐτὸς ἦν, κελεύσοντας Λακεδαιμονίους, εἴ τι δίκαιον διανοοῦνται, Πάνακτόν τε ὀρθὸν ἀποδιδόναι καὶ Ἀμφίπολιν, καὶ τὴν Βοιωτῶν ξυμμαχίαν ἀνεῖναι, ἢν μὴ ἐς τὰς σπονδὰς ἐσίωσι, καθάπερ εἴρητο ἄνευ ἀλλήλων μηδενὶ
3 ξυμβαίνειν. εἰπεῖν τε ἐκέλευον ὅτι καὶ σφεῖς, εἰ ἐβούλοντο ἀδικεῖν, ἤδη ἂν Ἀργείους ξυμμάχους πεποιῆσθαι, ὡς παρεῖναί γ' αὐτοὺς αὐτοῦ τούτου ἕνεκα. εἴ τέ τι ἄλλο ἐνεκάλουν, πάντα ἐπιστείλαντες ἀπέπεμψαν τοὺς περὶ τὸν Νικίαν
4 πρέσβεις. καὶ ἀφικομένων αὐτῶν καὶ ἀπαγγειλάντων τά τε ἄλλα καὶ τέλος εἰπόντων ὅτι εἰ μὴ τὴν ξυμμαχίαν ἀνήσουσι Βοιωτοῖς μὴ ἐσιοῦσιν ἐς τὰς σπονδάς, ποιήσονται καὶ αὐτοὶ Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους, τὴν μὲν ξυμμα-

---

zu 1, 44, 1. — *τὰ πρὸς Ἀργείους, ἤγουν τὴν συμμαχίαν τῶν Ἀργείων.* (Sch.) zu 2, 76, 1 u. 5, 39, 2. — *αὐτούς, τοὺς Λακεδαιμονίους.* (Sch.) — *εἰδέναι.* Gr. 38, 7 A. 5. — *λέγων ἀναβάλλεσθαι* aufzuschieben heißend. (Arn.) vgl. Gr. 56, 3 A. 13. Doch kann man auch erklären: äußernd daß aufgeschoben werde (Gr. 52, 10 A. 11) und daß mithin die Beschleunigung des Krieges nicht zu beeilen sei. — *ἐν τῷ σφετέρῳ καλῷ* unter für sie, die Athener, ehrenvollen Verhältnissen. vgl. 6, 11, 5 u. 85, 3. Freilich möchte man wegen *εὖ ἑστώτων* § 2 *καλόν* lieber günstig, glücklich erklären. vgl. 5, 59, 4. 60, 2, wenn nur *ἀπρεπές*, wie Hl. angenommen, unglücklich heißen könnte. Nun aber wird an die Schmach des Unglücks zu denken sein. vgl. 5, 28, 3.

§ 2. *εὖ ἑστώτων, εὖ φερομένων.* (Sch.) — *διασώσασθαι* ohne sie durch erneuerten Krieg aufs Spiel zu setzen. — *εὕρημα.* Zeune u. Kr. zu Xen. An. 2, 3, 18 gr. Ausgabe. — *ὤν.* Gr. 47, 9 A. 2. — *εἴρητο.* zu 39, 2.

§ 3. *ὅτι.* Gr. 55, 4 A. 10. — *σφεῖς* bei *ὅτι* wie 65, 6 u. Xen. An. 7, 5, 9; öfter beim Inf. — *πεποιῆσθαι* gemacht haben würden (Ps.), *ἐπεποίηντο.* Gr. 54, 6 A. 6. — *ὡς* wie, denn. Gr. 55, 4 A. 9. — *πάντα.* Gr. 58, 4 A. 5.

§ 4. *Βοιωτοῖς* mit *ξυμμαχίαν* zu verbinden (vgl. § 2, wo der Ge. u. zu 5, 5, 1) scheint doch die Stellung zu widerstreben. (Arn.) Es ist also wohl ein Dativ des Interesses. (Dr.) — *μὴ ἐσιοῦσιν ἐς τὰς*

χίαν οἱ Λακεδαιμόνιοι Βοιωτοῖς οὐκ ἔφασαν ἀνήσειν, ἐπικρατούντων τῶν περὶ τὸν Ξενάρη τὸν ἔφορον ταῦτα γίγνεσθαι, καὶ ὅσοι ἄλλοι τῆς αὐτῆς γνώμης ἦσαν, τοὺς δὲ ὅρκους δεομένου Νικίου ἀνενεώσαντο· ἐφοβεῖτο γὰρ μὴ πάντα ἀτελῆ ἔχων ἀπέλθῃ καὶ διαβληθῇ, ὅπερ καὶ ἐγένετο, αἴτιος δοκῶν εἶναι τῶν πρὸς Λακεδαιμονίους σπονδῶν. ἀναχωρήσαντός τε αὐτοῦ ὡς ἤκουσαν οἱ Ἀθηναῖοι οὐδὲν ἐκ τῆς Λακεδαιμονος πεπραγμένον, εὐθὺς δι' ὀργῆς εἶχον, καὶ νομίζοντες ἀδικεῖσθαι, ἔτυχον γὰρ παρόντες οἱ Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, παραγαγόντος Ἀλκιβιάδου, ἐποιήσαντο σπονδὰς καὶ ξυμμαχίαν πρὸς αὐτοὺς τήνδε.

"Σπονδὰς ἐποιήσαντο ἑκατὸν Ἀθηναῖοι ἔτη καὶ Ἀργεῖοι 47
καὶ Μαντινῆς καὶ Ἠλεῖοι ὑπὲρ σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων ὧν ἄρχουσιν ἑκάτεροι ἀδόλους καὶ ἀβλαβεῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. ὅπλα [δὲ] μὴ ἐξέστω ἐπιφέρειν 2
ἐπὶ πημονῇ μήτε Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους ἐπὶ Ἀθηναίους καὶ τοὺς ξυμμάχους ὧν ἄρχουσιν Ἀθηναῖοι μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ἐπὶ Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους τέχνῃ μηδὲ μηχανῇ μηδεμιᾷ. κατὰ τάδε ξυμμάχους εἶναι 3
Ἀθηναίους καὶ Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ἑκατὸν ἔτη· ἢν πολέμιοι ἴωσιν ἐς τὴν γῆν τὴν Ἀθηναίων, βοηθεῖν Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας Ἀθήναζε, καθ' ὅ τι ἂν ἐπαγγέλλωσιν Ἀθηναῖοι, τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν· ἢν δὲ δῃώσαντες οἴχωνται, 4
πολεμίαν εἶναι ταύτην τὴν πόλιν Ἀργείοις καὶ Μαντινεῦσι καὶ Ἠλείοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τῶν πόλεων τούτων· καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν μηδεμιᾷ τῶν πόλεων, ἢν μὴ ἅπάσαις

σπονδάς im Fall dieſe dem funfzigjährigen Frieden nicht beiträten. (Hl.) — τὸν Ξενάρη τόν. Gr. 50, 7 A. 9.

§ 5. πάντα ἀτελῆ ἔχων, παντάπασιν ἄπρακτος. (Gb.)

C. 47. § 2. δέ fehlt in Einer Hſ., vielleicht aus § 7 entſtanden. — πημονῇ. zu 5, 18, 2. — μηδέ. zu 5, 18, 2.

§ 3. τάδε. τε τάδε oder δὲ τάδε zwei ſchlechte Hſn. τάδε δέ eine. — ἐπαγγέλλωσιν, ζητῶσιν (Sch.) vgl. § 5. 8. 6, 56, 1 u. zu 3, 16, 3.

§ 3. τρόπῳ — δυνατόν. zu 5, 23, 1.

§ 4. ταύτην τὴν πόλιν. zu 5, 23, 2.

5 δοχῇ. βοηθεῖν δὲ καὶ Ἀθηναίους ἐς Ἄργος καὶ Μαντι-
νειαν καὶ Ἦλιν, ἢν πολέμιοι ἴωσιν ἐπὶ τὴν γῆν τὴν Ἠλείων
ἢ τὴν Μαντινέων ἢ τὴν Ἀργείων, καθ' ὅ τι ἂν ἐπαγγέλλωσιν
αἱ πόλεις αὗται, τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ καὶ
6 τὸ δυνατόν· ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύ-
την τὴν πόλιν Ἀθηναίοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι καὶ
Ἠλείοις καὶ κακῶς πάσχειν ὑπὸ πασῶν τούτων τῶν πόλεων·
καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν,
7 ἢν μὴ ἁπάσαις δοχῇ ταῖς πόλεσιν. ὅπλα δὲ μὴ ἐᾶν ἔχοντας
διιέναι ἐπὶ πολέμῳ διὰ τῆς γῆς τῆς σφετέρας αὐτῶν καὶ τῶν
ξυμμάχων ὧν ἂν ἄρχωσιν ἕκαστοι μηδὲ κατὰ θάλασσαν, ἢν
μὴ ψηφισαμένων τῶν πόλεων ἁπασῶν τὴν δίοδον εἶναι,
8 Ἀθηναίων καὶ Ἀργείων καὶ Μαντινέων καὶ Ἠλείων. τοῖς
δὲ βοηθοῦσιν ἡ πόλις ἡ πέμπουσα παρεχέτω μέχρι μὲν τρι-
άκοντα ἡμερῶν σῖτον, ἐπὴν ἔλθῃ ἐς τὴν πόλιν τὴν ἐπαγγεί-
λασαν βοηθεῖν, καὶ ἀπιοῦσι κατὰ ταὐτά· ἢν δὲ πλέονα βού-
λωνται χρόνον τῇ στρατιᾷ χρῆσθαι, ἡ πόλις ἡ μεταπεμψα-
μένη διδόιω σῖτον, τῷ μὲν ὁπλίτῃ καὶ ψιλῷ καὶ τοξότῃ
τρεῖς ὀβολοὺς Αἰγιναίους τῆς ἡμέρας ἑκάστης, τῷ δ' ἱππεῖ
9 δραχμὴν Αἰγιναίαν. ἡ δὲ πόλις ἡ μεταπεμψαμένη τὴν ἡγε-
μονίαν ἐχέτω, ὅταν ἐν τῇ αὑτῆς ὁ πόλεμος ᾖ· ἢν δέ ποι
δόξῃ ταῖς πόλεσι κοινῇ στρατεύεσθαι, τὸ ἴσον τῆς ἡγεμονίας
μετεῖναι πάσαις ταῖς πόλεσιν. ὁμόσαι δὲ τὰς σπονδὰς Ἀθη-
ναίους μὲν ὑπέρ τε σφῶν αὐτῶν καὶ τῶν ξυμμάχων, Ἀργεῖοι
δὲ καὶ Μαντινῆς καὶ Ἠλεῖοι καὶ ὁ ξύμμαχοι τούτων κατὰ

---

§ 7. ἢν μή erg. διωσιν. (Py.) Vielmehr ἐῶσιν. Allein dieſe Ergänzung, nach εἰ μή nicht ungewöhnlich (Gr. 65, 5 A. 12), wäre nach ἢν δὲ μή bedenklich. Vielleicht iſt das ἢν aus ἢν μή § 6 wiederholt. — δίοδον eig. nur auf γῆς beziehbar bezogen doch ſpäter die Argeier auch auf θάλασσαν 56, 2.

§ 8. ἐπήν ſeit, von wo an. vgl. zu 1, 6, 2. Dieſe Form findet ſich auch 8, 58, 4 u. 5, gleichfalls nur in einem Document, ferner bei Ar. Vögel 1355, Lyſ. 1175, Xen. Cyr. 3, 2, 1, An. 2, 4, 3. (Py.) Gr. 69, 26 A. — ἔλθῃ, ἡ βοήθεια aus βοηθοῦσιν. (Ps.) — κατὰ ταὐτά, σῖτον παρεχέτω. (Py.)

§ 9. τρεῖς, alſo fünf attiſche. Denn die äginetiſche Drachme betrug zehn attiſche Obolen. Poll. 9, 76. 86. (Arn.) — αὑτῆς. αὐτῆς Dr., αὐτῇ die Hſn.

πόλεις ὀμνύντων. ὀμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἕκαστοι 10
τὸν μέγιστον κατὰ ἱερῶν τελείων. ὁ δὲ ὅρκος ἔστιω ὅδε·
"ἐμμενῶ τῇ ξυμμαχίᾳ κατὰ τὰ ξυγκείμενα δικαίως καὶ
ἀβλαβῶς καὶ ἀδόλως καὶ οὐ παραβήσομαι τέχνῃ οὐδὲ μη-
χανῇ οὐδεμιᾷ." ὀμνύντων δὲ Ἀθήνησι μὲν ἡ βουλὴ καὶ αἱ
ἔνδημοι ἀρχαί, ἐξορκούντων δὲ οἱ πρυτάνεις· ἐν Ἄργει δὲ 11
ἡ βουλὴ καὶ οἱ ὀγδοήκοντα καὶ αἱ ἀρτῦναι, ἐξορκούντων δὲ
οἱ ὀγδοήκοντα· ἐν δὲ Μαντινείᾳ οἱ δημιουργοὶ καὶ ἡ βουλὴ
καὶ αἱ ἄλλαι ἀρχαί, ἐξορκούντων δὲ οἱ θεωροὶ καὶ οἱ πο-
λέμαρχοι· ἐν δὲ Ἤλιδι οἱ δημιουργοὶ καὶ οἱ τὰ τέλη ἔχοντες
καὶ οἱ ἑξακόσιοι, ἐξορκούντων δὲ οἱ δημιουργοὶ καὶ οἱ θε-
σμοφύλακες. ἀνανεοῦσθαι δὲ τοὺς ὅρκους Ἀθηναίους μὲν 12
ἰόντας ἐς Ἦλιν καὶ ἐς Μαντίνειαν καὶ ἐς Ἄργος τριάκοντα
ἡμέραις πρὸ Ὀλυμπίων, Ἀργείους δὲ καὶ Ἠλείους καὶ Μαν-
τινέας ἰόντας Ἀθήναζε δέκα ἡμέραις πρὸ Παναθηναίων τῶν
μεγάλων. τὰς δὲ ξυνθήκας τὰς περὶ τῶν σπονδῶν καὶ τῶν 13
ὅρκων καὶ τῆς ξυμμαχίας ἀναγράψαι ἐν στήλῃ λιθίνῃ Ἀθη-
ναίους μὲν ἐν πόλει, Ἀργείους δὲ ἐν ἀγορᾷ ἐν τοῦ Ἀπόλ-
λωνος τῷ ἱερῷ, Μαντινέας δὲ ἐν τοῦ Διὸς τῷ ἱερῷ ἐν ιῇ
ἀγορᾷ· καταθέντων δὲ καὶ Ὀλυμπίασι στήλην χάλκῆν κοινῇ
Ὀλυμπίοις τοῖς νυνί. ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πό-
λεσι ταύταις προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις, ὅ τι [δ']
ἂν δόξῃ ταῖς πόλεσιν ἁπάσαις κοινῇ βουλευομέναις, τοῦτο
κύριον εἶναι."

---

§ 10. κατά auf — herab d. h. bei, wie Andok. 1, 98 u. Ar. Frösche 101. Gr. 68, 24 A. 1. — ἱερῶν τελείων. Ausgewachsene und überhaupt mangellose Opferthiere darzubringen war bei allen Opfern üblich. Hier also sind wohl vollständige Opfer gemeint, wie Hekatomben, die der kleine Sch. zu Il. α, 65 τελείας θυσίας nennt. vgl. Gräv. zu Luc Philos. p. 341. (Dr.) — ἐμμενῶ für ἐμμένω Fr. Port. zu 18, 9.

§ 10. ἔνδημοι ἀρχαί stehen den ὑπερορίοις entgegen Aesch. 1, 21. vgl. Aristot. Pol 3, 9, 8. (Arn.) — Von den im Folgenden erwähnten Obrigkeiten ist wenig oder nichts bekannt.

§ 11. ἐξορκούντων es sollen vereiden. (Ps.) — τέλη. zu 4, 118, 7. vgl. Böckh Corp. inscrr. 1 p. 31.

§ 12. Παναθήναια τὰ μεγάλα wurden am 28 Hekatombäon gefeiert. Clinton F. H p. 324 s.

§ 13. πόλει. zu 18, 10. — δ' ἄν. δ' verdächtigt mit Recht Bk.; Ba. las es nicht vgl. zu 5, 23, 5.

48 Αἱ μὲν σπονδαὶ καὶ αἱ ξυμμαχίαι οὕτως ἐγένοντο, καὶ αἱ τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων οὐκ ἀπείρηντο τούτου ἕνεκα οὐδ' ὑφ' ἑτέρων. Κορινθίοι δέ, Ἀργείων ὄντες ξύμμαχοι, οὐκ ἐσῆλθον ἐς αὐτάς, ἀλλὰ καὶ γενομένης πρὸ τούτου Ἠλείοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι ξυμμαχίας τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν, οὐ ξυνώμοσαν, ἀρκεῖν δ' ἔφασαν σφίσι τὴν πρώτην γενομένην ἐπιμαχίαν ἀλλήλοις βοηθεῖν, ξυνεπιστρατεύειν δὲ μηδενί. οἱ μὲν Κορινθίοι οὕτως ἀπέστησαν τῶν ξυμμάχων καὶ πρὸς ιοὺς Λακεδαιμονίους πάλιν τὴν γνώμην εἶχον.

49 Ὀλύμπια δ' ἐγένετο τοῦ θέρους τούτου οἷς Ἀνδροσθένης Ἀρκὰς παγκράτιον τὸ πρῶτον ἐνίκα· καὶ Λακεδαιμόνιοι τοῦ ἱεροῦ ὑπὸ Ἠλείων εἴρχθησαν ὥστε μὴ θύειν μηδ' ἀγωνίζεσθαι, οὐκ ἐκπλήξαντες τὴν δίκην αὐτοῖς ἣν ἐν τῷ Ὀλυμπιακῷ νόμῳ Ἠλεῖοι κατεδικάσαντο αὐτῶν, φάσκοντες σφᾶς ἐπὶ Φύρκον τε τεῖχος ὅπλα ἐπενεγκεῖν καὶ ἐς Λέπρεον αὐτῶν
2 ὁπλίτας ἐν ταῖς Ὀλυμπιακαῖς σπονδαῖς ἐσπέμψαι. ἡ δὲ καταδίκη δισχίλιαι μναῖ ἦσαν, κατὰ τὸν ὁπλίτην ἕκαστον δύο μναῖ, ὥσπερ ὁ νόμος ἔχει. Λακεδαιμόνιοι δὲ πρέσβεις πέμψαντες ἀντέλεγον μὴ δικαίως σφῶν καταδεδικάσθαι, λέγοντες μὴ ἐπηγγέλθαι πω ἐς Λακεδαίμονα τὰς σπονδάς,
3 ὅτ' ἐσέπεμψαν τοὺς ὁπλίτας. Ἠλεῖοι δὲ τὴν παρ' αὐτοῖς ἐκεχειρίαν ἤδη ἔφασαν εἶναι — πρώτοις γὰρ σφίσιν αὐτοῖς ἐπαγγέλλουσιν — καὶ ἡσυχαζόντων σφῶν καὶ οὐ προσδεχομένων, ὡς ἐν σπονδαῖς, αὐτοὺς λαθεῖν ἀδικήσαντας. οἱ δὲ

C. 48. *οὕτως.* *αὗται* Kr Gr. 61, 7 A. 2. — *οὐδ' ὑφ' ἑτέρων.* zu 2, 67, 5. — *πολεμεῖν — βοηθεῖν.* Gr. 50, 6 A. 6.

C. 49. § 1. *ἐν τῷ.* *ἔκτῳ* einige Hſn. u. der Sch. Doch ſteht *ἔν* ähnlich 7, 11, 1. (Arn.) 1, 77, 1: *ἐν τοῖς ὁμοίοις νόμοις ποιήσαντες τὰς κρίσεις φιλοδικεῖν δοκοῦμεν.* Iſä. 6, 4: *ἐν μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι οἴεται ἀδελφοὺς καταστήσειν ἐκείνῳ τοὺς οὐδὲν αὐτῷ προσήκοντας.* Ant. 5, 59: *σύ με ἐν ἀφανεῖ λόγῳ ζητεῖς ἀπολέσαι.* eb. 85: *οὐ προκαταγνώσεσθε μου ἐν τῷδε τῷ λόγῳ τὸν φόνον.* Ar. Plut. 647: *ἐν τοῖς λεγομένοις εἶσει ταχύ.* Lyſ. 13, 12: *Κλεοφῶντα ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ.* — *σφᾶς.* *σφῶν* Gö. u. Bk., wahrſcheinlich von Abſchreibern geändert die nicht ſahen daß der Ge. von *Φύρκον τεῖχος* abhänge, wie *αὐτῶν* von *Λέπρεον.* vgl. Gr. 47, 5 A. 5.

§ 2. *μναῖ.* Gr. 60, 2 A. 2. — *ἦσαν.* Gr. 63, 6.

§ 3. *τὴν — εἶναι* erklärten daß der Stillſtand der bei ihnen angekündigt zu werden pflege bei ihnen ſchon ſtatt

Λακεδαιμόνιοι ὑπελάμβανον οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι ἔτι ἐς Λακεδαίμονα, εἰ ἀδικεῖν γε ἤδη ἐνόμιζον αὐτούς, ἀλλ' οὐχ ὡς νομίζοντας τοῦτο δρᾶσαι, καὶ ὅπλα οὐδαμόσε ἔτι αὐτοῖς ἐπενεγκεῖν. Ἠλεῖοι δὲ τοῦ αὐτοῦ λόγου εἴχοντο, 4
ὡς μὲν οὐκ ἀδικοῦσι μὴ ἂν πεισθῆναι, εἰ δὲ βούλονται σφίσι Λέπρεον ἀποδοῦναι, τό τε αὑτῶν μέρος ἀφιέναι τοῦ ἀργυρίου καὶ ὃ τῷ θεῷ γίγνεται αὐτοὶ ὑπὲρ ἐκείνων ἐκτίσειν. ὡς δ' οὐκ ἐσήκουον, αὖθις τάδε ἠξίουν, Λέπρεον μὲν μὴ 50
ἀποδοῦναι, εἰ μὴ βούλονται, ἀναβάντας δὲ ἐπὶ τὸν βωμὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ἐπειδὴ προθυμοῦνται χρῆσθαι τῷ ἱερῷ, ἀπομόσαι ἐναντίον τῶν Ἑλλήνων ἢ μὴν ἀποδώσειν ὕστερον τὴν καταδίκην. ὡς δὲ οὐδὲ ταῦτα ἤθελον, Λακεδαι- 2
μόνιοι μὲν εἴργοντο τοῦ ἱεροῦ θυσίας καὶ ἀγώνων καὶ οἶκοι ἔθυον, οἱ δὲ ἄλλοι Ἕλληνες ἐθεώρουν πλὴν Λεπρεατῶν. ὅμως δὲ οἱ Ἠλεῖοι δεδιότες μὴ βίᾳ θύσωσι, ξὺν ὅπλοις τῶν νεωτέρων φυλακὴν εἶχον· ἦλθον δὲ αὐτοῖς καὶ Ἀργεῖοι καὶ Μαντινῆς, χίλιοι ἑκατέρων, καὶ Ἀθηναίων ἱππῆς, οἳ ἐν Ἄργει ὑπέμενον τὴν ἑορτήν. δέος δ' ἐγένετο τῇ πανηγύρει 3
μέγα μὴ ξὺν ὅπλοις ἔλθωσιν οἱ Λακεδαιμόνιοι, ἄλλως τε

---

gefunden. (Pp.) — ὑπελάμβανον, ἀντέλεγον, ἐκ διαδοχῆς ἀπεκρίνοντο. (Sch.) Lyſ. 13, 82: εἰ τῇ ἐπὶ Φυλὴν ὁδῷ ἀπολογίᾳ χρῆται, ὑπολαμβάνειν χρὴ εἰ Ἄνυτος αὐτῷ ἐγένετο αἴτιος μὴ ἀποθανεῖν. — οὐ χρεών — αὐτούς es würde überflüſſig geweſen ſein die Abfindigung noch in Lakedämon vorzunehmen, wenn ſie, die Eleer, wirklich geglaubt daß ſie, die Lakedämonier, ſich bereits vergangen hätten. (Hl.) — οὐχ ὡς νομίζοντας nicht als hätten ſie, die Eleer, es geglaubt, ſondern als hätten ſie es nicht geglaubt. vgl. Gr. 67, 10 A. 4. — τοῦτο, τὸ ἐπαγγεῖλαι. — καὶ ὅπλα — ἐπενεγκεῖν und ſie, die Lakedämonier, hätten auch von der Zeit an nach keiner Seite hin Feindſeligkeiten unternommen. (Hl.)

§ 4. ἂν πεισθῆναι als ob ἔλεγον vorherginge: ſie, die Eleer, erklärten daß ſie ſich nicht überreden ließen daß ſie, die Lakedämonier, nicht Unrecht gethan. (Ps.) — γίγνεται, ὀφείλεται. (Sch.)

C. 50. § 1. ἀπομόσαι, χυρῶσαι δι' ὅρκου ἐνώπιον. (Sch.)

§ 2. θυσίας nimmt man als Appoſition; allein es iſt wohl ein Ge. der Relation: ſie wurden vom Heiligthum rückſichtlich der Opfer ausgeſchloſſen. Oder iſt θυσίας καὶ ἀγώνων Gloſſem? — ἐθεώρουν, τῆς θεωρίας μετεῖχον. (Sch.) — Ἄργει hat wohl den Namen eines näher liegenden Ortes verdrängt.

καὶ ἐπειδὴ καὶ Λίχας ὁ Ἀρχεσιλάου, Λακεδαιμόνιος, ἐν τῷ ἀγῶνι ὑπὸ τῶν ῥαβδούχων πληγὰς ἔλαβεν, ὅτι νικῶντος τοῦ ἑαυτοῦ ζεύγους καὶ ἀνακηρυχθέντος Βοιωτῶν δημοσίου κατὰ τὴν οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον, βουλόμενος δηλῶσαι ὅτι ἑαυτοῦ ἦν τὸ ἅρμα· ὥστε πολλῷ δὴ μᾶλλον ἐπεφόβηντο πάντες καὶ ἐδόκει
4 τι νέον ἔσεσθαι. οἱ μέντοι Λακεδαιμόνιοι ἡσύχασάν τε καὶ ἡ ἑορτὴ αὐτοῖς οὕτω διῆλθεν. ἐς δὲ Κόρινθον μετὰ τὰ Ὀλύμπια Ἀργεῖοί τε καὶ οἱ ξύμμαχοι ἀφίκοντο δεησόμενοι αὐτῶν παρὰ σφᾶς ἐλθεῖν. καὶ Λακεδαιμονίων πρέσβεις ἔτυχον παρόντες, καὶ πολλῶν λόγων γενομένων τέλος οὐδὲν ἐπράχθη, ἀλλὰ σεισμοῦ γενομένου διελύθησαν ἕκαστοι ἐπ' οἴκου. καὶ τὸ θέρος ἐτελεύτα.

51 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἡρακλεώταις τοῖς ἐν Τραχῖνι μάχη ἐγένετο πρὸς Αἰνιᾶνας καὶ Δόλοπας καὶ Μηλιέας καὶ Θεσσαλῶν τινας. προσοικοῦντα γὰρ τὰ ἔθνη ταῦτα τῇ πόλει πολέμια ἦν· οὐ γὰρ ἐπ' ἄλλῃ τινὶ γῇ ἢ ᾗ τούτων
2 τὸ χωρίον ἐτειχίσθη. καὶ εὐθύς τε καθισταμένῃ τῇ πόλει ἠναντιοῦντο, ἐς ὅσον ἐδύναντο φθείροντες, καὶ τότε τῇ μάχῃ ἐνίκησαν τοὺς Ἡρακλεώτας, καὶ Ξενάρης ὁ Κνίδιος, Λακεδαιμόνιος, ἄρχων αὐτῶν, ἀπέθανεν, διεφθάρησαν δὲ καὶ ἄλλοι τῶν Ἡρακλεωτῶν. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ δωδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

---

§ 3. *δημοσίου* Gemeinweſen, ohne Artikel, wie 6, 31, 3. (zw. 5.) vgl. 5, 18, 6. 7 u. Ariſtot. Pol. 2, 5, 4. — *ζεύγους*, ἅρματος. (Sch.) — *καὶ ἀ — ἀγωνίσεως*, διὰ τὸ μὴ ἐξεῖναι Λακεδαιμονίοις ἀγωνίζεσθαι. (Sch.) Ueber *οὔ* zu 1, 137, 4. — *ἀγῶνα* Kampfplatz, wie Od. 9, 260. (Bs.) So *μάχη* Xen. An. 2, 2, 6 u. *δρόμος* 4, 8, 26. — *ἀνέδησε*, ἐστεφάνωσε. (Sch.) — *ἦν*. Gr. 54, 6 A. 3.

§ 4. *αὐτοῖς*, τοῖς Λακεδαιμονίοις. (Sch.) in Bezug auf ſie, ungeſtört von ihnen. (Bv.) Arn. bezieht es auf *πάντες*. — *τέλος* zuletzt, nicht bloß gleich nach *καί* oder vor *δέ*. vgl. 2, 100, 4. 7, 44, 7. 8, 56, 5.

C. 51. § 1. *ἐπ' ἄλλῃ τινὶ γῇ*, ἐπὶ βλάβῃ ἄλλης τινὸς γῆς. (Sch.) zu 3, 92, 3 u. 5, 33, 1.

§ 2. *ἠναντιοῦντο* 3, 92, 1. 93, 2. (Dr.) — *ὁ Κνίδιος* der Sohn des Knidis Hl. Der Name iſt wohl verfälſcht. (Palmer.) *Κινάδωνος*?

Τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς ἀρχομένου τὴν 52
Ἡράκλειαν, ὡς μετὰ τὴν μάχην κακῶς ἐφθείρετο, Βοιωτοὶ παρέλαβον, καὶ Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον ὡς οὐ καλῶς ἄρχοντα ἐξέπεμψαν. δείσαντες δὲ παρέλαβον τὸ χωρίον μὴ Λακεδαιμονίων τὰ κατὰ Πελοπόννησον θορυβουμένων Ἀθηναῖοι λάβωσιν· Λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς.

Καὶ τοῦ αὐτοῦ θέρους Ἀλκιβιάδης ὁ Κλεινίου, στρατηγὸς 2
ὢν Ἀθηναίων, Ἀργείων καὶ τῶν ξυμμάχων ξυμπρασσόντων ἐλθὼν ἐς Πελοπόννησον μετ' ὀλίγων Ἀθηναίων ὁπλιτῶν καὶ τοξοτῶν καὶ τῶν αὐτόθεν ξυμμάχων παραλαβὼν τά τε ἄλλα ξυγκαθίστη περὶ τὴν ξυμμαχίαν διαπορευόμενος Πελοπόννησον τῇ στρατιᾷ καὶ Πατρέας τε τεῖχη καθεῖναι ἔπεισεν ἐς θάλασσαν καὶ αὐτὸς ἕτερον διενοεῖτο τειχίσαι ἐπὶ τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ. Κορίνθιοι δὲ καὶ Σικυώνιοι καὶ οἷς ἦν ἐν βλάβῃ τειχισθὲν βοηθήσαντες διεκώλυσαν.

Τοῦ δ' αὐτοῦ θέρους Ἐπιδαυρίοις καὶ Ἀργείοις πό- 53
λεμος ἐγένετο, προφάσει μὲν περὶ τοῦ θύματος τοῦ Ἀπόλλωνος τοῦ Πυθαέως, ὃ δέον ἀπαγαγεῖν οὐκ ἀπέπεμπον ὑπὲρ βοταμίων Ἐπιδαύριοι· κυριώτατοι δὲ τοῦ ἱεροῦ ἦσαν Ἀργεῖοι· ἐδόκει δὲ καὶ ἄνευ τῆς αἰτίας τὴν Ἐπίδαυρον τῷ τε 2
Ἀλκιβιάδῃ καὶ τοῖς Ἀργείοις προσλαβεῖν, ἢν δύνωνται, τῆς τε Κορίνθου ἕνεκα ἡσυχίας καὶ ἐκ τῆς Αἰγίνης βραχυτέραν

C. 52. § 1. *τὰ κατά* in Bezug auf die Angelegenheiten in.

§ 2. *αὐτόθεν, ἀπὸ Πελοποννήσου.* (Sch.) vgl. zu 3, 7, 3. — *ξυμμάχων, τινὰς δηλονότι.* (Sch.) — *καθεῖναι.* zu 4, 103, 4. — *ἐν βλάβῃ* nachtheilig. Plat. Rep. 373: *ἰατρῶν ἐν χρείαις ἐσόμεθα οὕτω διαιτώμενοι.* And. 2, 22: *πάνυ ἄν μοι τοῦτο ἐν μεγάλῃ ἡδονῇ γένοιτο.* Aehnlich *ἐν διαβολῇ, ἐν ἐγκλήματι γίγνεσθαι* Lys. 19, 34 u. Dem. 18, 251. — *βοηθεῖν* heißt bei Her. u. Thuk. öfter ausziehen zur Abwehr, vgl. 8, 55, 1, besonders mit *ἐπί τινας* und *ἐς τόπον.*

C. 53. § 1. *προφάσει. πρόφασιν* Dobree; vgl. 3, 111, 1. Der Gebrauch dieses absoluten Ac. oder Da. ist sonst bei Attikern nicht eben sehr gewöhnlich. — *Πυθαέως* für *Πυθέως* Wesseling zu Diod. 12, 78; *Πυθαιέως* Valckenaer. — *ἀπαγαγεῖν* abführen, entrichten. (Ba.) So *φόρον, δασμὸν ἀπάγειν* Ar. We. 707, Xen. Cyr. 2, 4, 12 (§ 14 *ἀποδιδόναι*) u. 3, 1, 10. — *κυριώτατοι.* Gr. 48, 7 A. 1. vgl. 2, 62, 2 u. 4, 18, 1. — *βοταμίων* Weide, pascua Ba. *παραποταμίων* einige Hsn.: am Flusse gelegene Ländereien, als Neutrum. (Bp.)

§ 2. *ἄνευ τῆς αἰτίας* ohne die angegebene Beschuldigung. — *ἕνεκα ἡσυχίας*, um es durch eine drohendere Stellung in Ruhe zu halten. (Hl.) — *βραχυτέραν, διὰ βραχέος (βραχυτέρου) δια-*

ἔσεσθαι τὴν βοήθειαν ἢ Σκύλλαιον περιπλεῖν τοῖς Ἀθηναίοις. παρεσκευάζοντο οὖν οἱ Ἀργεῖοι ὡς αὐτοὶ ἐς τὴν
54 Ἐπίδαυρον διὰ τοῦ θύματος τὴν ἔσπραξιν ἐσβαλοῦντες. ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι κατὰ τοὺς αὐτοὺς χρόνους πανδημεὶ ἐς Λεῦκτρα τῆς ἑαυτῶν μεθορίας πρὸς τὸ Λύκαιον, Ἄγιδος τοῦ Ἀρχιδάμου βασιλέως ἡγουμένου· ἤδει δὲ οὐδεὶς ὅποι στρατεύουσιν, οὐδὲ αἱ πόλεις ἐξ ὧν
2 ἐπέμφθησαν. ὡς δ' αὐτοῖς τὰ διαβατήρια θυομένοις οὐ προὐχώρει, αὐτοί τε ἀπῆλθον ἐπ' οἴκου καὶ τοῖς ξυμμάχοις περιήγγειλαν μετὰ τὸν μέλλοντα, Καρνεῖος δ' ἦν μήν, ἱερομήνια Λωριεῦσι, παρασκευάζεσθαι ὡς στρατευσομένους.
3 Ἀργεῖοι δ' ἀναχωρησάντων αὐτῶν τοῦ πρὸ τοῦ Καρνείου μηνὸς ἐξελθόντες τετράδι φθίνοντος, καὶ ἄγοντες τὴν ἡμέραν ταύτην πάντα τὸν χρόνον, ἐσέβαλον ἐς τὴν Ἐπιδαυρίαν καὶ ἐδῄουν. Ἐπιδαύριοι δὲ τοὺς ξυμμάχους ἐπεκαλοῦντο· ὧν τινες οἱ μὲν τὸν μῆνα προὐφασίσαντο, οἱ δὲ καὶ ἐς μεθορίαν
55 τῆς Ἐπιδαυρίας ἐλθόντες ἡσύχαζον. καὶ καθ' ὃν χρόνον ἐν τῇ Ἐπιδαύρῳ οἱ Ἀργεῖοι ἦσαν ἐς Μαντίνειαν πρεσβεῖαι ἀπὸ

στήματος. (Sch.) — ἔσεσθαι. zu 4, 3, 3. — ἢ περιπλεῖν. zu 4, 66, 2.

C. 54. § 1. πόλεις, αἱ Λακωνικαί. (Sch) — ἐπέμφθησαν Leute, Truppen dazu geſchickt waren. (Ba.)

§ 2. διαβατήρια, τὰ ἱερὰ εἰς διάβασιν. (Sch. zu 5, 55, 3.) Hier wohl Opfer für den Uebergang nicht über einen Fluß ſondern über die Grenze. (Hl.) — προὐχώρει, καλὰ ἦν. (Sch.) zu Xen. An. 6, 2, 21. — τὸν μέλλοντα, μῆνα δηλονότι. (Sch.) — Καρνεῖος, der dem attiſchen Metageitnion entſprach. Corsini F. H. 2 p. 452. s. — ἱερομήνια. ἱερομηνία einige Hſn. vgl. zu 3, 56, 1. 65, 1. τοῦ γὰρ Καρνείου πολλὰς ἔχοντος ἱερὰς ἡμέρας ἢ καὶ πάσας ἱερὰς μᾶλλον οὐκ ἐστρατεύοντο. (Sch.)

§ 3. μηνός gehört zu dem erſten τοῦ. — ἄγοντες vorrückend Ba., obgleich ſie feierten Ps., wobei καί für καίπερ doch kaum erträglich wäre. — πάντα τὸν χρόνον während der Feſttage der Lakedämonier. (Gö.) Mit dem Vorhergehenden verbindet dieſe Worte Bk. — τινες οἱ μεν für οἱ μέν τινες Abr. Dieſe Erklärung ſcheint mir unſtatthaft, vielmehr τινές auf beide Sätze ſich zu beziehen, bezeichnend daß dieſelben doch nicht alle Bundesgenoſſen umfaſſen, indem zu denken iſt: manche kamen wohl auch. Aehnlich zu erklären ſind denn wohl auch die ſonſt noch angeführten Stellen, 7, 86, 4? Plat. Gorg. 499, c, Prot. 343, d, Rep. 463, b, 560, a. — οἱ δὲ καί andre aber auch. Gr. 50, 1 A. 9.

τῶν πόλεων ξυνῆλθον Ἀθηναίων παρακαλεσάντων. καὶ γιγνομένων λόγων Εὐφαμίδας ὁ Κορίνθιος οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις ὁμολογεῖν· σφεῖς μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι, τοὺς δ' Ἐπιδαυρίους καὶ τοὺς ξυμμάχους καὶ τοὺς Ἀργείους μεθ' ὅπλων ἀντιτετάχθαι· διαλῦσαι οὖν 2
πρῶτον χρῆναι ἀφ' ἑκατέρων ἐλθόντας τὰ στρατόπεδα καὶ οὕτω πάλιν λέγειν περὶ τῆς εἰρήνης. καὶ πεισθέντες ᾤχοντο καὶ τοὺς Ἀργείους ἀπήγαγον ἐκ τῆς Ἐπιδαυρίας. ὕστερον δὲ ἐς τὸ αὐτὸ ξυνελθόντες οὐδ' ὡς ἐδυνήθησαν ξυμβῆναι, ἀλλ' οἱ Ἀργεῖοι πάλιν ἐς τὴν Ἐπιδαυρίαν ἐσέβαλον καὶ 3
ἐδῄουν. ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐς Καρύας, καὶ ὡς οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο, ἐπανεχώρησαν. Ἀργεῖοι δέ, τεμόντες τῆς Ἐπιδαυρίας ὡς τὸ τρίτον μέρος, ἀπῆλθον ἐπ' οἴκου. καὶ Ἀθηναίων αὐτοῖς χίλιοι ἐβοήθησαν ὁπλῖται καὶ Ἀλκιβιάδης στρατηγός· πυθόμενοι δὲ τοὺς Λακεδαιμονίους ἐξεστρατεῦσθαι καὶ ὡς οὐδὲν ἔτι αὐτῶν ἔδει, ἀπῆλθον. καὶ τὸ θέρος οὕτω διῆλθεν.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι λαθόν- 56
τες Ἀθηναίους φρουρούς τε τριακοσίους καὶ Ἀγησιππίδαν ἄρχοντα κατὰ θάλασσαν ἐς Ἐπίδαυρον ἐσέπεμψαν. Ἀργεῖοι 2
δ' ἐλθόντες παρ' Ἀθηναίους ἐπεκάλουν ὅτι, γεγραμμένον ἐν ταῖς σπονδαῖς διὰ τῆς ἑαυτῶν ἑκάστους μὴ ἐᾶν πολεμίους διιέναι, ἐάσειαν κατὰ θάλασσαν παραπλεῦσαι· καὶ εἰ μὴ

C. 55. § 1. ὁμολογεῖν und ὁμολογεῖσθαι, das Medium, stehen oft so, wie Dem. 18, 14. (Pp.)

§ 2. ἀφ' ἑκατέρων ἐλθόντας von beiden Partheien, von Seiten der Staaten die es mit Argos wie derer die es mit Epidauros hielten, hingegangene Männer. (A. Ps. u. Hk.) vgl. Kr. zu Xen. An. 1, 3, 14. — ᾤχοντο, οἱ πρέσβεις δηλονότι. (Sch.) Vorher würde man freilich πεισθέντων erwarten. Doch vgl. Gr. 56, 9 A. 2 u. Xen. An. 2, 2, 8.

§ 3. τὰ διαβατήρια. zu 5, 54, 2. — ὡς. Gr. 69, 63 A. 5. — ἐγένοντο, καλὰ δηλονότι. (Sch.) zu Xen. An. 2, 2, 3. — πυθόμενοι will Ps., δέ tilgend, mit ἐβοήθησαν verbinden und so übersetzt Va. — ἐξεστρατεῦσθαι den Feldzug beendigt hätten erklären Enenkel u. A.; Einige suchen diese Bedeutung in ἐξ, Andere im Perfect; letzteres schwerlich mit Recht; für jenes könnte man vergleichen auswirthschaften, aushandeln ꝛc. — καὶ ὡς. zu 5, 44, 1. Nur ist freilich dieser Fall härter, da das Particip und der Satz nicht gleichartige Gedanken enthalten.

καὐκεῖνοι ἐς Πύλον κομιοῦσιν ἐπὶ Λακεδαιμονίους τοὺς Μεσ-
3 σηνίους καὶ Εἵλωτας, ἀδικήσεσθαι αὐτοί. Ἀθηναῖοι δὲ Ἀλκιβιάδου πείσαντος τῇ μὲν Λακωνικῇ στήλῃ ὑπέγραψαν ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς ὅρκοις, ἐς δὲ Πύλον ἐκόμισαν τοὺς ἐκ Κρανίων Εἵλωτας λῃΐζεσθαι, τὰ δ' ἄλλα
4 ἡσύχαζον. τὸν δὲ χειμῶνα τοῦτον πολεμούντων Ἀργείων καὶ Ἐπιδαυρίων μάχη μὲν οὐδεμία ἐγένετο ἐκ παρασκευῆς, ἐνέδραι δὲ καὶ καταδρομαί, ἐν αἷς ὡς τύχοιεν ἑκατέρων τινὲς
5 διεφθείροντο· καὶ τελευτῶντος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη κλίμακας ἔχοντες οἱ Ἀργεῖοι ἦλθον ἐπὶ τὴν Ἐπίδαυρον, ὡς ἐρήμου οὔσης διὰ τὸν πόλεμον βίᾳ αἱρήσοντες· καὶ ἄπρακτοι ἀπῆλθον. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ τρίτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

57 Τοῦ δ' ἐπιγιγνομένου θέρους μεσοῦντος Λακεδαιμόνιοι, ὡς αὐτοῖς οἵ τε Ἐπιδαύριοι ξύμμαχοι ὄντες ἐταλαιπώρουν καὶ τἆλλα ἐν τῇ Πελοποννήσῳ τὰ μὲν ἀφεστήκει τὰ δ' οὐ καλῶς εἶχεν, νομίσαντες, εἰ μὴ προκαταλήψονται ἐν τάχει, ἐπὶ πλέον χωρήσεσθαι αὐτά, ἐστράτευον αὐτοὶ καὶ οἱ Εἵλωτες πανδημεὶ ἐπ' Ἄργος· ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου,
2 Λακεδαιμονίων βασιλεύς. ξυνεστράτευον δ' αὐτοῖς Τεγεᾶται καὶ ὅσοι ἄλλοι Ἀρκάδων Λακεδαιμονίοις ξύμμαχοι ἦσαν. οἱ δ' ἐκ τῆς ἄλλης Πελοποννήσου ξύμμαχοι καὶ οἱ ἔξωθεν ἐς Φλιοῦντα ξυνελέγοντο, Βοιωτοὶ μὲν πενταχισχίλιοι ὁπλῖται

C. 56. § 2. *ἀδικήσεσθαι* lautet das paſſive Fu. regelmäßig, wie 6, 87, 4. Iphig. A. 1437, Iſokr. 2, 16, Plat. Gorg. 509, Xen. Cyr 3, 2, 18, Dem. 20, 164. 21, 30. 220. 23, 115. — *αὐτοί* ſie, betont, die Argeier nämlich. Gr. 51, 1 A. 3.

§ 3. *Λακωνικῇ, ἣν ἔστησαν οἱ Ἀθηναῖοι ἔχουσαν τὰς Λακωνικὰς σπονδάς.* (Sch.) — *ὑπέγραψαν.* Ar. Lyſ. 513: *ἐν τῇ στήλῃ παραγράψαι.* — *λῃΐζεσθαι, ὥστε λῃΐζεσθαι.* (Sch.) Gr. 55, 3 A. 20.

§ 4. *ἐκ παρασκευῆς, ἤγουν ἐκ φανερᾶς παρατάξεως.* (Sch.) Etwas verſchieden 4, 94, 1. — *τύχοιεν.* zu 5, 20, 2.

§ 5. *ἐρήμου.* Man erwartete die Truppen zum Schutz von Ortſchaften uud Feſten gegen Befehdungen derſelben verſendet zu finden. (Arn.)

C. 57. § 1. *τἆλλα* die übrigen Staaten. — *προκαταλήψονται* vorbauen würden. Einige gute Hſn. *καταλήψονται.* vgl. jedoch 3, 2, 2. 3, 2. 46, 4. 6, 18, 3; mit einem Ac. 1, 57, 3. 5, 30, 1.

§ 2. *οἱ ἔξωθεν, Πελοποννήσου δηλονότι.* (Sch.) — *ἄμιπποι*

καὶ τοσοῦτοι ψιλοὶ καὶ ἱππῆς πεντακόσιοι καὶ ἄμιπποι ἴσοι, Κορίνθιοι δὲ δισχίλιοι ὁπλῖται, οἱ δ' ἄλλοι ὡς ἕκαστοι, Φλιάσιοι δὲ πανστρατιᾷ, ὅτι ἐν τῇ ἐκείνων ἦν τὸ στράτευμα.

Ἀργεῖοι δὲ προαισθόμενοι τό τε πρῶτον τὴν παρασκευὴν 58
τῶν Λακεδαιμονίων καὶ ἐπειδὴ ἐς τὸν Φλιοῦντα βουλόμενοι τοῖς ἄλλοις προσμῖξαι ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί· ἐβοήθησαν δ' αὐτοῖς καὶ Μαντινῆς ἔχοντες τοὺς σφετέρους ξυμμάχους καὶ Ἠλείων τρισχίλιοι ὁπλῖται. καὶ προϊ- 2
όντες ἀπαντῶσι τοῖς Λακεδαιμονίοις ἐν Μεθυδρίῳ τῆς Ἀρκαδίας καὶ καταλαμβάνουσιν ἑκάτεροι λόφον. καὶ οἱ μὲν Ἀργεῖοι ὡς μεμονωμένοις τοῖς Λακεδαιμονίοις παρεσκευάζοντο μάχεσθαι, ὁ δὲ Ἄγις τῆς νυκτὸς ἀναστήσας τὸν στρατὸν καὶ λαθὼν ἐπορεύετο ἐς Φλιοῦντα παρὰ τοὺς ἄλλους ξυμμάχους. καὶ οἱ Ἀργεῖοι αἰσθόμενοι ἅμα ἕῳ ἐχώρουν 3
πρῶτον μὲν ἐς Ἄργος, ἔπειτα ᾗ προσεδέχοντο τοὺς Λακεδαιμονίους μετὰ τῶν ξυμμάχων καταβήσεσθαι, τὴν κατὰ Νεμέαν ὁδόν. Ἄγις δὲ ταύτην μὲν ἣν προσεδέχοντο οὐκ ἐτράπετο, παραγγείλας δὲ τοῖς Λακεδαιμονίοις καὶ Ἀρκάσι καὶ Ἐπιδαυρίοις ἄλλην ἐχώρησε χαλεπὴν καὶ κατέβη ἐς τὸ Ἀργεῖων πεδίον· καὶ Κορίνθιοι καὶ Πελληνῆς καὶ Φλιάσιοι 4
ὄρθιον ἕτεραν ἐπορεύοντο· τοῖς δὲ Βοιωτοῖς καὶ Μεγαρεῦσι καὶ Σικυωνίοις εἴρητο τὴν ἐπὶ Νεμέας ὁδὸν καταβαίνειν, ᾗ οἱ Ἀργεῖοι ἐκάθηντο, ὅπως, εἰ οἱ Ἀργεῖοι ἐπὶ σφᾶς ἰόντες ἐς τὸ πεδίον βοηθοῖεν, ἐφεπόμενοι τοῖς ἵπποις χρῷντο.

Καὶ ὁ μὲν οὕτω διατάξας καὶ ἐσβαλὼν ἐς τὸ πεδίον 59
ἐδῄου Σάμινθόν τε καὶ ἄλλα· οἱ δὲ Ἀργεῖοι γνόντες ἐβοή-

Fußſoldaten die jeder einem Reiter zugetheilt nach Erfordern ihn zu Fuß begleiteten oder ſich auf deſſen Pferd ſchwangen. Die Erkl. zu Xen. Hell. 7, 5, 23.

C. 58. §. 1. τό τε für τότε Hl. — καὶ ἐπειδή. Gr. 59, 2 A. 4.

§ 2. μεμονωμένοις, ἐρήμοις συμμάχων. (Sch.)

§ 3. ἐς Ἄργος nach Argos zu. (Bl.)

§ 4. ὄρθιον. ὄρθριον die beſten Hſn., wofür ὄρθριοι zu ſagen wäre. (Ba.) Als Adj. zweier Endungen ſteht ὄρθιος auch Eur. Hel. 632. — ἐκάθηντο. καθῆντο oder κάθηντο die beſten Hſn. Aber ſonſt iſt die erſte Form bei Thuk. ſicher 3, 97, 2. 4, 44, 3. 5, 6, 1. — σφᾶς τοὺς περὶ τὸν Ἄγιν. (Dobree.) Gr. 58, 4 A. 3.

θουν ἡμέρας ἤδη ἐκ τῆς Νεμέας, καὶ περιτυχόντες τῷ Φλιασίων καὶ Κορινθίων στρατοπέδῳ τῶν μὲν Φλιασίων ὀλίγους ἀπέκτειναν, ὑπὸ δὲ τῶν Κορινθίων αὐτοὶ οὐ πολλῷ πλείους
2 διεφθάρησαν. καὶ οἱ Βοιωτοὶ καὶ οἱ Μεγαρῆς καὶ οἱ Σικυώνιοι ἐχώρουν, ὥσπερ εἴρητο αὐτοῖς, ἐπὶ τῆς Νεμέας καὶ τοὺς Ἀργείους οὐκέτι κατέλαβον, ἀλλὰ καταβάντες, ὡς ἑώρων τὰ ἑαυτῶν δῃούμενα, ἐς μάχην παρετάσσοντο. ἀντιπα-
3 ρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι. ἐν μέσῳ δὲ ἀπειλημμένοι ἦσαν οἱ Ἀργεῖοι· ἐκ μὲν γὰρ τοῦ πεδίου οἱ Λακεδαιμόνιοι εἶργον τῆς πόλεως καὶ οἱ μετ' αὐτῶν, καθύπερθεν δὲ Κορίνθιοι καὶ Φλιάσιοι καὶ Πελληνῆς, τὸ δὲ πρὸς Νεμέας Βοιωτοὶ καὶ Σικυώνιοι καὶ Μεγαρῆς. ἵπποι δὲ αὐτοῖς οὐ παρῆσαν· οὐ γάρ πω οἱ Ἀθηναῖοι μόνοι τῶν
4 ξυμμάχων ἦκον. τὸ μὲν οὖν πλῆθος τῶν Ἀργείων καὶ τῶν ξυμμάχων οὐχ οὕτω δεινὸν τὸ παρὸν ἐνόμιζον, ἀλλ' ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι καὶ τοὺς Λακεδαιμονίους ἀπειληφέναι
5 ἐν τῇ αὐτῶν τε καὶ πρὸς τῇ πόλει. τῶν δὲ Ἀργείων δύο ἄνδρες, Θράσυλλός τε, τῶν πέντε στρατηγῶν εἷς ὤν, καὶ Ἀλκίφρων, πρόξενος Λακεδαιμονίων, ἤδη τῶν στρατοπέδων ὅσον οὐ ξυνιόντων προσελθόντες Ἄγιδι διελεγέσθην μὴ ποιεῖν μάχην· ἑτοίμους γὰρ εἶναι Ἀργείους δίκας δοῦναι καὶ δέξασθαι ἴσας καὶ ὁμοίας, εἴ τι ἐπικαλοῦσιν Ἀργείοις Λακεδαιμόνιοι, καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν σπονδὰς ποιησα-
60μένους. καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν Ἀργείων ἀφ' ἑαυ-

C. 59. § 1. *ἡμέρας ἤδη.* zu 1, 30, 4. — *αὐτοὶ οὐ πολλῷ πλείους* ſie ſelbſt in nicht viel größerer Zahl. vgl. 5, 115, 1. (Arn.) Aehnlich 5, 67, 3.

§ 2. *καταβάντες, οἱ Ἀργεῖοι.* (Sch.)

§ 3. *καθύπερθεν* für *καθύπερθε* mehrere Hſn. So auch *ὕπερθεν* vor einem Conſonanten Xen. Mem. 1, 4, 11. vgl. Lobeck zu Soph. Aj. 441. — *πρός.* zu 1, 62, 1.

§ 4. *ἐν καλῷ.* zu 5, 46, 1. — *ἐδόκει* mit dem No. u. dann dem Ac. c. inf., wie Xen. An. 1, 4, 18. 3, 1, 11. — *προσελθόντες* für *προελθόντε* viele und gute Hſn.

§ 5. *Θράσυλλος. Θρασύλος* einige Hſn. vgl. Schömann z. Iſä. p. 354 u. Göttling Acc. S. 186. — *ποιεῖν*, von *διελεγέσθην*, in ſofern es ein *εἶπον, ἐκέλευσαν* enthält, regiert, eine bei *διαλέγεσθαι* ſonſt nicht leicht vorkommende Conſtruction. Gr. 55, 3 A. 13.

C. 60. § 1. *μέν* ſteht mit Bezug auf die Mißbilligung der

τῶν καὶ οὐ τοῦ πλήθους κελεύσαντος εἶπον· καὶ ὁ Ἄγις δεξάμενος τοὺς λόγους αὐτός, καὶ οὐ μετὰ τῶν πλειόνων οὐδὲ αὐτὸς βουλευσάμενος ἀλλ' ἢ ξενὶ ἀνδρὶ κοινώσας τῶν ἐν τέλει ξυστρατευομένων, σπένδεται τέσσαρας μῆνας ἐν οἷς ἔδει ἐπιτελέσαι αὐτοὺς τὰ ῥηθέντα. καὶ ἀπήγαγε τὸν στρα- 2
τὸν εὐθύς, οὐδενὶ φράσας τῶν ἄλλων ξυμμάχων. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι εἵποντο μὲν ὡς ἡγεῖτο διὰ τὸν νόμον, ἐν αἰτίᾳ δ' εἶχον κατ' ἀλλήλους πολλῇ τὸν Ἄγιν, νομίζοντες ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν καὶ παντα-
χόθεν αὐτῶν ἀποκεκλῃμένων καὶ ὑπὸ ἱππέων καὶ πεζῶν οὐδὲν δράσαντες ἄξιον τῆς παρασκευῆς ἀπιέναι. στρατόπεδον 3
γὰρ δὴ τοῦτο κάλλιστον Ἑλληνικὸν τῶν μέχρι τοῦδε ξυνῆλ-
θεν· ὤφθη δὲ μάλιστα ἕως ἔτι ἦν ἀθρόον ἐν Νεμέᾳ, ἐν ᾧ Λακεδαιμόνιοί τε πανστρατιᾷ ἦσαν καὶ Ἀρκάδες καὶ Βοιω-
τοὶ καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Πελληνῆς καὶ Φλιάσιοι καὶ Μεγαρῆς, καὶ οὗτοι πάντες λογάδες ἀφ' ἑκάστων, ἀξιό-
μαχοι δοκοῦντες εἶναι οὐ τῇ Ἀργείων μόνον ξυμμαχίᾳ ἀλλὰ κἂν ἄλλῃ ἔτι προσγενομένῃ. τὸ μὲν οὖν στρατόπεδον οὕτως 4
ἐν αἰτίᾳ ἔχοντες τὸν Ἄγιν ἀνεχώρουν τε καὶ διελύθησαν ἐπ' οἴκου ἕκαστοι· Ἀργεῖοι δὲ καὶ αὐτοὶ ἔτι ἐν πολλῷ πλείονι αἰτίᾳ εἶχον τοὺς σπεισαμένους ἄνευ τοῦ πλήθους, νομίζοντες κἀκεῖνοι μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν Λα-
κεδαιμονίους διαπεφευγέναι· πρός τε γὰρ τῇ σφετέρᾳ πόλει 5
καὶ μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων τὸν ἀγῶνα ἂν

übrigen Argeier § 4. — ἀφ' ἑαυτῶν. Gr. 68, 16 A. 7. — αὐτός allein. (Ps.) — ἀλλ' ἤ. Gr. 69, 4 A. 6.

§ 2. ξυμμάχων dürfte zu tilgen sein. Denn auch die Spartiaten und sie vorzugsweise kamen hier in Betracht. — διὰ τὸν νόμον 5, 66, 2. vgl. 63, 3. (Hk.) — παρατυχόν. zu 1, 76, 3.

§ 3. κάλλιστον. Auch schöner als das bei Platäa? Den Worten nach doch wohl. Denn daß nur von einem hellenischen Heere gegen Hellenen die Rede sei (Ds.) wird durch nichts angedeutet. — τῶν μέχρι τοῦδε. zu 1, 1, 1. — κἄν für καὶ Bk. Man löse auf: καὶ ἄλλῃ ἄν ἀξιόμαχοι ἐδόκουν εἶναι, εἰ προσεγένετο. Gr. 69, 7 A. 1.

§ 4. οὕτως ziehe ich zum Vorhergehenden d. h. zum ganzen Gedanken, wie Xen. An. 3, 1, 10. — μὴ ἄν — παρασχόν da sich ihnen nie eine schönere, günstigere Gelegenheit hätte darbieten können. (Ps.) zu 1, 120, 3. Doch hätte man hier gern noch einen Inf. wie etwa κρατεῖν.

γίγνεσθαι. τόν τε Θράσυλλον ἀναχωρήσαντες ἐν τῷ Χαράδρῳ, οὗπερ τὰς ἀπὸ στρατιᾶς δίκας πρὶν ἐσιέναι κρίνουσιν, ἤρξαντο λεύειν. ὁ δὲ καταφυγὼν ἐπὶ τὸν βωμὸν περιγίγνεται· τὰ μέντοι χρήματα ἐδήμευσαν αὐτοῦ.

61 Μετὰ δὲ τοῦτο Ἀθηναίων βοηθησάντων χιλίων ὁπλιτῶν καὶ τριακοσίων ἱππέων, ὧν ἐστρατήγουν Λάχης καὶ Νικόστρατος, οἱ Ἀργεῖοι — ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λῦσαι πρὸς τοὺς Λακεδαιμονίους — ἀπιέναι ἐκέλευον αὐτοὺς καὶ πρὸς τὸν δῆμον οὐ προσῆγον βουλομένους χρηματίσαι, πρὶν ἦ Μαντινῆς καὶ Ἠλεῖοι, ἔτι γὰρ παρῆσαν, κατηνάγκα-
2 σαν δεόμενοι. καὶ ἔλεγον οἱ Ἀθηναῖοι, Ἀλκιβιάδου πρεσβευτοῦ παρόντος, ἔν τε τοῖς Ἀργείοις καὶ ξυμμάχοις ταῦτα, ὅτι οὐκ ὀρθῶς αἱ σπονδαὶ ἄνευ τῶν ἄλλων ξυμμάχων καὶ γένοιντο, καὶ νῦν, ἐν καιρῷ γὰρ παρεῖναι σφεῖς, ἅπτεσθαι
3 χρῆναι τοῦ πολέμου. καὶ πείσαντες ἐκ τῶν λόγων τοὺς ξυμμάχους εὐθὺς ἐχώρουν ἐπὶ Ὀρχομενὸν τὸν Ἀρκαδικὸν πάντες πλὴν Ἀργείων· οὗτοι δὲ ὅμως καὶ πεισθέντες ὑπελείποντο πρῶτον, ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον. καὶ προσκαθεζόμενοι τὸν Ὀρχομενὸν πάντες ἐπολιόρκουν καὶ προσβολὰς

---

§ 5. ἀπὸ στρατιᾶς. ἀπὸ στρατείας zwei ſchlechte, ἀποστρατείας zwei gute Hſn. vgl zu 1, 3, 4. — ἐσιέναι, in die Stadt. (Va.) — τόν, den dort befindlichen. — περιγίγνεται, σώζεται. (Sch.) vgl. 8, 95, 4 ꝛc.

C. 61. § 1. ὅμως obgleich unzufrieden damit. (Py.) — πρὶν ἤ ſpricht Elmsl zu Eur. Med. 179 den attiſchen Dichtern ab; auch dem Thuk. Reiſig zum Oed. K. comm cr. 36; wohl mit Recht; ſ. jedoch Herm zu Elmsl. Med. 1024. (Py.) Vielleicht iſt πρὶν δή zu ſchreiben. vgl. 1, 118, 2. 132, 6. 3, 29, 1. 104, 7. 7, 39, 2. 71, 4. Das bloße πρίν mit dem Indicativ nur 1, 51, 1. 2, 65, 2. 8, 105, 2. (Haaſe.) Auch 3, 101, 2 u. 5, 10, 9.

§ 2. παρόντος bei der Volksverſammlung; παριόντος oder προηγορεῦντος iſt nicht nöthig — καὶ γένοιντο als ob folgen ſollte: und gehalten würden.

§ 3. πείσαντες, οἱ Ἀθηναῖοι, obgleich ἐχώρουν πάντες folgt. (Hk. Gr. 56, 9 A. 1. — ἐκ τῶν λόγων. Luc. Kat. 26: ἐκ τοῦ λόγου δείξω. Opfer 3: κατεδυσώπησεν αὐτὸν ἐκ τῶν λόγων. Plut. Rom. 14: πεπεισμένον ἔκ τινων λογίων. (Dr.) — ὅμως. Falſch ſtand vor ὅμως ein Komma: auch überredet dennoch, wie Soph. Oed. K 666: ὅμως δὲ κἀμοῦ μὴ παρόντος οἶδ' ὅτι τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς. vgl. Reiſig enarr. 659 u. G:. 55, 13 A. 3. — ἔπειτα ὕστερον. ἔπειτα μεθύστερον Hym. Dem. 205. (Werfer Act. Mon. 1 p. 268.)

ἐποιοῦντο, βουλόμενοι ἄλλως τε προσγειέσθαι σφίσι καὶ ὅμηροι ἐκ τῆς Ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ Λακεδαιμονίων κειμενοι. οἱ δὲ Ὀρχομένιοι δείσαντες τήν τε τοῦ τείχους 4
ἀσθένειαν καὶ τοῦ στρατοῦ τὸ πλῆθος καὶ ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, μὴ προαπόλωνται, ξυνέβησαν ὥστε ξύμμαχοί τε εἶναι καὶ ὁμήρους σφῶν τε αὐτῶν δοῦναι Μαντινεῦσι καὶ οὓς κατέθεντο Λακεδαιμόνιοι παραδοῦναι. μετὰ δὲ τοῦτο 62
ἔχοντες ἤδη τὸν Ὀρχομενὸν ἐβουλεύοντο οἱ ξύμμαχοι ἐφ' ὅ τι χρὴ πρῶτον ἰέναι τῶν λοιπῶν. καὶ Ἠλεῖοι μὲν ἐπὶ Λέπρεον ἐκέλευον, Μαντινῆς δὲ ἐπὶ Τέγεαν· καὶ προσέθεντο οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι τοῖς Μαντινεῦσιν. καὶ οἱ μὲν 2
Ἠλεῖοι ὀργισθέντες ὅτι οὐκ ἐπὶ Λέπρεον ἐψηφίσαντο ἀνεχώρησαν ἐπ' οἴκου, οἱ δὲ ἄλλοι ξύμμαχοι παρεσκευάζοντο ἐν τῇ Μαντινείᾳ ὡς ἐπὶ Τέγεων ἰόντες. καί τινες αὐτοῖς καὶ αὐτῶν Τεγεαιῶν ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα.

Λακεδαιμόνιοι δὲ ἐπειδὴ ἀνεχώρησαν ἐξ Ἄργους τὰς 63
τετραμήνους σπονδὰς ποιησάμενοι, Ἅγιν ἐν μεγάλῃ αἰτίᾳ εἶχον οὐ χειρωσάμενον σφίσιν Ἄργος, παρασχὸν καλῶς ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον· ἀθρόους γὰρ τοσούτους ξυμμάχους καὶ τοιούτους οὐ ῥᾴδιον εἶναι λαβεῖν. ἐπειδὴ δὲ 2
καὶ περὶ Ὀρχομενοῦ ἠγγέλλετο ἐαλωκέναι, πολλῷ δὴ μᾶλλον ἐχαλέπαινον καὶ ἐβούλευον εὐθὺς ὑπ' ὀργῆς παρὰ τὸν τρόπον τὸν ἑαυτῶν ὡς χρὴ τήν τε οἰκίαν αὐτοῦ κατασκάψαι καὶ δέκα μυριάσι δραχμῶν ζημιῶσαι. ὁ δὲ παρῆτεῖτο μηδὲν τούτων 3
δρᾶν ἔργῳ γὰρ ἀγαθῷ λύσεσθαι τὰς αἰτίας στρατευσάμενος,

— καὶ ἦσαν. Auch hier ist dem Particip ein selbstständiger Satz angefügt. Gr. 59, 2 A. 4. Doch ist die Stelle gerade in dieser Weise ungewöhnlich. — κείμενοι, κατατεθειμένοι. (Abr.) Gr. 38, 5 A. 3.

§ 4. καὶ ὡς, καὶ δείσαντες, ὡς. — Μαντινεῦσι. vgl. 77, 1 (Hk.)

C. 62. § 1. ἐπὶ Λ., ἰέναι wie auch § 2 (Ba.) — προσέθεντο, συνῆλθον τῇ γνώμῃ. (Sch.) vgl. zu 1, 20, 4. — ἐνεδίδοσαν. zu 4, 76, 2.

C. 63. § 1. αὐτοὶ ἐνόμιζον könnte fehlen.

§ 2. ἐαλωκέναι. Gr. 61, 6 A. 8. vgl. παρὰ τὸν τρόπον τὸν ἑαυτῶν 1, 132, 5. (Hudson.)

§ 3. ῥύσεσθαι. λύσεσθαι will Dobree. vgl. ἀπολύεσθαι 5, 75, 2. 8, 87, 1. ἔγκλημα λῦσαι 1, 42, 3 Freilich ist das Wort mehr poetisch und findet sich sonst bei Thuk. nicht, wohl aber bei Herodot u. spätern Geschichtschreibern. (Pr.) ἀπολύσειν. (Sch.) wieder gut machen

ἢ τότε ποιεῖν αὐτοὺς ὅ τι βούλονται. οἱ δὲ τὴν μὲν ζημίαν καὶ τὴν κατασκαφὴν ἐπέσχον, νόμον δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς οὔπω πρότερον ἐγένετο αὐτοῖς· δέκα γὰρ ἄνδρας Σπαρτιατῶν προσείλοντο αὐτῷ ξυμβούλους, ἄνευ ὧν μὴ κύριον
64 εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς πόλεως. ἐν τούτῳ δ' ἀφικνεῖται αὐτοῖς ἀγγελία παρὰ τῶν ἐπιτηδείων ἐκ Τεγέας ὅτι, εἰ μὴ παρέσονται ἐν τάχει, ἀποστήσεται αὐτῶν Τέγεα πρὸς Ἀργείους καὶ τοὺς ξυμμάχους καὶ ὅσον οὐκ ἀφέστηκεν. ἐνταῦθα δὴ βοήθεια τῶν Λακεδαιμονίων γίγνεται αὐτῶν τε καὶ τῶν Εἱλώτων πανδημεὶ ἐξεῖα καὶ οἷα οὔπω πρότερον. ἐχώ-
2 ρουν δὲ ἐς Ὀρέσθειον τῆς Μαινάλιας· καὶ τοῖς μὲν Ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις προεῖπον ἀθροισθεῖσιν ἰέναι κατὰ πόδας αὐτῶν ἐς Τέγεαν, αὐτοὶ δὲ μέχρι μὲν τοῦ Ὀρεσθείου πάντες ἐλθόντες, ἐκεῖθεν δὲ τὸ ἕκτον μέρος σφῶν αὐτῶν ἀποπέμψαντες ἐπ' οἴκου, ἐν ᾧ τὸ πρεσβύτερόν τε καὶ τὸ νεώτερον ἦν, ὥσιε τὰ οἴκοι φρουρεῖν, τῷ λοιπῷ στρατεύ-
3 ματι ἀφικνοῦνται ἐς Τέγεαν. καὶ οὐ πολλῷ ὕστερον οἱ ξύμμαχοι ἀπ' Ἀρκάδων παρῆσαν. πέμπουσι δὲ καὶ ἐς τὴν Κόρινθον καὶ Βοιωτοὺς καὶ Φωκέας καὶ Λοκρούς, βοηθεῖν κελεύοντες κατὰ τάχος ἐς Μαντίνειαν. ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγίγνετο καὶ οὐ ῥᾴδιον ἦν μὴ ἀθρόοις καὶ ἀλλήλους περιμείνασι διελθεῖν τὴν πολεμίαν· ξυνέκλῃε γὰρ διὰ
4 μέσου· ὅμως δὲ ἠπείγοντο. Λακεδαιμόνιοι δὲ ἀναλαβόντες τοὺς παρόντας Ἀρκάδων ξυμμάχους ἐσέβαλον ἐς τὴν Μαντινικήν, καὶ στρατοπεδευσάμενοι πρὸς τῷ Ἡραικλείῳ ἐδῄουν τὴν γῆν.

Schneider; ἀνάληψις 5, 65, 2. — ἦ. zu 1, 78, 3. — ποιεῖν. Gr. 65, 11 A. 9. — ἐπέσχον. zu 2, 76, 1. — τῷ παρόντι, τῷ τότε καιρῷ, ὅτε ὠργίζοντο. (Sch.) — πόλεως. πολεμίας Haase.

C. 64. § 1. Ὀρέσθειον für Ὀρέσιειον hier u. § 2 die beſten Hſn. Einen Oreſtheus als Gründer erwähnt Pauſ. 8, 3, 1. Doch leitet ſchon Eur. Or. 1647 den Ort vom Oreſtes ab.

§ 2. Ἀρκάδων, ἐκ τῶν Ἀ. (Sch.) vgl. Gr. 47, 9 A. 11. — κατὰ πόδας. zu 4, 126, 6. — αὐτῶν für αὐτῶν Bk.

§ 3. οἱ ξύμμαχοι. οἱ ξ. οἱ? vgl. § 2 A. u. 4. — ἐξ ὀλίγου, ἐξαίφνης. (Sch.) zu 5, 65, 5. — ἐγίγνετο, ἐλθεῖν. (Sch.) es, die Aufforderung, kam ihnen plötzlich. (Enenkel u. Hl.) Gr. 61, 5 A. 6. — μὴ — περιμεῖναι wofern ſie nicht verſammelt waren und einander erſt abgewartet hatten. (Ba.) — ξυνέκλῃε, ἀπέκλειε. (Sch.) Der Sinn iſt wohl: es lag, zuſammenhängend, ununterbrochen. — διὰ μέσου, ἐν μέσῳ οὖσα. (Sch.)

Οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ὡς εἶδον αὐτούς, κα- 65
ταλαβόντες χωρίον ἐρυμνὸν καὶ δυσπρόσοδον παρετάξαντο
ὡς ἐς μάχην. καὶ οἱ Λακεδαιμόνιοι εὐθὺς αὐτοῖς ἐπῆεσαν·
καὶ μέχρι μὲν λίθου καὶ ἀκοντίου βολῆς ἐχώρησαν, ἔπειτα 2
τῶν πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν, ὁρῶν πρὸς χωρίον
καρτερὸν ἰόντας σφᾶς, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι,
δηλῶν τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως τὴν παροῦσαν
ἄκαιρον προθυμίαν ἀνάληψιν βουλομένην εἶναι. ὁ δέ, εἴτε 3
καὶ διὰ τὸ ἐπιβόημα εἴτε καὶ αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτο
δόξαν ἐξαίφνης, πάλιν τὸ στράτευμα κατὰ τάχος πρὶν ξυμ-
μῖξαι ἀπῆγεν. καὶ ἀφικόμενος πρὸς τὴν Τεγεᾶτιν τὸ ὕδωρ
ἐξέτρεπεν ἐς τὴν Μαντινικήν, περὶ οὗπερ ὡς τὰ πολλὰ βλά-
πτοντος ὁποτέρωσε ἂν ἐσπίπτῃ Μαντινῆς καὶ Τεγεᾶται πολε-
μοῦσιν. ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου βοηθοῦντας ἐπὶ 4
τὴν τοῦ ὕδατος ἐκτροπήν, ἐπειδὰν πύθωνται, καταβιβάσαι
τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ἐν τῷ ὁμαλῷ τὴν
μάχην ποιεῖσθαι. καὶ ὁ μὲν τὴν ἡμέραν ταύτην μείνας αὐ- 5
τοῦ περὶ τὸ ὕδωρ ἐξέτρεπεν· οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι
τὸ μὲν πρῶτον καταπλαγέντες τῇ ἐξ ὀλίγου αἰφνιδίῳ αὐτῶν

C. 65. § 2. *σφᾶς.* Gr. 58, 4 A. 3. — *κακόν*, den Vertrag 5, 60, 1. Die Redensart iſt ſprüchwörtlich. Soph. b. Stob. 4, 37: *ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.* vgl. Lob. zu Soph. Aj. 362. — *ἐπαιτίου* zum Vorwurf gemacht. (Sch.) — *ἀνάληψιν, θεραπείαν, κατόρθωσιν.* (Sch.) vgl. zu 5, 63, 3.

§ 3. *εἴτε καὶ — εἴτε καὶ.* Gr. 69, 32 A. 13. — *αὐτῷ* von ſelbſt. Gr. 51, 6 A. 8. — *ἢ κατὰ τὸ αὐτό* verdächtigt Dobree. Der Sinn iſt wohl: als dem angefangenen Verfahren Gemäßes. Der Sch.: *ἤπερ τὸ αὐτό.* — *ἐξέτρεπεν, μετωχέτευεν.* (Sch.) — *τὰ πολλὰ* kann hier wegen *ὡς* nur mehrentheils heißen. Gr. 69, 63 A. 5. — *ὁποτέρωσε ἂν ἐκπίπτῃ, εἰς ὁποτέραν πόλιν ῥέῃ.* (Sch.) — *πολεμοῦσιν, ἀλλήλοις δηλονότι.* (Sch.)

§ 4. *ἐβούλετο — ξυμμάχους* er wollte die auf dem Hügel befindlichen, die Argeier und ihre Verbündeten, von dem Hügel, indem (wenn) ſie gegen die Ableitung des Waſſers, ſobald ſie davon vernommen, heranzögen, was er erwartete, herabzukommen nöthigen. (Ps.) Ueber *τοὺς ἀπό* Gr. 50, 8 A. 14. Doch könnte *τούς* auch nach der A. zu 3, 81, 3 erklärt werden. — *τοῦ λόφου* bezieht ſich auf das *χωρίον ἐρυμνόν* § 1. — *καταβιβάσαι, ἀντὶ τοῦ ἀνάγκην αὐτοῖς τοῦ καταβῆναι παρασχεῖν.* (Sch.) — *τοὺς Ἀργείους.* Gr. 58, 7 A.

§ 5. *ἐξέτρεπεν, τὸ ὕδωρ.* zu 1, 114, 2. — *ἐξ ὀλίγου* bei geringer Entfernung. vgl. § 1. (A. Ps.) — *αἰφνιδίῳ* fehlt in

6 ἀναχωρήσει οὐκ εἶχον ὅ τι εἰκάσωσιν· εἶτ' ἐπειδὴ ἀναχω-
ροῦντες ἐκεῖνοί τε ἀπέκρυψαν καὶ σφεῖς ἡσύχαζον καὶ οὐκ
ἐπηκολούθουν, ἐνταῦθα τοὺς ἑαυτῶν στρατηγοὺς αὖθις ἐν
αἰτίᾳ εἶχον, τό τε πρότερον καλῶς ληφθέντας πρὸς Ἄργει
Λακεδαιμονίους ἀφεθῆναι, καὶ νῦν ὅτι ἀποδιδράσκοντας οὐ-
δεὶς ἐπιδιώκει, ἀλλὰ καθ' ἡσυχίαν οἱ μὲν σώζονται σφεῖς
7 δὲ προδίδονται. οἱ δὲ στρατηγοὶ ἐθορυβήθησαν μὲν τὸ πα-
ραυτίκα, ὕστερον δὲ ἀπάγουσιν αὐτοὺς ἀπὸ τοῦ λόφου καὶ
προελθόντες ἐς τὸ ὁμαλὸν ἐστρατοπεδεύσαντο ὡς ἰόντες ἐπὶ
τοὺς πολεμίους.

66 Τῇ δ' ὑστεραίᾳ οἵ τε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετά-
ξαντο, ὡς ἔμελλον μαχεῖσθαι, ἢν περιτύχωσιν· οἵ τε Λακε-
δαιμόνιοι ἀπὸ τοῦ ὕδατος πρὸς τὸ Ἡράκλειον πάλιν ἐς τὸ
αὐτὸ στρατόπεδον ἰόντες ὁρῶσι δι' ὀλίγου τοὺς ἐναντίους ἐν
τάξει τε ἤδη πάντας καὶ ἀπὸ τοῦ λόφου προεληλυθότας. μά-
λιστα δὴ Λακεδαιμόνιοι, ἐς ὃ ἐμέμνηντο, ἐν τούτῳ τῷ καιρῷ
2 ἐξεπλάγησαν. διὰ βραχείας γὰρ μελλήσεως ἡ παρασκευὴ
αὐτοῖς ἐγίγνετο, καὶ εὐθὺς ὑπὸ σπουδῆς καθίσταντο ἐς κό-
σμον τὸν ἑαυτῶν, Ἄγιδος τοῦ βασιλέως ἕκαστα ἐξηγουμένου

---

einer Hs. Als Gloſſem zu ἐξ ὀλίγου verdächtigt es Dr. vgl. 2, 61, 2. 4, 108, 5. 5, 64, 3. 72, 1. — εἰκάσωσιν. Gr. 54, 7 A. 1.

§ 6. ἀπέκρυψαν, ἑαυτούς δηλονότι. ἰδίως δὲ ἐπὶ τῶν πλοϊζομένων καὶ οὐκέτι ὁρωμένων λέγεται. (Sch.) Zu ergänzen iſt vielmehr αὐτούς. Wie man nämlich von Schiffenden ſagt ἀποκρύψαι γῆν wenn ſie das Land nicht mehr ſehen können, ſo auch von Menſchen. Luc. wahre Geſch. p. 687: ἐφεύγομεν. ἐπεὶ δ' ἀπεκρύψαμεν αὐτούς, ἰώμεθα τοὺς τραυματίας. (Dr.) — σφεῖς, οἱ Ἀργεῖοι. (Sch.) für αὐτοί iſt außer der or. obl. ungewöhnlich (Pp.) Dieſer No. iſt überhaupt nicht ſo gar häufig. — ἐν αἰτίᾳ εἶχον, ἐμέμφοντο. (Sch.) zu 1, 35, 2. — καλῶς ληφθέντας, εὐκαίρως καὶ βεβαίως ἁπολημφθέντας. (Sch.) — ἀφεθῆναι. Gr. 50, 6 A. 6. — οἱ μέν, οἱ Λακεδαιμόνιοι. (Sch.) — σφεῖς, οἱ Ἀργεῖοι. (Sch.)

C. 66. § 1. περιτύχωσιν, τοῖς Λακεδαιμονίοις. (Sch.) — ὁρῶσι. Es wird wohl ὡς ὁρῶσι zu leſen und vor μάλιστα nur ein Komma zu ſetzen ſein, um die Rede angemeſſen zu machen. Denn μάλιστα δέ mit einigen Hſn. genügt nicht. (Kr.) Λακεδαιμόνιοι wiederholt iſt eben nicht anſtößig. — ἐς ὃ ἐμέμνηντο, μετὰ τὴν τῶν ἀνθρώπων μνήμην. (Sch.)

§ 2. διὰ βραχείας. Vorher vermiſſe ich den Gedanken: Hier aber zeigte ſich die Vortrefflichkeit ihrer militäriſchen Verfaſſung — ὑπὸ σπουδῆς, σπουδῇ, κατὰ σπουδήν, wie 3, 33, 3 8, 107, 1. (Pp.) — παρασκευή, ἐφόπλισις. (Sch.) — κόσμον, σύνταξιν. (Sch.) — τὸν ἑαυτῶν die bei ihnen gewöhnliche. (Hl.)

κατὰ τὸν νόμον. βασιλέως γὰρ ἄγοντος ὑπ' ἐκείνου πάντα
ἄρχεται, καὶ τοῖς μὲν πολεμάρχοις αὐτὸς φράζει τὸ δέον, οἱ 3
δὲ τοῖς λοχαγοῖς, ἐκεῖνοι δὲ τοῖς πεντηκοντῆρσιν, αὖθις
δ' οὗτοι τοῖς ἐνωμοτάρχαις καὶ οὗτοι τῇ ἐνωμοτίᾳ. καὶ αἱ
παραγγέλσεις, ἤν τι βούλωνται, κατὰ τὰ αὐτὰ χωροῦσι καὶ
ταχεῖαι ἐπέρχονται· σχεδὸν γάρ τι πᾶν πλὴν ὀλίγου τὸ στρα-
τόπεδον τῶν Λακεδαιμονίων ἄρχονιες ἀρχόντων εἰσί, καὶ τὸ
ἐπιμελὲς τοῦ δρωμένου πολλοῖς προσήκει. τότε δὲ κέρας 67
μὲν εὐώνυμον Σκιρῖται αὐτοῖς καθίσταντο, ἀεὶ ταύτην τὴν
τάξιν μόνοι Λακεδαιμονίων ἐπὶ σφῶν αὐτῶν ἔχοντες· παρὰ
δ' αὐτοῖς οἱ ἐπὶ Θρᾴκης Βρασίδειοι στρατιῶται καὶ νεοδα-
μώδεις μετ' αὐτῶν· ἔπειτ' ἤδη Λακεδαιμόνιοι αὐτοὶ ἑξῆς 2
καθίστασαν τοὺς λόχους καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἡραιῆς,
μετὰ δὲ τούτους Μαινάλιοι, καὶ ἐπὶ τῷ δεξιῷ κέρᾳ Τεγε-
ᾶται καὶ Λακεδαιμονίων ὀλίγοι, τὸ ἔσχατον ἔχοντες, καὶ οἱ
ἱππῆς αὐτῶν ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. Λακεδαιμόνιοι μὲν οὕ- 3
τως ἐτάξαντο· οἱ δ' ἐναντίοι αὐτοῖς δεξιὸν μὲν κέρας Μαν-
τινῆς εἶχον, ὅτι ἐν τῇ ἐκείνων τὸ ἔργον ἐγίγνετο, παρὰ δ' αὐ-
τοὺς οἱ ξύμμαχοι Ἀρκάδων ἦσαν, ἔπειτα Ἀργείων οἱ χίλιοι
λογάδες, οἷς ἡ πόλις ἐκ πολλοῦ ἄσκησιν τῶν ἐς τὸν πόλεμον

---

§ 3. *παραγγέλσεις.* Kr. zu Xen. An. 4, 1, 5. Unterſchieden ſind ſie hier von allgemeinen Verfügungen, *τὸ δέον* § 2. — *κατὰ τὰ αὐτά* in derſelben Reihenfolge, vom Könige an die Polemarchen ꝛc. (Bs.) — *ὀλίγου* eines geringen Theiles. — *τὸ ἐπιμελὲς τοῦ δρωμένου, ἡ ἐπιμέλεια τῶν γινομένων.* (Sch.)

C. 67. § 1. *κέρας εὐώνυμον* als linker Flügel. (Pp.) — *μόνοι Λ.* allein unter den L. (Bs.) — *ἐπὶ σφῶν αὐτῶν.* Gr. 68, 40 A. 6. — *οἱ ἐπὶ Θρᾴκης* die in Thrake geweſenen. Erwarten würde man *οἱ ἀπὸ Θ.*, wie Haaſe leſen will. vgl. 5, 34, 1. 35, 5. Allein der Ausdruck war den Truppen geblieben auch als er nicht mehr paßte. vgl. zu 1, 89, 1.

§ 3. *Μαντινῆς.* Gr. 57, 8 A. 6. — *παρά.* Gr. 68, 36 A. 1. — *οἱ ξύμμαχοι Ἀρκάδων* ihre Verbündeten aus Arkadien. (Pp.) Gr. 47, 9 u. über die Sache 5, 81, 1. — *ἄσκησιν παρεῖχε, ἤσκει αὐτούς, ἤ, ὥς τινες, ἐξουσίαν παρεῖχε τοῦ ἀσκεῖν αὐτούς.* (Sch.) Plut. Pel. 18: *οἷς ἡ πόλις ἄσκησιν καὶ δίαιταν ἐν τῇ Καδμείᾳ στρατοπεδευομένοις παρεῖχεν.* vgl. Diod. 12, 75: *ἀπολύσαντες αὐτοὺς καὶ τῆς ἄλλης λειτουργίας καὶ τροφὰς δημοσίας χορηγοῦντες προσέταξαν γυμνάζεσθαι συνεχεῖς μελέτας.* (Sintenis zu Plut. Them. p. LXVIII.) — *τῶν ἐς τὸν πόλεμον, τῶν πολεμικῶν.* (Sch.)

δημοσίᾳ παρεῖχεν, καὶ ἐχόμενοι αὐτῶν οἱ ἄλλοι Ἀργεῖοι, καὶ μετ' αὐτοὺς οἱ ξύμμαχοι αὐτῶν, Κλεωναῖοι καὶ Ὀρνεᾶται, ἔπειτα Ἀθηναῖοι ἔσχατοι τὸ εὐώνυμον κέρας ἔχοντες καὶ ἱππῆς μετ' αὐτῶν οἱ οἰκεῖοι.

68 Τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων ἦν, τὸ δὲ στρατόπεδον τῶν Λακεδαιμονίων μεῖζον ἐφάνη. ἀριθμὸν δὲ γράψαι, ἢ καθ' ἑκάστους ἑκατέρων ἢ ξύμπαντας, οὐκ ἂν ἐδυνάμην ἀκριβῶς· τὸ μὲν γὰρ Λακεδαιμονίων πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ἠγνοεῖτο, τῶν δ' αὖ διὰ τὸ ἀνθρώ-
2 πειον κομπῶδες ἐς τὰ οἰκεῖα πλήθη ἠπιστεῖτο. ἐκ μέντοι τοιοῦδε λογισμοῦ ἔξεστί τῳ σκοπεῖν τὸ Λακεδαιμονίων τότε παραγενόμενον πλῆθος. λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ ἄνευ Σκιριτῶν, ὄντων ἑξακοσίων, ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν τέσσαρες καὶ ἐν τῇ πεντηκοστύϊ ἐνωμοτίαι τέσ-
3 σαρες, τῆς τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ τέσσαρες· ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως, ἀλλ' ὡς λοχαγὸς ἕκαστος ἐβούλετο, ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ ὀκτώ. παρὰ δὲ ἅπαν πλὴν Σκιριτῶν τετρακόσιοι καὶ δυοῖν δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν.

69 Ἐπεὶ δὲ ξυνιέναι ἔμελλον ἤδη, ἐνταῦθα καὶ παραινέσεις καθ' ἑκάστους ὑπὸ τῶν οἰκείων στρατηγῶν τοιαῖδε ἐγίγνοντο, Μαντινεῦσι μὲν ὅτι ὑπέρ τε πατρίδος ἡ μάχη ἔσται καὶ ὑπὲρ ἀρχῆς ἅμα καὶ δουλείας, τὴν μὲν μὴ πειρασαμένοις ἀφαιρε-

---

C. 68. § 1. *καθ' ἑκάστους ἑκατέρων* nach den einzelnen Völkerschaften beider Theile, von jeder besonders. — *ἂν ἐδυνάμην, εἰ ἐπεχείρουν.* Gr. 54, 3 A. 10. Auch ohne *ἄν* hätte er *ἐδυνάμην*, nicht *δύναμαι* gesagt. zu *ξυνέγραψε* 1, 1, 1. — *κομπῶδες.* vgl. 6, 17, 4. Das seltene Wort kann Bl. nur aus Spätern nachweisen. — *πλήθη* verdächtigt Kr. Denn nicht bloß auf die Masse erstreckt sich die Prahlerei. Dann ist *πλῆθος* aus dem Vorigen zu ergänzen.

§ 3. *ζυγῷ, τάξει.* (Sch.) in der Front. — *ἐπὶ πᾶν.* zu 2, 51, 1. — *ἐπὶ ὀκτώ* acht Mann hoch. Gr. 68, 40 A. 6. — *παρὰ ἅπαν* die ganze Front hin. vgl. 4, 35, 2. — *ἄνδρες.* Gr. 60, 2 A. 2.

C. 69. § 1. *τὴν μέν, τὴν ἀρχήν.* (Sch.) — *μὴ πειρασαμένοις ἀφαιρεθῆναι, μὴ ἀφαιρεθῆναι πειρασαμένοις.* (Sch.) Es gehört also *μή* bloß zu *ἀφαιρεθῆναι*, wobei es freilich eig. nach *πειρασαμένοις* stehen sollte. Gr. 60, 8 A. 4. Der Dativ steht in Bezug auf

θῆναι, τῆς δὲ μὴ αὖθις πειρᾶσθαι· Ἀργείοις δὲ ὑπὲρ τῆς 2
τε παλαιᾶς ἡγεμονίας καὶ τῆς ἐν Πελοποννήσῳ ποτὲ ἰσομοι-
ρίας μὴ διὰ παντὸς στερισκομένους ἀνέχεσθαι, καὶ ἄνδρας
ἅμα ἐχθροὺς καὶ ἀστυγείτονας ὑπὲρ πολλῶν ἀδικημάτων
ἀμύνασθαι· τοῖς δὲ Ἀθηναίοις καλὸν εἶναι μετὰ πολλῶν
καὶ ἀγαθῶν ξυμμάχων ἀγωνιζομένους μηδενὸς λείπεσθαι,
καὶ ὅτι ἐν Πελοποννήσῳ Λακεδαιμονίους νικήσαντες τήν τε
ἀρχὴν βεβαιοτέραν καὶ μείζω ἕξουσιν, καὶ οὐ μή ποτέ τις
αὐτοῖς ἄλλος ἐς τὴν γῆν ἔλθῃ. τοῖς μὲν Ἀργείοις καὶ ξυμ- 3
μάχοις τοιαῦτα παρῃνέθη, Λακεδαιμόνιοι δὲ καθ' ἑκάστους
τε καὶ μετὰ τῶν πολεμικῶν νόμων ἐν σφίσιν αὐτοῖς ὧν ἠπί-
σταντο τὴν παρακέλευσιν τῆς μνήμης ἀγαθοῖς οὖσιν ἐποιοῦντο,
εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σώζουσαν ἢ λόγων
δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραινεσιν. καὶ μετὰ ταῦτα ἡ 70
ξύνοδος ἦν, Ἀργεῖοι μὲν καὶ οἱ ξύμμαχοι ἐντόνως καὶ ὀργῇ
χωροῦντες, Λακεδαιμόνιοι δὲ βραδέως καὶ ὑπὸ αὐλητῶν
πολλῶν νόμῳ ἐγκαθεστώτων, οὐ τοῦ θείου χάριν, ἀλλ' ἵνα

---

ein bei ἔσται zu denkendes αὐτοῖς. Ueber den Inf. hier u. ἀνέχεσθαι § 2 Gr. 61, 6 A. 9.

§ 2. ἡγεμονίας, unter den Peloviden. Her. 7, 148 f. vgl. Diod. 12, 75. (Hk.) — ἰσομοιρία mit den Lakedämoniern, nach der Einwanderung der Herakliden und Dorier. — οὐ μὴ ἔλθῃ. Gr. 53, 7 A. 6. Der Satz ist wie ein frei stehender ausgedrückt, für den ὅτι nur als Anführungszeichen gilt.

§ 3. Λακεδαιμόνιοι δέ. Ich vermisse καὶ οἱ ξύμμαχοι, ohne welches auch der Gegensatz καθ' ἑκάστους τε καὶ ἐν σφίσιν αὐτοῖς keine rechte Beziehung hat. — νόμων. νόμους πολεμικοὺς λέγει τὰ ᾄσματα ἅπερ ἤδον οἱ Λακεδαιμόνιοι μέλλοντες μάχεσθαι· ἦν δὲ προτρεπτικά. (Sch.) Aber doch nur zum Angriffe, von dem erst C. 70 gesprochen wird. Auch wäre zu Reden Musik ein schlechtgewähltes Accompagnement. Es wird also der Sinn sein: mit, nach den kriegerischen Bräuchen eines jeden Volkes. — ἐν σφίσιν ἠπίσταντο. Man construire: ἐν σφίσιν αὐτοῖς, ἀγαθοῖς οὖσιν, ἐποιοῦντο τὴν παρακέλευσιν τῆς μνήμης (d. h. τοῦ μεμνῆσθαι) ἐκείνων ὧν ἠπίσταντο (d. h. τῆς μελέτης αὐτῶν). (Dobree u. Py.) Ich zweifele ob die Stelle unverfälscht sei. Vielleicht schrieb Thuk. ἀγαθοῖς ἀγαθὴν οὖσαν, wobei παρακέλευσιν auch zu ἐποιοῦντο zu denken: von dem wovon sie wußten, daß die Ermahnung zur Erinnerung daran, dessen eingedenk zu sein, Tapferen dienlich sei, machten sie dieselbe, sprachen sie aus. (Kr.) — εἰδότες. Den Gedanken erläutert Xen. Cyr. 3, 3, 50 ff. (Bl.)

C. 70. χωροῦντες. Gr. 56, 9 A. 4. — ἐντόνως, ἰσχυρῶς. (Sch.) Xen. Hell. 2, 4, 23: ἐντόνως ἔλεγον. — νόμῳ. νόμου die besten

ὁμαλῶς μετὰ ῥυθμοῦ βαίνοντες προέλθοιεν καὶ μὴ διασπασθείη αὐτοῖς ἡ τάξις, ὅπερ φιλεῖ τὰ μεγάλα στρατόπεδα ἐν ταῖς προσόδοις ποιεῖν.

71 Ξυνιόντων δ' ἔτι Ἄγις ὁ βασιλεὺς τοιόνδε ἐβουλεύσατο δρᾶσαι. τὰ στρατόπεδα ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο· ἐπὶ τὰ δεξιὰ κέρατα αὐτῶν ἐν ταῖς ξυνόδοις μᾶλλον ἐξωθεῖται, καὶ περίσχουσι κατὰ τὸ τῶν ἐναντίων εὐώνυμον ἀμφότεροι τῷ δεξιῷ, διὰ τὸ φοβουμένους προστέλλειν τὰ γυμνὰ ἕκασιον ὡς μάλιστα τῇ τοῦ ἐν δεξιᾷ παρατειαγμένου ἀσπίδι καὶ νομίζειν τὴν πυκνότητα τῆς ξυγκλήσεως εὐσκεπαστότατον εἶναι·
2 καὶ ἡγεῖται μὲν τῆς αἰτίας ταύτης ὁ πρωτοστάτης τοῦ δεξιοῦ κέρως, προθυμούμενος ἐξαλλάττειν ἀεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν, ἕπονται δὲ διὰ τὸν αὐτὸν φόβον καὶ οἱ ἄλλοι. καὶ τότε περιέσχον μὲν οἱ Μαντινῆς πολὺ τῷ κέρᾳ τῶν Σκιριτῶν, ἔτι δὲ πλέον οἱ Λακεδαιμόνιοι καὶ Τεγεᾶται
3 τῶν Ἀθηναίων, ὅσῳ μεῖζον τὸ στράτευμα εἶχον. δείσας δὲ

Hsn., ὁμοῦ einige; *νόμου* wohl durch die falsche Erklärung von *νόμων* 69, 3 veranlaßt; *νόμῳ* ist zu *ἐγκαθεστώτων* nicht wohl entbehrlich. — *τοῦ θείου χάριν* des religiösen Cultus halber. (Bs.) vgl. Gell. 1, 11. (Hudson.) — *ὁμαλῶς, ῥεμαίως.* (Sch.) gleichmäßig. Kr. zu Xen. An. 1, 8, 14. — *ποιεῖν* thun, leiden. vgl. 5, 71, 1. u. Ar. Plut. 1204: *καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία αὐταὶ ποιοῦσιν.* (Dr.)

C. 71. § 1. *ποιεῖ μέν.* Es entspricht *καὶ τότε* § 2. (Ba.) zu 5, 1, 1. — *αὖτῶν* für *αὐτῶν* Ba. Gr. 47, 9 A. 18 u. 50, 9 A. 8. Doch ist mir *κέρατα* verdächtig, da eig. nur rechtshin zu sagen und der Plu. ungehörig ist. Auch 4, 43, 3 ist *κέρᾳ* entbehrlich: ein Wort das oft als Glossem beigeschrieben ist. — *ἐξωθεῖται* steht zu *ποιεῖ* epexegetisch. Gr. 59, 1 A. 5. — *προστέλλειν* vorschieben. — *ξυγκλήσεως.* Ael. Takt. 11: *τεταγμένος ὁ ἀνὴρ κατέχει πήχεις τέσσαρας, πεπυκνωμένος δὲ κατέχει πήχεις δύο, συνησπικὼς δὲ κατέχει πῆχυν. ὁ δὲ συνασπισμὸς γίνεται πρὸς τὸ τὴν πολεμίων ἔμοδον πεφραγμένως ὑποστῆναι.* — *εὐσκεπαστότερον* las vielleicht der Sch., hinzufügend *ἤπερ τὸ διεστάναι ἀπ' ἀλλήλων.*

§ 2. *ἡγεῖται τῆς αἰτίας ταύτης* der erste Veranlasser dazu ist. — *πρωτοστάτης* Flügelmann. (Hl.) Poll. 1, 127. (Hudson.) Sonst der vorderste einer Reihe. Arr. Takt. p. 20. — *ἐξαλλάττειν — γύμνωσιν, μὴ κατὰ δόρυ τοῦ ἐναντίου ἔχειν τὰ γυμνὰ τοῦ σώματος.* (Sch.) Seine Blöße den Feinden zu entziehen. vgl. zu Eur. Phö. 1415. Mit *ττ* haben das Wort alle Hsn. — *περιέσχον τῶν Σ.* überflügeln die S. vgl. § 3. 3, 108, 1. 5, 73, 1. 8, 104, 3. — *τῷ κέρᾳ* mit ihrem Flügel. Kr. zu Xen. An. 1, 8, 4.

Ἄγις μὴ σφῶν κυκλωθῇ τὸ εὐώνυμον καὶ νομίσας ἄγαν περιέχειν τοὺς Μαντινέας τοῖς μὲν Σκιρίταις καὶ Βρασιδείοις ἐσήμηνεν ἐπεξαγαγόντας ἀπὸ σφῶν ἐξισῶσαι τοῖς Μαντινεῦσιν, ἐς δὲ τὸ διάκενον τοῦτο παρήγγελλεν ἀπὸ τοῦ δεξιοῦ κέρως δύο λόχους τῶν πολεμάρχων Ἱπποκλεῖ ἔχουσι παρελθεῖν καὶ ἐσβαλόντας πληρῶσαι, νομίζων τῷ θ' ἑαυτῶν δεξιῷ ἔτι περιουσίαν ἔσεσθαι καὶ τὸ κατὰ τοὺς Μαντινέας βεβαιότερον τετάξεσθαι. ξυνέβη οὖν αὐτῷ, 72
ἅτε ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου παραγγείλαντι, τόν τε Ἀριστοκλέα καὶ τὸν Ἱπποκλέα μὴ θελῆσαι παρελθεῖν, ἀλλὰ καὶ διὰ τοῦτο τὸ αἰτίαμα ὕστερον φεύγειν ἐκ Σπάρτης, δόξαντας μαλακισθῆναι, καὶ τοὺς πολεμίους φθάσαι τῇ προσμίξει, καὶ κελεύσαντος αὐτοῦ ἐπὶ τοὺς Σκιρίτας, ὡς οὐ παρῆλθον οἱ λόχοι, πάλιν αὖ σφίσι προσμῖξαι μὴ δυνηθῆναι ἔτι μηδὲ τούτους ξυγκλῆσαι. ἀλλὰ μάλιστα δὴ κατὰ πάντα 2
τῇ ἐμπειρίᾳ Λακεδαιμόνιοι ἐλασσωθέντες τότε τῇ ἀνδρίᾳ

---

§ 3. *σφῶν.* zu 1, 25, 2. — *ἐπεξαγαγόντες. ἐπ* — gegen die Feinde (Ba.), die Mantineer, *ἐξ* — aus ihrer vermaligen Stellung. vgl. 2, 21, 3. 7, 52, 2. *ἐπεξαγωγὴ τοῦ κέρως* 8, 105, 3. — *ἐξισῶσαι, τὸ εὐώνυμον.* Pp. nimmt es intransitiv wie 6, 87, 5. — *τὸ διάκενον, τὸ ἐν μέσῳ κενόν.* (Sch.) vgl. 72, 2 u. 4, 135, 1. — *λόχους ἔχουσι.* zu 3, 26, 1. — *τῶν πολεμάρχων* hängt von den Eigennamen ab. Gr. 47, 9 A. 1. — *πληρῶσαι, τὸ διάκενον δηλονότι.* (Sch.) — *ἐσβαλόντας* eingerückt. — *βεβαιότερον τετάξεσθαι, ἐν ἀσφαλείᾳ ἔσεσθαι, ὡς ἂν μὴ δυνάμενον κυκλωθῆναι.* (Sch.)

C. 72. § 1. *ἀλλὰ — μαλακισθῆναι* eine beiläufig erwähnte Thatsache aus späterer Zeit, dem Gedanken nach parenthetisch, der Construction nach an *ξυνέβη* (ohne *αὐτῷ*) angefügt. (Ba.) — *αὐτοῦ, τοῦ Ἄγιδος.* (Sch.) — *ἐπὶ τοὺς Σκιρίτας* kann der Stellung nach füglich nur mit *κελεύσαντος* verbunden werden (Gr. 62, 3 A. 2): und als die beiden Lochen, nachdem er sie an die Stelle der Skiriten beordert hatte, nicht hinkamen, geschah es daß sie wiederum zu ihnen, denen um den Agis (Gr. 58, 4 A. 3), zu stoßen nicht mehr vermochten und diese nicht zusammenschlossen. Anders Pp., der nach *αὐτοῦ* mit Ba. und vor *μή* interpungirt: und als er, da jene Lochen nicht zu den Skiriten kamen, diesen, den Skiriten, befahl wieder an sie, die um den Agis, heranzurücken, geschah es daß auch diese nicht wieder sich anschlossen. — *τούτους*, die Skiriten. (Pp.) — *ξυγκλῆσαι* intransitiv, wiewohl etwas verschieden auch 4, 35, 1. (Pp.)

§ 2. *τῇ ἐμπειρίᾳ* an Erfahrung, weil sie *πανδημεί* zugleich mit den Heloten ausgezogen waren 5, 64, 1, Brasidas wenigstens vor der Schlacht bei Amphipolis auf seine Truppen nicht besonders gerechnet

ἔδειξαν οὐχ ἧσσον περιγενόμενοι. ἐπειδὴ γὰρ ἐν χερσὶν ἐγίγνοντο τοῖς ἐναντίοις, τὸ μὲν τῶν Μαντινέων δεξιὸν τρέπει αὐτῶν τοὺς Σκιρίτας καὶ τοὺς Βρασιδείους, καὶ ἐσπεσόντες οἱ Μαντινῆς καὶ οἱ ξύμμαχοι αὐτῶν καὶ τῶν Ἀργείων οἱ χίλιοι λογάδες κατὰ τὸ διάκενον καὶ οὐ ξυγκλῃσθὲν τοὺς Λακεδαιμονίους διέφθειρον καὶ κυκλωσάμενοι ἔτρεψαν καὶ ἐξέωσαν ἐς τὰς ἁμάξας καὶ τῶν πρεσβυτέρων
3 τῶν ἐπιτεταγμένων ἀπέκτειναν τινας. καὶ ταύτῃ μὲν ἡσσῶντο οἱ Λακεδαιμόνιοι· τῷ δ' ἄλλῳ στρατοπέδῳ, καὶ μάλιστα τῷ μέσῳ, ἦπερ ὁ βασιλεὺς Ἄγις ἦν καὶ περὶ αὐτὸν οἱ τριακόσιοι ἱππῆς καλούμενοι, προσπεσόντες τῶν τε Ἀργείων τοῖς πρεσβυτέροις καὶ πέντε λόχοις ὠνομασμένοις καὶ Κλεωναίοις καὶ Ὀρνεάταις καὶ Ἀθηναίων τοῖς παρατεταγμένοις ἔτρεψαν οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς ὑπομείναντας, ἀλλ' ὡς ἐπήεσαν οἱ Λακεδαιμόνιοι, εὐθὺς ἐνδόντας καὶ ἔστιν οὓς
73 καὶ καταπατηθέντας τοῦ μὴ φθῆναι τὴν ἐγκατάληψιν. ὡς δὲ ταύτῃ ἐνεδεδώκει τὸ τῶν Ἀργείων καὶ ξυμμάχων στράτευμα, παρερρήγνυντο ἤδη ἅμα καὶ ἐφ' ἑκάτερα, καὶ ἅμα τὸ δεξιὸν τῶν Λακεδαιμονίων καὶ Τεγεατῶν ἐκυκλοῦτο τῷ περιέχοντι σφῶν τοὺς Ἀθηναίους καὶ ἀμφοτέρωθεν αὐτοὺς κίνδυνος περιειστήκει, τῇ μὲν κυκλουμένους τῇ δὲ ἤδη ἡσσημένους.
2 καὶ μάλιστ' ἂν τοῦ στρατεύματος ἐταλαιπώρησαν, εἰ μὴ οἱ ἱππῆς παρόντες αὐτοῖς ὠφέλιμοι ἦσαν. καὶ ξυνέβη τὸν Ἄγιν, ὡς ἤσθετο τὸ εὐώνυμον σφῶν πονοῦν τὸ κατὰ τοὺς Μαντι-

---

hatte 5, 8, 1, während die Feinde erlesene Truppen besaßen. vgl. 5, 67, 3. (Hk.) Unzureichend; ich vermuthe *ἀπορίᾳ*. (Kr.) — *ἔδειξαν περιγενόμενοι*. Gr. 56, 7 A. 5. — *αὐτῶν*. zu 4, 126, 3. — *οἱ χ. λογάδες* 5, 67, 3.

§ 3. *ἱππῆς*. *οἱ ἱππῆς* Kr. — *καλούμενοι*. Denn sie waren nur Ritter, nicht beritten nach Strabo 10 p. 481. (Larcher.) vgl. Hermann die gr. Staatsalterth. § 29. (Pp.) — *πέντε λόχοις*. Sonst *Πεντελόχοις*, auch der Sch. — *ἐς* für *εἰς* Hk. — *ἐς χεῖρας ὑπομείναντας*, wie *ἐς χεῖρας δέχεσθαι* Xen. Hell. 2, 4, 34, An. 4, 3, 31, Arr. An. 1, 5, 7 u. *ἐς χεῖρας συμμῖξαι* derf. öfter. (Pp.) — *καταπατηθέντας* — zertreten über der gar zu großen Eilfertigkeit vom Feinde nicht erreicht zu werden. (Hl.)

C. 73. § 1. *σφῶν* auf das collective *τὸ δεξιόν* bezogen: mit dem überflügelnden Theile von sich. Gr. 58, 4 A. 1. — *παρερρήγνυντο ἐφ' ἑκάτερα* an beiden Seiten wurden sie abgesprengt von der Hauptlinie. vgl. zu 4, 96, 4.

§ 2. *σφῶν*. Gr. 58, 4 A. 3. vgl. § 3.

νέας καὶ τῶν Ἀργείων τοὺς χιλίους, παραγγεῖλαι παντὶ τῷ στρατεύματι χωρῆσαι ἐπὶ τὸ νικώμενον. καὶ γενομένου τού- 3
του οἱ μὲν Ἀθηναῖοι ἐν τούτῳ, ὡς παρῆλθε καὶ ἐξέκλινεν ἀπὸ σφῶν τὸ στράτευμα, καθ' ἡσυχίαν ἐσώθησαν καὶ τῶν Ἀργείων μετ' αὐτῶν τὸ ἡσσηθέν· οἱ δὲ Μαντινῆς καὶ οἱ 4
ξύμμαχοι καὶ τῶν Ἀργείων οἱ λογάδες οὐκέτι πρὸς τὸ ἐγκεῖσθαι τοῖς ἐναντίοις τὴν γνώμην εἶχον, ἀλλ' ὁρῶντες τούς τε σφετέρους νενικημένους καὶ τοὺς Λακεδαιμονίους ἐπιφερομένους ἐς φυγὴν ἐτράποντο. καὶ τῶν μὲν Μαντινέων καὶ 5
πλείους διεφθάρησαν, τῶν δὲ Ἀργείων λογάδων τὸ πολὺ ἐσώθη. ἡ μέντοι φυγὴ καὶ ἀποχώρησις οὐ βίαιος οὐδὲ μακρὰ ἦν· οἱ γὰρ Λακεδαιμόνιοι μέχρι μὲν τοῦ τρέψαι χρονίους τὰς μάχας καὶ βεβαίους τῷ μένειν ποιοῦνται, τρέψαντες δὲ βραχείας καὶ οὐκ ἐπὶ πολὺ τὰς διώξεις.

Καὶ ἡ μὲν μάχη τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων ἐγέ- 74
νετο πλείστου δὴ χρόνου μεγίστη [δὴ] τῶν Ἑλληνικῶν καὶ ὑπὸ ἀξιολογωτάτων πόλεων ξυνελθοῦσα. οἱ δὲ Λακεδαιμόνιοι προθέμενοι τῶν πολεμίων νεκρῶν τὰ ὅπλα τροπαῖον εὐθὺς ἵστασαν καὶ τοὺς νεκροὺς ἐσκύλευον καὶ τοὺς αὑτῶν ἀνείλοντο καὶ ἀπήγαγον ἐς Τέγεαν, οὗπερ ἐτάφησαν, καὶ τοὺς τῶν πολεμίων ὑποσπόνδους ἀπέδοσαν. ἀπέθανον δὲ 2
Ἀργείων μὲν καὶ Ὀρνεατῶν καὶ Κλεωναίων ἑπτακόσιοι, Μαντινέων δὲ διακόσιοι, καὶ Ἀθηναίων ξὺν Αἰγινήταις διακόσιοι καὶ οἱ στρατηγοὶ ἀμφότεροι. Λακεδαιμονίων δὲ οἱ μὲν ξύμμαχοι οὐκ ἐταλαιπώρησαν ὥστε καὶ ἀξιόλογόν τι ἀπογενέσθαι· αὐτῶν δὲ χαλεπὸν μὲν ἦν τὴν ἀλήθειαν πυθέσθαι, ἐλέγοντο δὲ περὶ τριακοσίους ἀποθανεῖν.

---

§ 5. *καὶ πλείους.* *οἱ πλείους* einige ſchlechte Hſn. — *βίαιος.* zu 2, 33, 3.

C 74. § 1. *πλείστη δή* für *πλείστου δέ* die beſten Hſn; das folgende *δή* verdächtigt dabei Bk.; allein es findet ſich öfter zweimal in demſelben Satze. Herm. zu Soph. El. 1059 u. Bornemann zu Xen. An. 5, 4, 25. (Pp.) — *χρόνου.* Gr. 47, 2 A. 2. — *ὑπό.* *ἀπό* Kr. — *ξυνελθοῦσα* dem Ausdrucke nach auf *μάχη*, dem Begriffe nach auf die Truppen bezogen. (Ds.) — *τῶν νεκρῶν* läßt Haaſe von *προ* — abhängen, unter *τὰ ὅπλα* die der Lakedämonier denkend; der Sache und der Stellung nach nicht wahrſcheinlich. Ausſtellung der erbeuteten Waffen war ſehr natürlich, wenn auch ſonſtwo nichts davon erwähnt wird.

§ 2. *οὐκ ἐταλαιπώρησαν, οὐ κακῶς ἔσχον ἐν τῷ πολέμῳ.* (Sch.) Der Ausdruck iſt ſehr befremdend. — *ἀπογενέσθαι.* zu 2, 34, 1.

75 Τῆς δὲ μάχης μελλούσης ἔσεσθαι καὶ Πλειστοάναξ ὁ ἕτερος βασιλεὺς ἔχων τούς τε πρεσβυτέρους καὶ νεωτέρους ἐβοήθησεν, καὶ μέχρι μὲν Τεγέας ἀφίκετο, πυθόμενος δὲ τὴν νίκην ἀπεχώρησεν. καὶ τοὺς ἀπὸ Κορίνθου καὶ ἔξω Ἰσθμοῦ
2 ξυμμάχους ἀπέστρεψαν πέμψαντες οἱ Λακεδαιμόνιοι, καὶ αὐτοὶ ἀναχωρήσαντες καὶ τοὺς ξυμμάχους ἀφέντες, Κάρνεια γὰρ αὐτοῖς ἐτύγχανον ὄντα, τὴν ἑορτὴν ἦγον. καὶ τὴν ὑπὸ τῶν Ἑλλήνων τότε ἐπιφερομένην αἰτίαν ἔς τε μαλακίαν διὰ τὴν ἐν τῇ νήσῳ ξυμφορὰν καὶ ἐς τὴν ἄλλην ἀβουλίαν τε καὶ βραδυτῆτα ἑνὶ ἔργῳ τούτῳ ἀπελύσαντο, τύχῃ μέν, ὡς ἐδόκουν, κακιζόμενοι, γνώμῃ δὲ οἱ αὐτοὶ ἔτι ὄντες.
3 Τῇ δὲ προτέρᾳ ἡμέρᾳ ξυνέβη τῆς μάχης ταύτης καὶ τοὺς Ἐπιδαυρίους πανδημεὶ ἐσβαλεῖν ἐς τὴν Ἀργείαν ὡς ἐρῆμον οὖσαν καὶ τοὺς ὑπολοίπους φύλακας τῶν Ἀργείων ἐξελθόν-
4 των διαφθεῖραι πολλούς. καὶ Ἠλείων τρισχιλίων ὁπλιτῶν βοηθησάντων Μαντινεῦσιν ὕστερον τῆς μάχης καὶ Ἀθηναίων χιλίων πρὸς τοῖς προτέροις, ἐστράτευσαν ἅπαντες οἱ ξύμ-
μαχοι οὗτοι εὐθὺς ἐπὶ Ἐπίδαυρον, ἕως οἱ Λακεδαιμόνιοι
5 Κάρνεια ἦγον, καὶ διελόμενοι τὴν πόλιν περιετείχιζον. καὶ οἱ μὲν ἄλλοι ἐξεπαύσαντο, Ἀθηναῖοι δέ, ὥσπερ προσετάχθησαν, τὴν ἄκραν τὸ Ἡραῖον εὐθὺς ἐξειργάσαντο. καὶ ἐν τούτῳ ξυγκαταλιπόντες ἅπαντες τῷ τειχίσματι φρουρὰν ἀνεχώρησαν κατὰ πόλεις ἕκαστοι. καὶ τὸ θέρος ἐτελεύτα.

C. 75. § 1. *τούς τε πρεσβυτέρους καὶ νεωτέρους* die Agis 5, 64, 2 zurückgeschickt hatte. (Ds.) — *τοὺς ξυμμάχους* 5, 64, 3. (Ds.)

§ 2 *ἦγον, ἑώρταζον.* (Sch.) vgl. § 4. 4, 5, 1. 5, 76, 1. 82, 3. — *ὡς ἐδόκουν.* Gr. 55, 4 A. 3. — *ἐς* in Bezug auf. vgl. 8, 88, 1. (Dr.) Gr. 68, 21 A. 8. — *τῇ νήσῳ*, Sphakteria. — *κακίζεσθαι* scheint Thuk. nur für geschmäht werden gebraucht zu haben, wie 1, 105, 5. 2, 21, 3. (Pp.) Das ist hier doch wenig passend. Auch aus Platon weist Ast neben zwei Stellen mit dieser Bedeutung nur eine von der andern nach, Menex. 247, c.

§ 3. *προτέρᾳ* für *προτεραίᾳ* die besten Hss. So Ho. Il. *φ*, 5, Od. *π*, 50, Aristot. Polit. 5, 10, 2, Poll. 1, 65. (St.) — *τῆς μάχης.* Gr. 47, 27 A. 9 zweite Ausg. u. Xen. An. 6, 2, 9. — *ἐρῆμον, τοῦ στρατεύματος.* (Sch.) — *ἐξελθόντων αὐτῶν διαφθεῖραι* eine Anzahl zum Theil guter Hss.; *τῶν Ἀργείων* ist dann mit *φύλακας* zu verbinden. — *πολλούς. τοὺς πολλούς* möchte man erwarten. Allein es ist aufzulösen: *πολλοὶ ἦσαν οἱ φύλακες οὓς διέφθειραν.* Gr. 50, 11 A. 1.

§ 5. *ἐξεπαύσαντο, ἀπέκαμον.* (Sch.) — *τὴν ἄκραν τὸ Ἡραῖον.* Gr. 50, 7 A. 2.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἀρχομένου εὐθὺς οἱ 76
Λακεδαιμόνιοι, ἐπειδὴ τὰ Κάρνεια ἦγαγον, ἐξεστράτευσαν, καὶ ἀφικόμενοι ἐς Τέγεαν λόγους προὔπεμπον ἐς τὸ Ἄργος ξυμβατηρίους. ἦσαν δὲ αὐτοῖς πρότερόν τε ἄνδρες ἐπιτήδειοι καὶ βουλόμενοι τὸν δῆμον τὸν ἐν Ἄργει καταλῦσαι καὶ ἐπειδὴ ἡ μάχη ἐγεγένητο, πολλῷ μᾶλλον ἐδύναντο πείθειν τοὺς πολλοὺς ἐς τὴν ὁμολογίαν. ἐβούλοντο δὲ πρῶτον σπονδὰς 2
ποιήσαντες πρὸς τοὺς Λακεδαιμονίους αὖθις ὕστερον καὶ ξυμμαχίαν, καὶ οὕτως ἤδη τῷ δήμῳ ἐπιτίθεσθαι. καὶ ἀφικνεῖται πρόξενος ὢν Ἀργείων Λίχας ὁ Ἀρχεσιλάου παρὰ τῶν Λακεδαιμονίων δύο λόγω φέρων ἐς τὸ Ἄργος, τὸν μὲν καθ' ὅ τι εἰ βούλονται πολεμεῖν, τὸν δ' ὡς εἰ εἰρήνην ἄγειν. καὶ γενομένης πολλῆς ἀντιλογίας, ἔτυχε γὰρ καὶ ὁ Ἀλκιβι- 3
άδης παρών, οἱ ἄνδρες οἱ τοῖς Λακεδαιμονίοις πράσσοντες, ἤδη καὶ ἐκ τοῦ φανεροῦ τολμῶντες, ἔπεισαν τοὺς Ἀργείους προσδέξασθαι τὸν ξυμβατήριον λόγον. ἔστι δὲ ὅδε.

"Καττάδε δοκεῖ τᾷ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων ξυμ- 77
βαλέσθαι ποττὼς Ἀργείως, ἀποδιδόντας τὼς παῖδας τοῖς Ὀρχομενίοις καὶ τὼς ἄνδρας τοῖς Μαινάλιοις, καὶ τὼς ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακεδαιμονίοις ἀποδιδόντας,

---

C. 76. § 1. ξυμβατήριος, auch § 3, findet sich wohl erst bei Spätern wieder. — τὸν δῆμον, τὴν δημοκρατίαν. (Sch.) vgl. 3 81, 3. 5, 81, 2. 8, 54, 3. 65, 1. 68, 1. 4 u. zu 1, 107, 3; daneben auch in dieser Verbindung δημοκρατία 8, 63, 2. — πρότερόν τε. Dem τέ entspricht καὶ vor ἐπειδή. — καὶ βουλόμενοι. οἱ βουλόμενοι Kr.

§ 2. ποιήσαντες. Gr. 52, 8 A. 1. vgl. 2, 29, 4 u. Elmsley zu Ar. Ach. 58. — ξυμμαχίαν erg. ποιεῖν oder καί vor οὕτως ist pleonastisch. (Ba.) Letzteres wird bei einem attischen Prosaiker, zumal so, nicht statthaft sein; ersteres ist nicht hart, da auch bloß ξυμμαχίαν ἐβούλοντο gesagt werden konnte. — λόγω Aufträge, Erklärungen. — καθ' ὅ τι erg. ἔσται, wie auch zu ὡς. (Hk.) Dobree will beide εἰ tilgen. Wir sprächen wohl ohne Ergänzung mit ähnlicher Kürze: den einen (das) wie, wenn ꝛc.

§ 3. τολμῶντες. zu 2, 43, 1. vgl. 6, 56, 3. (Pp.)

C. 77. § 1. ἐκκλησίᾳ, ἁλίᾳ vermuthet Arndt de dial. dor. p. 480. — καττάδε, Δωριστὶ ἀντὶ τοῦ κατὰ τάδε. (Sch.) Gr. B. 2. § 8, 3 A. 9. — ξυμβαλέσθαι sich zu vergleichen, pacisci Ba. vgl. § 4. Eine sehr seltene Bedeutung. (Bl.) — ποττώς, πρὸς τούς. — παῖδας Kinder übersetzt man. vgl. 61, 3. Vielleicht sind

2 καὶ ἐξ Ἐπιδαύρω ἐκβῶντας καὶ τὸ τεῖχος ἀναιροῦντας. αἰ δέ κα μὴ εἴκωντι τοὶ Ἀθηναῖοι ἐξ Ἐπιδαύρω, πολεμίους εἶμεν τοῖς Ἀργείοις καὶ τοῖς Λακεδαιμονίοις καὶ τοῖς τῶν Λακεδαιμονίων ξυμμάχοις καὶ τοῖς τῶν Ἀργείων ξυμμάχοις. καὶ αἴ τινα τοὶ Λακεδαιμόνιοι παῖδα ἔχωντι, ἀποδόμεν ταῖς πολίεσι πάσαις. περὶ δὲ τῶ σιῶ σύματος ἐμενλῆν τοῖς Ἐπι-
3 δαυρίοις ὅρκον, δομεν δὲ αὐτοὺς ὀμόσαι. τὰς δὲ πόλιας τὰς ἐν Πελοποννάσῳ, καὶ μικρὰς καὶ μεγάλας, αὐτονόμους εἶμεν πάσας καττὰ πάτρια. αἰ δέ κα τῶν ἐκτὸς Πελοποννάσου τις ἐπὶ τὰν Πελοπόννασον γᾶν ἴῃ ἐπὶ κακῷ, ἀλεξέμεναι ἀμοθεὶ βουλευσαμένους, ὅπᾳ κα δικαιότατα δοκῇ τοῖς Πε-
4 λοποννασίοις. ὅσοι δ' ἐκτὸς Πελοποννάσω τῶν Λακεδαιμονίων ξύμμαχοί ἐντι, ἐν τῷ αὐτῷ ἐσοῦνται ἐν τῷπερ καὶ τοὶ τῶν Λακεδαιμονίων καὶ τοὶ τῶν Ἀργείων ξύμμαχοί ἐντι, τὰν αὐτῶν ἔχοντες. ἐπιδείξαντας δὲ τοῖς ξυμμάχοις ξυμβα-

---

Sklaven gemeint. — *ἐκβῶντας, ἐκβαίνοντας.* Gr. § 39 in *βάω.* — *ἀναιροῦντας.* Uncontrahirt *χοινανεόντων* 5, 79, 1; *ἀναιρεῦντας* möchte man vermuthen. (Pp.) *ἀναιριόντας* Arndt.

§ 2. *κα.* Gr. B. 2 § 2, 3 A. 4. — *εἴκωντι, εἴκωσι*, weichen, abziehen. — *Ἀθηναῖοι. Ἀσαναιοι* Arndt. — *Ἐπιδαύρου* für *-ρω* die meisten u. besten Hsn. — *πολεμίως* Arndt. — *εἶμεν* die besten Hsn.; sonst *ἦμεν*, nicht schlechter. vgl. Matth. Gr. § 217 p. 505. (Pp.) Gr. B. 2 § 38, 2 A. 6. — *ἀποδόμεν.* Gr. 36, 1 A. 12. — *πολίεσι. πολίεσσι* hier eine, mehrere u. gute Hsn. 5, 79, 3 Gr. B. 2 § 18, 5 A. 7. — *σιῶ, θεοῦ.* Gr. B. 2 § 4, 3 A. 4. — *τῶ* ist vielleicht nach *σιῶ* zuzufügen. — *σύματος, θύμαιος;* über die Sache vgl. 5, 53, 1. (Hl.) — *ἐμενλῆν* Bk. wie es scheint aus den besten Hsn., deren einige *ἔμεν λῆν, αἰ μὲν λῆν* u. a. haben; *εἶμεν λῆν* Hl., Reiske, Valckenaer. Hl. übersetzt: die Epidaurier sollen sich mit einem Eide verpflichten, welchen sie ihnen selbst abnehmen wollten. Arndt liest *αἰ μὲν λῆν, τοῖς Ἐ. ὅρκον δόμεν· αἰ δέ, αὐτὼς ὀμόσαι*, wenn sie wollen, mögen sie den E. einen Eid übertragen, wenn aber nicht, selbst schwören.

§ 3. *αὐτονόμως* Arndt. — *ἀλέξην* Arndt. — *ἀμοθεί* bestätigen Theognost. Ann. Ox. II, 165, 7 u. Phavorin. p. 103, 32 Lind. Da Hesych. *μόθος* durch *στάσις* erklärt, so scheint es für *ἀσιασιάστως* zu stehen. (Arndt.) Die gew. La. *ἀμόθι* erklärt auch Lobeck z. Buttm. ausführl. Gr. § 116 A. 22 durch *ὁμοῦ.* Didot vergleicht *χοινῇ* 5, 47, 9 u. *ἅμα* 80, 1. — *βουλευσαμένως* Arndt.

§ 4. *ὅσσοι* Arndt. — *ἐντί, εἰσιν.* Gr. B. 2 § 38, 2 A. 2. — *ἐσοῦνται. ἐσσοῦνται* einige gute Hsn., *ἐσσιόνται* Arndt. — *ἐν τῷ αὐτῷ* in demselben Vertragsverhältnisse. (Va.) vgl. 5, 79, 2. — *ἐπιδείξαντας* nachdem die Lakedämonier und Argeier den Ver-

λέσθαι, αἴ κα αὐτοῖς δοκῇ. αἰ δέ τι δοκῇ τοῖς ξυμμάχοις, οἴκαδ' ἀπιάλλην."

Τοῦτον μὲν τὸν λόγον προσεδέξαντο πρῶτον οἱ Ἀργεῖοι, καὶ τῶν Λακεδαιμονίων τὸ στράτευμα ἀνεχώρησεν ἐκ τῆς Τεγέας ἐπ' οἴκου· μετὰ δὲ τοῦτο ἐπιμιξίας οὔσης ἤδη παρ' ἀλλήλους, οὐ πολλῷ ὕστερον ἔπραξαν αὖθις οἱ αὐτοὶ ἄνδρες ὥστε τὴν Μαντινέων καὶ τὴν Ἀθηναίων καὶ Ἠλείων ξυμμαχίαν ἀφέντας Ἀργείους σπονδὰς καὶ ξυμμαχίαν ποιήσασθαι πρὸς Λακεδαιμονίους. καὶ ἐγένοντο αἵδε.

"Καττάδε ἔδοξε τοῖς Λακεδαιμονίοις καὶ Ἀργείοις 79
σπονδὰς καὶ ξυμμαχίαν εἶμεν πεντήκοντα ἔτη, ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις, δίκας διδόντας κατὰ πάτρια· ταὶ δὲ ἄλλαι πόλιες ταὶ ἐν Πελοποννάσῳ κοινανεόντων τᾶν σπονδᾶν καὶ τᾶν ξυμμαχιᾶν αὐτόνομοι καὶ αὐτοπόλιες, τὰν αὐτῶν ἔχοντες, κατὰ πάτρια δίκας διδόντες τὰς ἴσας καὶ ὁμοίας. ὅσοι δὲ 2
ἔξω Πελοποννάσω Λακεδαιμονίοις ξύμμαχοι ἐντι ἐν τοῖς αὐτοῖς ἐσοῦνται τοῖσπερ καὶ τοὶ Λακεδαιμόνιοι· καὶ τοὶ τῶν Ἀργείων ξύμμαχοι ἐν τῷ αὐτῷ ἐσοῦνται τῷπερ καὶ τοὶ Ἀργεῖοι, τὰν αὐτῶν ἔχοντες. αἰ δέ ποι στρατιᾶς δέῃ κοινᾶς, βουλεύεσθαι Λακεδαιμονίως καὶ Ἀργείως ὅπᾳ κα δικαιότατα κρίναντας τοῖς ξυμμάχοις. αἰ δέ τινι τᾶν πολίων ἢ ἀμφι- 3

---

trag vorgelegt, wolle man. (Ps.) — τι δοκῇ für τι καὶ (κα Hk.) ἄλλο δοκῇ die beſten Hſn. — ἀπιάλλην, ἀποπέμπειν. (Heſych.) ἐπιπέμπειν, στέλλειν. (Sch.) Ich denke nicht an die Heimſendung der Geſandten, ſondern der von den Bundesgenoſſen etwa gemachten Erinnerungen und Ausſtellungen.

C. 79. § 1. ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις. zu 5, 27, 2. Hier ſcheint von Streitigkeiten der Privaten die Rede zu ſein. vgl. § 3. (Pp.) — διδόντας für διδοῦσι als ob σπονδὰς ποιεῖσθαι vorherginge. (Hk.) Ueber die Redensart zu 1, 28, 2. — κοινανεόντων für κοινᾶν ἐόντων Valckenaer, κοινανεόντω Arndt. vgl. p. 296. — τᾶς ξυμμαχίας Bk. Doch vgl. 5, 27, 1 u. 48. (Pp.) — αὐτοπόλιες. Vielleicht ein doriſches Wort, ſonſt wohl nirgends vorkommend. (Bl.) Aehnlich αὐτοτελεῖς καὶ αὐτόδικοι 5, 18, 1. (Pp.) αὐτοπολῖται Xen. Hell. 5, 2, 14.

§ 2. ὅσσοι einige gute Hſn. — ἐσσοῦνται einige gute Hſn., auch im Folgenden. — δέ ποι. δέσποι zwei gute Hſn., δέ ποις Arndt. vgl. p 367. — στρατιᾶς. στρατείας A. Ps. — δέῃ. δέοι Boiſſonnade. vgl. Böckh Corp. inscrr. p. 29. (Pp.) — ὅπα κα erg. κρίνωντι, wenn dies nicht vielmehr für κρίναντας herzuſtellen iſt. (Pp.) Vgl. jedoch über ὡς ἄν Gr. 69, 7 A. 2 u. Kr. zu Xen. An. 5, 7, 22.

λογα, ἢ τῶν ἐντὸς ἢ τῶν ἐκτὸς Πελοποννάσου, αἴτε περὶ ὅρων αἴτε περὶ ἄλλου τινός, διακριθῆμεν. αἰ δέ τις τῶν ξυμμάχων πόλις πόλει ἐρίζοι, ἐς πόλιν ἐλθεῖν ἄν τινα ἴσαν ἀμφοῖν ταῖς πολίεσι δοκείοι. τοῖς δὲ ἔταις κατὰ πάτρια δικάζεσθαι.“

80 Αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία αὕτη ἐγεγένητο· καὶ ὁπόσα ἀλλήλων πολέμῳ ἢ εἴ τι ἄλλο εἶχον, διελύσαντο. κοινῇ δὲ ἤδη τὰ πράγματα τιθέμενοι ἐψηφίσαντο κήρυκα καὶ πρεσβείαν παρ᾽ Ἀθηναίων μὴ προσδέχεσθαι, ἢν μὴ ἐκ Πε-
λοποννήσου ἐξίωσι τὰ τείχη ἐκλιπόντες, καὶ μὴ ξυμβαίνειν
2 τῳ μηδὲ πολεμεῖν ἀλλ᾽ ἢ ἅμα. καὶ τά τε ἄλλα θυμῷ ἔφερον καὶ ἐς τὰ ἐπὶ Θρᾴκης χωρία καὶ ὡς Περδίκκαν ἔπεμψαν ἀμφότεροι πρέσβεις καὶ ἀνέπεισαν Περδίκκαν ξυνομόσαι σφίσιν. οὐ μέντοι εὐθύς γε ἀπέστη τῶν Ἀθηναίων, ἀλλὰ διενοεῖτο, ὅτι καὶ τοὺς Ἀργείους ἑώρα· ἦν δὲ καὶ αὐτὸς τὸ ἀρχαῖον ἐξ Ἄργους. καὶ τοῖς Χαλκιδεῦσι τούς τε πα-
3 λαιοὺς ὅρκους ἀνενεώσαντο καὶ ἄλλους ὤμοσαν. ἔπεμψαν

---

§ 3. ἢ ἀμφίλογα über irgend einen Beſitz Streit ſtatt finde. — διακριθῆμεν es ſoll durch den Weg Rechtens entſchieden werden. (Ps.) Gr. B. 2 § 30, 2 A. 6. — πόλι Arndt. Gr. B. 2 § 18, 5. — ἐρίζοι haderte, nicht über Beſitz ſondern z. B. über Beleidigungen, Beeinträchtigungen. — ἐς πόλιν — δοκοίη ſo ſolle man ſich, um das Zerwürfniß entſcheiden zu laſſen, an eine Stadt wenden die man beiden ſtreitenden Städten für gleich günſtig, für unpartheiiſch, halte. (Ba.) — δοκείοι Pp. u. Bk. δοκεῖοι oder δοκείη die Hſn. — τοῖς ἔταις den Bürgern als Privatleuten. vgl. Böckh Corp. inscrr. p. 31. Pp. vermuthet τοὺς ἔτας nach dem Sch.: τοὺς πολιτευομένους ἐν μιᾷ ἑκάστῃ πόλει δι᾽ ἀλλήλων λύειν τὰ διάφορα. Denn der Sprachgebrauch ſcheine nicht zu geſtatten δικάζεσθαι, wofür Valckenaer δίκας ἔσεσθαι vermuthete, als Paſſiv zu erklären: ſolle Recht geſprochen werden. Uebrigens wird hiemit die Apellation an die Gerichte eines andern Staates unterſagt.

C. 80. § 1. αὕτη. Gr. 61, 7 A. 2. — ἄλλο. Man möchte ἄλλως erwarten; doch ſ. Kr. z. Dion. p. 267 u. zu Xen. An. 3, 2, 32. (Pp.) — διελύσαντο verglichen ſie. (Hl.) vgl. 1, 140, 4. 145. — τιθέμενοι, διατιθέμενοι, οἰκονομοῦντες. (Sch.)

§ 2. ἔφερον verwalteten Ps.; vielmehr ertrugen, wie in βαρέως φέρειν. vgl. zu 1, 31, 1. — ἀμφότεροι, Ἀργεῖοι καὶ Λακεδαιμόνιοι. (Sch.) — ξυνομόσαι. zu 1, 71, 4. — διενοεῖτο, ἀποστῆναι. (Sch.) zu 1, 1, 1. — ἑώρα, ἀποστάντας. (Sch.) Gr. 56, 16 A. — ἐξ Ἄργους 2, 99, 2.

δὲ καὶ παρὰ τοὺς Ἀθηναίους οἱ Ἀργεῖοι πρέσβεις, τὸ ἐξ Ἐπιδαύρου τεῖχος κελεύοντες ἐκλιπεῖν. οἱ δ' ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντες τοὺς ξυμφύλακας ἔπεμψαν Λημοσθένην τοὺς σφετέρους ἐξάξοντα. ὁ δὲ ἀφικόμενος καὶ ἀγῶνά τινα πρόφασιν γυμνικὸν ἔξω τοῦ φρουρίου ποιήσας, ὡς ἐξῆλθε τὸ ἄλλο φρουρικόν, ἀπέκλησε τὰς πύλας· καὶ ὕστερον Ἐπιδαυρίοις ἀνανεωσάμενοι τὰς σπονδὰς αὐτοὶ οἱ Ἀθηναῖοι ἀπέδοσαν τὸ τεῖχισμα. μετὰ δὲ τὴν τῶν Ἀργείων ἀπόστασιν 81
ἐκ τῆς ξυμμαχίας καὶ οἱ Μαντινῆς, τὸ μὲν πρῶτον ἀντέχοντες, ἔπειτ' οὐ δυνάμενοι ἄνευ τῶν Ἀργείων, ξυνέβησαν καὶ αὐτοὶ τοῖς Λακεδαιμονίοις καὶ τὴν ἀρχὴν ἀφεῖσαν τῶν πόλεων. καὶ Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, χίλιοι ἑκάτεροι, 2
ξυστρατεύσαντες τά τ' ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι ἐλθόντες καὶ μετ' ἐκεῖνα ξυναμφότεροι ἤδη καὶ τὸν ἐν Ἄργει δῆμον κατέλυσαν καὶ ὀλιγαρχία ἐπιτηδεία τοῖς Λακεδαιμονίοις κατέστη. καὶ πρὸς ἔαρ ἤδη ταῦτα ἦν τοῦ χειμῶνος λήγοντος, καὶ τέταρτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου θέρους Λιῆς τε οἱ ἐν Ἄθῳ ἀπέ- 82
στησαν Ἀθηναίων πρὸς Χαλκιδέας, καὶ Λακεδαιμόνιοι τὰ ἐν Ἀχαΐᾳ οὐκ ἐπιτηδείως πρότερον ἔχοντα καθίσταντο. καὶ

---

§ 3. τὸ ἐξ Ἐ. τεῖχος ἐκλιπεῖν. Her. 7, 37: ὁ ἥλιος ἐκλιπὼν τὴν ἐξ οὐρανοῦ ὁδόν. Oder auch: das in der Nähe von E. gelegene Caſtell. vgl. über ἔκ zu 1, 64, 1. (Arn.) Jenes iſt richtig; nicht anſtößig daß der Ortsname die Landſchaft mit umfaßt. — ὄντες für ὄντας Abr. — πρόφασιν. zu 3, 111, 1. — ἐξάξοντα. Keine gemiedene Kakophonie. Lobeck Parall. p. 12. — φρουρικόν für φρούριον nur einige ſchlechtere Hſn. Dieſes ſcheint nicht wie praesidium auch Beſatzungstruppen bezeichnet zu haben; jenes findet ſich auch bei Dio E. 56, 42. (Dr. u. Pp.) — ἀπέκλησε τὰς πύλας ſagt auch Xen. An. 7, 1, 12. 6, 24. (Bl.)

E. 81. § 1. τῆς ξυμμαχίας, τῶν Ἀθηναίων. (Sch.) — τῶν πόλεων. vgl. 33, 1 u. 2. 58, 1. 61, 3. 67, 3. (Arn.)

§ 2. Ἀργεῖοι iſt nur zu ξυστρατεύσαντες und κατέσησαν, nicht auch zu ἐλθόντες Subject. Gr. 56, 9 A. 1. — ἐς ὀλίγους zu einer oligarchiſchen Verfaſſung. zu 2, 37, 1. — μᾶλλον, ἢ πρότερον. (Ds.) vgl. 8, 53, 4. — ἐπιτηδεία. zu 1, 19. — ξυναμφότεροι, wie ſchon Ps. wollte, für ξυναμφότερα einige (ſchlechte) Hſn.

E. 82. § 1. Λιῆς für Δικτιδῆς mehrere gute u. einige ſchlechte Hſn. — ἐπιτηδείως, συμφερόντως τοῖς Λακεδαιμονίοις. (Sch.) zu 1,

Ἀργείων ὁ δῆμος κατ' ὀλίγον ξυνιστάμενός τε καὶ ἀναθαρσήσας ἐπέθεντο τοῖς ὀλίγοις, τηρήσαντες αὐτὰς τὰς γυμνο-
2 παιδίας τῶν Λακεδαιμονίων· καὶ μάχης γενομένης ἐν τῇ πόλει ἐπεκράτησεν ὁ δῆμος, καὶ τοὺς μὲν ἀπέκτεινε τοὺς δὲ ἐξήλασεν. οἱ δὲ Λακεδαιμόνιοι, ἕως μὲν αὐτοὺς μετεπέμποντο οἱ φίλοι, οὐκ ἦλθον ἐκ πλείονος, ἀναβαλόμενοι δὲ τὰς
3 γυμνοπαιδίας ἐβοήθουν. καὶ ἐν Τεγέᾳ πυθόμενοι ὅτι νενίκηνται οἱ ὀλίγοι προελθεῖν μὲν οὐκέτι ἠθέλησαν δεομένων τῶν διαπεφευγότων, ἀναχωρήσαντες δὲ ἐπ' οἴκου τὰς γυμνοπαιδίας ἦγον. καὶ ὕστερον ἐλθόντων πρέσβεων ἀπό τε τῶν ἐν τῇ πόλει [ἀγγέλων] καὶ τῶν ἔξω Ἀργείων, παρόντων τε τῶν ξυμμάχων καὶ ῥηθέντων πολλῶν ἀφ' ἑκατέρων ἔγνωσαν μὲν ἀδικεῖν τοὺς ἐν τῇ πόλει καὶ ἔδοξεν αὐτοῖς στρατεύειν
4 ἐς Ἄργος, διατριβαὶ δὲ καὶ μελλήσεις ἐγίγνοντο. ὁ δὲ δῆμος τῶν Ἀργείων ἐν τούτῳ, φοβούμενος τοὺς Λακεδαιμονίους καὶ τὴν τῶν Ἀθηναίων ξυμμαχίαν πάλιν προσαγόμενός τε καὶ νομίζων μέγιστον ἂν σφᾶς ὠφελήσειν, τειχίζει μακρὰ τείχη ἐς θάλασσαν, ὅπως, ἢν τῆς γῆς εἴργωνται, ἡ κατὰ θάλασσαν σφᾶς μετὰ τῶν Ἀθηναίων ἐπαγωγὴ τῶν ἐπιτηδείων ὠφελῇ. ξυνῴδεσαν δὲ τὸν τειχισμὸν καὶ τῶν ἐν Πελοποννήσῳ τινὲς πόλεων. καὶ οἱ μὲν Ἀργεῖοι πανδημεί, καὶ αὐτοὶ καὶ γυναῖκες καὶ οἰκέται, ἐτείχιζον· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς ἦλθον τέκτονες καὶ λιθουργοί. καὶ τὸ θέρος ἐτελεύτα.

83 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι ὡς ἤσθοντο τειχιζόντων, ἐστράτευσαν ἐς τὸ Ἄργος αὐτοί τε καὶ

---

19. — κατ' ὀλίγον nach und nach Va. So ſcheint Thuk. das Wort nie gebraucht zu haben. vgl. zu 4, 10, 4. — ξυνιστάμενος. zu 2, 88, 1. So öfter von politiſchen Umtrieben, wie 8, 89, 2. vgl. 8, 66, 1. 2, 73, 3. Ar. Ri. 862: ἔπαυσα τοὺς ξυνωμότας· καί μ' οὐ λέληθεν οὐδὲν ἐν τῇ πόλει ξυνιστάμενον. — ἀναθαρρήσας, ἀναλαβόντες αὖθις ἐλπίδας ἀγαθάς. (Sch.) vgl. Gr. 58, 4 A. 1.

§ 2. οὐκ ἦλθον ἐκ πλείονος ſie kamen längere Zeit nicht, blieben eine Zeit lang aus. (Va.) Die Stelle iſt wohl verfälſcht.

§ 3. δεομένων obgleich ſie baten. (Sch.) — ἀγγέλων verdächtigen F. u. A. Ps.; als Botſchafter erklärt Hl. Vielleicht iſt es für πρέσβεων herzuſtellen. (Arn.)

§ 4. προσαγόμενος, οἰκειούμενος. (Sch.) — μέγιστον. Gr. 5 A. 7.

οἱ ξύμμαχοι πλὴν Κορινθίων· ὑπῆρχε δέ τι αὐτοῖς καὶ ἐκ τοῦ Ἄργους αὐτόθεν πρασσόμενον. ἦγε δὲ τὴν στρατιὰν Ἆγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ τὰ μὲν 2
ἐκ τῆς πόλεως δοκοῦντα προϋπάρχειν οὐ προὐχώρησεν ἔτι· τὰ δὲ οἰκοδομούμενα τείχη ἑλόντες καὶ καταβαλόντες καὶ Ὑσιὰς χωρίον τῆς Ἀργείας λαβόντες καὶ τοὺς ἐλευθέρους ἅπαντας οὓς ἔλαβον ἀποκτείναντες ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις. ἐστράτευσαν δὲ μετὰ τοῦτο καὶ Ἀργεῖοι 3
ἐς τὴν Φλιασίαν καὶ δῃώσαντες ἀπῆλθον, ὅτι σφῶν τοὺς φυγάδας ὑπεδέχοντο· οἱ γὰρ πολλοὶ αὐτῶν ἐνταῦθα κατῴκηντο. κατέκλησαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ Μακεδόνας 4
Ἀθηναῖοι, Περδίκκᾳ ἐπικαλοῦντες τήν τε πρὸς Ἀργείους καὶ Λακεδαιμονίους γενομένην ξυνωμοσίαν καὶ ὅτι παρασκευασαμένων αὐτῶν στρατιὰν ἄγειν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Ἀμφίπολιν Νικίου τοῦ Νικηράτου στρατηγοῦντος ἔψευστο τὴν ξυμμαχίαν καὶ ἡ στρατιὰ μάλιστα διελύθη ἐκείνου ἀπάραντος· πολέμιος οὖν ἦν. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος καὶ πέμπτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου θέρους Ἀλκιβιάδης τε πλεύσας 84
ἐς Ἄργος ναυσὶν εἴκοσιν Ἀργείων τοὺς δοκοῦντας ἔτι ὑπόπτους εἶναι καὶ τὰ Λακεδαιμονίων φρονεῖν ἔλαβε, τριακοσίους ἄνδρας, καὶ κατέθεντο αὐτοὺς Ἀθηναῖοι ἐς τὰς ἐγγὺς νήσους ὧν ἦρχον· καὶ ἐπὶ Μῆλον τὴν νῆσον Ἀθηναῖοι ἐστρά- 2

C. 83. § 1. *αὐτόθεν.* zu 5, 22, 1. Theokr. 25, 170: *Ἄργεος ἐξ ἱεροῖο αὐτόθεν.* (Valckenaer.) Ar. Ach. 116: *οὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.*

§ 2. *προϋπάρχειν* vorbereitet zu ſein, durch die *πράσσοντας αὐτοῖς.* — *οἰκοδομούμενα* welche gebaut wurden.

§ 3. *ὅτι* bezieht ſich auf *δῃώσαντες*, nicht auf *ἀπῆλθον.*

§ 4. *κατέκλησαν. κατελήισαν* Kr. *ἐγκατέκλεισαν* Valck. z. Her. 6, 133. — *καί* ſtellt das Ereigniß bloß dem vorhergehenden entgegen. — *Μακεδονίαν* für *Μακεδονίας* eine Hſ., *Μακεδόνας* Gö. So las wohl der Sch.: *τουτέστι τῶν εἰσαγωγίμων ἢ τῆς θαλάττης αὐτοὺς ἀπέκλεισαν.* — *Περδίκκᾳ ἐπικαλοῦντες* für *Περδίκκαν, ἐπικαλοῦντες* Gö. — *ξυνωμοσίαν, ἔνορκον ξυμμαχίαν.* (Sch.) zu 1, 71, 4. — *ἔψευστο τήν.* zu 3, 66, 2. — *ἀπάραντος, ἀντὶ τοῦ ἀναπεισθέντος.* (Sch.) Er ſcheint *ἐπαρθέντος* geleſen zu haben. — *οὗτος* für *οὕτως* mehrere, z. Th. gute Hſn.

C. 84. § 1. *τε* bezieht ſich auf *καί* vor *ἐπί* § 2.

τευσαν ναυσὶν ἑαυτῶν μὲν τριάκοντα, Χίαις δὲ ἕξ, Λεσβίαιν δὲ δυοῖν, καὶ ὁπλίταις ἑαυτῶν μὲν διακοσίοις καὶ χιλίοις καὶ τοξόταις τριακοσίοις καὶ ἱπποτοξόταις εἴκοσι, τῶν δὲ ξυμμάχων καὶ νησιωτῶν ὁπλίταις μάλιστα πεντακοσίοις καὶ χι-
3 λίοις. οἱ δὲ Μήλιοι Λακεδαιμονίων μέν εἰσιν ἄποικοι, τῶν δ' Ἀθηναίων οὐκ ἤθελον ὑπακούειν, ὥσπερ οἱ ἄλλοι νησιῶται, ἀλλὰ τὸ μὲν πρῶτον οὐδετέρων ὄντες ἡσύχαζον, ἔπειτα, ὡς αὐτοὺς ἠνάγκαζον οἱ Ἀθηναῖοι δῃοῦντες τὴν γῆν, ἐς
4 πόλεμον φανερὸν κατέστησαν. στρατοπεδευσάμενοι οὖν ἐς τὴν γῆν αὐτῶν τῇ παρασκευῇ ταύτῃ οἱ στρατηγοί, Κλεομήδης τε ὁ Λυκομήδους καὶ Τισίας ὁ Τισιμάχου, πρὶν ἀδικεῖν τι τῆς γῆς, λόγους πρῶτον ποιησομένους ἔπεμψαν πρέσβεις. οὓς οἱ Μήλιοι πρὸς μὲν τὸ πλῆθος οὐκ ἤγαγον, ἐν δὲ ταῖς ἀρχαῖς καὶ τοῖς ὀλίγοις λέγειν ἐκέλευον περὶ ὧν ἥκουσιν.
85 οἱ δὲ τῶν Ἀθηναίων πρέσβεις ἔλεγον τοιάδε. ἐπειδὴ οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται, ὅπως δὴ μὴ ξυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἑσάπαξ ἀκούσαντες ἡμῶν ἀπατηθῶσιν, γιγνώσκομεν γὰρ ὅτι τοῦτο φρονεῖ ὑμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγή, ὑμεῖς οἱ καθήμενοι ἔτι ἀσφαλέ-
2 στερον ποιήσατε. καθ' ἕκαστον γὰρ καὶ μηδ' ὑμεῖς ἑνὶ λόγῳ, ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν ἐπιτηδείως λέγεσθαι εὐθὺς ὑπολαμβάνοντες κρίνετε. καὶ πρῶτον, εἰ ἀρέσκει ὡς λέγομεν εἴπατε."
86 οἱ δὲ τῶν Μηλίων ξύνεδροι ἀπεκρίναντο· "ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους οὐ ψέγεται, τὰ δὲ τοῦ

---

§ 2. καὶ νησιωτῶν. Gr. 69, 32 A. 2.

§ 3. οὐδετέρων neutral. Der Sch.: γράφεται μεθ' ἑτέρων; er wollte ſagen οὐδὲ μεθ' ἑτέρων. Und dies oder ξύμμαχοι hinzugefügt erwartet man. (Pp.) zu 2, 67, 5; über den bloßen Ge. 47, 6 A. 4. vgl. 3, 86, 1.

C. 85. § 1. ῥῆσις, διεξοδικὸς λόγος. Tim. p. 228 u. dort Ruhnken. — ἐπαγωγά. zu 4, 88. — φρονεῖ bezweckt. (Sch.) Ungewöhnlich. Valck. z. Her. 4, 131. — ὑμῶν. ἡμῶν mit einer Hſ. Reiske u. Kr.

§ 2. καὶ μηδ' ὑμεῖς und auch ihr nicht, wie wir es nicht ſollen. — ἑνὶ λόγῳ, ξυνεχεῖ ῥήσει § 1. Falſch ἐν ὀλίγῳ die meiſten und beſten Hſſ. — ὑπολαμβάνοντες. zu 5, 49, 3. — κρίνετε entſcheidet über jeden einzelnen Punct. — ὡς λέγομεν die vorgeſchlagene Art zu verhandeln. — ξύνεδροι. zu 4, 22, 1.

C. 86. ἐπιείκεια, εὐγνωμοσύνη. (Sch.) — οὐ ψέγεται wird von uns nicht getadelt Hl.; iſt nicht zu tadeln Va. Dion. Arch. 7, 28 p. 1375: ἡ ἰσομοιρία τῆς τύχης οὐ ψέγεται. — τὰ τοῦ

πολέμου παρόντα ἤδη καὶ οὐ μέλλοντα διαφέροντα αὐτοῦ φαίνεται. ὁρῶμεν γὰρ αὐτούς τε κριτὰς ἥκοντας ὑμᾶς τῶν λεχθησομένων καὶ τὴν τελευτὴν ἐξ αὐτοῦ κατὰ τὸ εἰκὸς περιγενομένους μὲν τῷ δικαίῳ καὶ δι' αὐτὸ μὴ ἐνδοῦσι πόλεμον ἡμῖν φέρουσαν, πεισθεῖσι δὲ δουλείαν."

ΑΘ. Εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελλόντων λογιού- 87
μενοι ἢ ἄλλο τι ξυνήκετε ἢ ἐκ τῶν παρόντων καὶ ὧν ὁρᾶτε περὶ σωτηρίας βουλεύσοντες τῇ πόλει, παυοίμεθ' ἄν· εἰ δ' ἐπὶ τοῦτο, λέγοιμεν ἄν.

ΜΗΛ. Εἰκὸς μὲν καὶ ξυγγνώμη ἐν τῷ τοιῷδε καθε- 88
στῶτας ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι· ἡ μέντοι ξύνοδος καὶ περὶ σωτηρίας ἥδε πάρεστιν καὶ ὁ λόγος ᾧ προκαλεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω.

ΑΘ. Ἡμεῖς τοίνυν οὔτε αὐτοὶ μετ' ὀνομάτων καλῶν, 89
ὡς ἢ δικαίως τὸν Μῆδον κατάλυσαντες ἄρχομεν ἢ ἀδικού-
μενοι νῦν ἐπεξερχόμεθα, λόγων μῆκος ἄπιστον παρέξομεν, οὔθ' ὑμᾶς ἀξιοῦμεν ἢ ὅτι Λακεδαιμονίων ἄποικοι ὄντες οὐ ξυνεστρατεύσατε ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε λέγοντας οἴε-
σθαι πείσειν, τὰ δυνατὰ δ' ἐξ ὧν ἑκάτεροι ἀληθῶς φρονοῦ- 2
μεν διαπράσσεσθαι, ἐπισταμένους πρὸς εἰδότας ὅτι δίκαια

πολέμου die kriegeriſchen Anſtalten. (Hl.) — αὐτοῦ, τῆς ἐπιεικείας τοῦ διδάσκειν καθ' ἡσυχίαν. Gr. 58, 2 (3) A. 6. — ἐξ αὐτοῦ aus der Unterredung.

C. 87. ὑπονοίας τῶν μελλόντων λογιούμενοι um gewöhniſche Vermuthungen über das Bevorſtehende in Betracht zu ziehen. — ἄλλο τι ἤ. Gr. 62, 3 A. 7.

C. 88. ξυγγνώμη — τρέπεσθαι. Her. 1, 39: σύγγνωμη περὶ ἐμὲ φυλακὴν ἔχειν. Gr. 61, 7 A. 5 u. Schäfer z. Dem. 5 p. 696. — καθεστῶτας Menſchen die ſich befinden. (Ps.) Gr. 55, 2 A. 6. — δοκοῦντας milder für ὑπονοοῦντας. — καί vor περί als ob folgen ſollte καὶ τὸν λόγον — ἐχέτω.

C. 89. § 1. ὀνομάτων καλῶν, λέξεων εὐπρεπῶν. (Sch.) οὐ καλλιεπούμεθα 6, 83, 2. (Kr.) — ἐπεξερχόμεθα. zu 3, 38, 1. — ἄπιστον nicht überzeugend (Kr. ind.) — οὐ ξυνεστρατεύσατε, τοῖς Λακεδαιμονίοις. (Sch.)

§ 2. τὰ δυνατά — διαπράσσεσθαι daß ihr euch zu dem was nach Maßgabe deſſen was wir beide wirklich denken möglich und thunlich iſt verſtehet. (Hl.) Doch iſt διαπράσσεσθαι wohl zu erlangen verſuchen. — ἐπισταμένους πρὸς εἰδότας (ihr) wiſſende gegenüber (uns) wiſſenden. Doch könnte man dies allenfalls auch an λέγοντας anſchließen. — δίκαια — κρίνεται Gerech-

μὲν ἐν τῷ ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης ἀνάγκης κρίνεται, δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν.

90 ΜΗΛ. Ἡμεῖς μὲν δὴ νομίζομέν γε χρήσιμον — ἀνάγκη γάρ, ἐπειδὴ ὑμεῖς οὕτω παρὰ τὸ δίκαιον τὸ ξυμφέρον λέγειν ὑπέθεσθε — μὴ καταλύειν ὑμᾶς τὸ κοινὸν ἀγαθόν, ἀλλὰ τῷ ἀεὶ ἐν κινδύνῳ γιγνομένῳ εἶναι τὰ εἰκότα δίκαια, καί τι καὶ ἐντὸς τοῦ ἀκριβοῦς πείσαντά τινα ὠφεληθῆναι. καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, ὅσῳ καὶ ἐπὶ μεγίστῃ τιμωρίᾳ σφαλέντες ἂν τοῖς ἄλλοις παράδειγμα γένοισθε.

91 ΑΘ. Ἡμεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς, ἣν καὶ παυθῇ, οὐκ ἀθυμοῦμεν τὴν τελευτήν· οὐ γὰρ οἱ ἄρχοντες ἄλλων, ὥσπερ καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς νικηθεῖσιν — ἔστι δὲ οὐ πρὸς Λακεδαιμονίους ἡμῖν ὁ ἀγών — ἀλλ' ἢν οἱ ὑπήκοοί
2 που τῶν ἀρξάντων αὐτοὶ ἐπιθέμενοι κρατήσωσιν. καὶ περὶ

---

tes wird in der menſchlichen Erörterung (Kr. in λόγος) nur bei den gleichen Zwangsmitteln in Anſchlag gebracht, gilt als Entſcheidungsgrund.

C. 90. ἡμεῖς μὲν δή für ἦ μὲν δή Pp., ἡμεῖς δή der Rand einer Hſ. — χρήσιμον. Es iſt weder ἡμῖν noch ὑμῖν dabei zu denken, wie aus καὶ πρὸς ὑμῶν — hervorgeht. (Sch. u. Pp.) — ὑπέθεσθε habt angeregt. (Ba.) — τὸ κοινὸν ἀγαθόν, τουτέστι τὸ πρᾴως τοῖς ἀσθενεστέροις χρῆσθαι. (Sch.) Vielmehr iſt die Befolgung des Rechtes und der Billigkeit hier das Gemeingut. (Abr.) — εἶναι gewährt werde. — ἐντός für ἐκτός die beſten Hſn. Der Sinn: δεῖ μᾶλλον τῆς φιλανθρωπίας ἢπερ τοῦ πρὸς ἀκρίβειαν δικαίου τυγχάνειν τοὺς ἥττονας. (Sch.) — πείσαντα für πείσοντα F. Pꝭ. u. zwei ſchlechte Hſn.: es iſt nützlich daß Jemand auch etwas mehr als dem ſtrengen Rechte gemäß iſt Begünſtigung erfahre, nachdem er ſeine Gegner überredet, ſie ihm zu gewähren. So fehlt bei πείθειν oft das Object. Kr. zu Xen. An. 3, 1, 26. Hier ſteht das Wort mit Bezug auf die von den Meliern beabſichtigte Ueberredung der Athener; ſonſt könnte man παίσαντα vermuthen. — πρὸς ὑμῶν. zu 2, 86, 3. — ἐπὶ μεγίστῃ τιμωρίᾳ in Folge der, durch die größte Strafe, mit παράδειγμα γένοισθε zu verbinden. (St.) — σφαλέντες wenn ihr überwunden worden. vgl. 2, 60, 2. (65, 4.) 6, 24, 2. 33, 6. 8, 86, 5.

C. 91. § 1. ἀθυμοῦμεν τὴν τελευτήν. vgl. zu 5, 40, 3. Der Gedanke: wir fürchten nicht grauſame Sieger zu finden. — οὗτοι. Gr. 51, 7 A. 5. — οὐ πρὸς Λ., ſondern für unſere Herrſchaft. — νικηθεῖσιν, (ἔστι — ἀγών,) für νικηθεῖσι. ἔστι — ἀγών, — Hk. Anſtößig bleibt δέ, wofür vielleicht τέ zu leſen. — ἀλλ' ἢν, ἀλλὰ δεινόν, ἤν. (Sch. u. St.) — ἀφείσθω ſei überlaſſen.

μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι· ὡς δὲ ἐπ' ὠφελίᾳ τε πάρεσμεν τῆς ἡμετέρας ἀρχῆς καὶ ἐπὶ σωτηρίᾳ νῦν τοὺς λόγους ἐροῦμεν τῆς ὑμετέρας πόλεως, ταῦτα δηλώσομεν, βουλόμενοι ἀπόνως μὲν ὑμῶν ἄρξαι, χρησίμως δ' ὑμᾶς ἀμφοτέροις σωθῆναι.

ΜΗΛ. Καὶ πῶς χρήσιμον ἂν ξυμβαίη ἡμῖν δουλεῦσαι, 92
ὥσπερ καὶ ὑμῖν ἄρξαι;

ΑΘ. Ὅτι ὑμῖν μὲν πρὸ τοῦ τὰ δεινότατα παθεῖν ὑπα- 93
κοῦσαι ἂν γένοιτο, ἡμεῖς δὲ μὴ διαφθείραντες ὑμᾶς κερδαί-
νοιμεν ἄν.

ΜΗΛ. Ὥστε δὲ ἡσυχίαν ἄγοντας ἡμᾶς φίλους μὲν 94
εἶναι ἀντὶ πολεμίων, ξυμμάχους δὲ μηδετέρων, οὐκ ἂν δέ-
ξαισθε;

ΑΘ. Οὐ γάρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν 95
ὅσον ἡ φιλία μὲν ἀσθενείας, τὸ δὲ μῖσος δυνάμεως παρά-
δειγμα τοῖς ἀρχομένοις δηλούμενον.

ΜΗΛ. Σκοποῦσι δ' ὑμῶν οὕτως οἱ ὑπήκοοι τὸ εἰκός, 96
ὥστε τούς τε μὴ προσήκοντας καὶ ὅσοι ἄποικοι ὄντες οἱ
πολλοὶ καὶ ἀποστάντες τινὲς κεχείρωνται ἐς τὸ αὐτὸ τι-
θέασιν;

---

§ 2. *ἀπόνως* ohne Erſchwerung von eurer Seite. (St.) — *ἄρξαι.* Gr. 53, 5 A. 2. vgl. 5, 97. — *ἀμφοτέροις, καὶ ἡμῖν καὶ ὑμῖν.* (Sch.)

C. 93. *ἂν γένοιτο* zu Theil würde. (Bs.) Kr. z. Xen. An. 1, 9, 13.

C. 94. *δέ* nach *ὥστε* fehlt in den beſten Hſn., iſt jedoch nicht wohl entbehrlich: unter der Bedingung aber daß — würdet ihr uns nicht annehmen? (Bs.) Oder man müßte mit Dr. erklären: alſo würdet ihr euch nicht gefallen laſſen daß wir —. vgl. Luc. Todtengeſpr. 15, 3: *οὐκ ἂν δέξαιντο ἀνελθεῖν.* — *δέξαισθε* für *δέξοισθε* Bk. vgl. Herm. de part. *ἄν* 3, 7 p. 166.

C. 95. *οὐ γάρ* nein; denn nicht. (Bs.) Gr. 69, 14 A. 7. vgl. 5, 99. — *ἡ φιλία μέν. ἡ φιλία, ἡ μέν?* So las vielleicht Va. Doch ſteht *φιλία* ſo zwiſchen beiden Sätzen daß es leicht als doppelt gedacht vorſchweben kann. Ueber den Gedanken vgl. 3, 37, 2. 39, 5. (Kr.)

C. 96. *σκοποῦσι — τιθέασιν* erwägen eure Unterthanen das Naturgemäße ſo daß ſie die euch nichts angehenden, z. B. Coloniſten Anderer, und die welche, größtentheils Coloniſten von euch und zum Theil ſchon abgefallen, überwältigt ſind aus demſelben Geſichtspuncte betrachten. (Sch.)

97 ΑΘ. Δικαιώματι γὰρ οὐδετέρους ἐλλείπειν ἡγοῦνται, κατὰ δύναμιν δὲ τοὺς μὲν περιγίγνεσθαι, ἡμᾶς δὲ φόβῳ οὐκ ἐπιέναι· ὥστε ἔξω καὶ τοῦ πλεόνων ἄρξαι καὶ τὸ ἀσφαλὲς ἡμῖν διὰ τὸ καταστραφῆναι ἂν παράσχοιτε, ἄλλως τε καὶ νησιῶται ναυκρατόρων καὶ ἀσθενέστεροι ἑτέρων ὄντες εἰ μὴ περιγένοισθε.

98 ΜΗΛ. Ἐν δ' ἐκείνῳ οὐ νομίζετε ἀσφάλειαν; δεῖ γὰρ αὖ καὶ ἐνταῦθα, ὥσπερ ὑμεῖς τῶν δικαίων λόγων ἡμᾶς ἐκβιβάσαντες τῷ ὑμετέρῳ ξυμφόρῳ ὑπακούειν πείθετε, καὶ ἡμᾶς τὸ ἡμῖν χρήσιμον διδάσκοντας, εἰ τυγχάνει καὶ ὑμῖν τὸ αὐτὸ ξυμβαῖνον, πειρᾶσθαι πείθειν. ὅσοι γὰρ νῦν μηδετέροις ξυμμαχοῦσιν, πῶς οὐ πολεμώσεσθε αὐτούς, ὅταν ἐς τάδε βλέψαντες ἡγήσωνταί ποτε ὑμᾶς καὶ ἐπὶ σφᾶς ἥξειν; κἂν τούτῳ τί ἄλλο ἢ τοὺς μὲν ὑπάρχοντας πολεμίους μεγαλύνετε, τοὺς δὲ μηδὲ μελλήσοντας γενέσθαι ἄκοντας ἐπάγεσθε;

C. 97. *δικαιώματι* an Rechtsgründen für ihre Sache. (St.) zu 1, 41, 1. Haase will *δικαίωμά τι* oder erklären: um einen Rechtsgrund nachstehen. vgl. Plat Men. 87, a. — *οὐδετέρους, οὔτε τοὺς ἡμετέρους ἀποίκους ἀποστάντας οὔτε τοὺς μὴ προσήκοντας.* (Sch.) — *τοὺς μέν, τοὺς μὴ καταστραφέντας.* (Sch.) Wohl eig. *τοὺς μὴ προσήκοντας.* — *ἐλλείπειν* steht wohl als mit *ἐλασσοῦσθαι* synonym mit dem Dativ; so *ἐλλιπῆ εἶναι προθυμίᾳ, τόλμῃ* 6, 69, 2. (Pp.) Sonst ließe sich *ἐλλιπεῖς* vermuthen. — *κατὰ δύναμιν, δι' ἰσχύν.* (Sch.) — *περιγίγνεσθαι, μένειν ἐλευθέρους.* (Sch.) — *ἔξω καὶ τοῦ* noch außerdem daß. Oder *ἔξω τοῦ καί*? (Kr.) — *τὸ ἀσφαλές* Vortheile für unsere Sicherheit, wie *ἀσφάλεια* 98. Sch.: *ἀσφάλεια προσέσται ὡς ἂν μὴ καταφρονουμένοις ὑπὸ τῶν συμμάχων.* — *ἄλλως — περιγένοισθε* zumal wenn sich zeigt daß ihr als Inselbewohner uns als Seebeherrschern und als schwächere denn andere uns nicht widerstehen könnet (Enenkel); was denn für die zum Abfall Geneigten eine neue Warnung sein wird. Doch für *ἀσθενέστεροι* erwart' ich *ἀσφαλέστεροι.*

C. 98. *ἐκείνῳ* bezieht sich auf *ὅσοι γάρ.* (Dicot.) — *καὶ ἐνταῦθα*, wie schon 90. — *τῶν δικαίων λόγων* von den Gründen des Rechtes. — *ἐκβιβάσαντες, ἐκκρούσαντες.* (Sch.) zurückweisen. — *τῷ ὑμετέρῳ ξ. ὑπακούειν* uns eurem Interesse zu fügen (Va.), diesem gemäß die Sache zu erörtern. — *καὶ ἡμᾶς* — es ist nöthig daß auch wir unser Interesse erörternd, wofern dasselbe mit dem eurigen zusammenfällt, dadurch euch zu überreden versuchen. (Va.) — *ξυμβαῖνον.* Gr. 56, 4 A. 4. — *ἐς τάδε, τὰ ἡμέτερα πάθη.* (Sch.) — *μεγαλύνετε, αὐξήσετε.* (Sch.) — *γενέσθαι.* Gr. 53, 8 A. 4.

ΑΘ. Οὐ γὰρ νομίζομεν ἡμῖν τούτους δεινοτέρους ὅσοι 99
ἠπειρῶταί που ὄντες τῷ ἐλευθέρῳ πολλὴν τὴν διαμέλλησιν
τῆς πρὸς ἡμᾶς φυλακῆς ποιήσονται, ἀλλὰ τοὺς νησιώτας τέ
που ἀνάρκτους, ὥσπερ ὑμᾶς, καὶ τοὺς ἤδη τῆς ἀρχῆς τῷ
ἀναγκαίῳ παροξυνομένους. οὗτοι γὰρ πλεῖστ' ἂν τῷ ἀλο-
γίστῳ ἐπιτρέψαντες σφᾶς τε αὐτοὺς καὶ ἡμᾶς ἐς προῦπτον
κίνδυνον καταστήσειαν.

ΜΗΛ. Ἦ που ἄρα, εἰ τοσαύτην γε ὑμεῖς τε μὴ παυ- 100
σθῆναι ἀρχῆς καὶ οἱ δουλεύοντες ἤδη ἀπαλλαγῆναι τὴν πα-
ρακινδύνευσιν ποιοῦνται, ἡμῖν γε τοῖς ἔτι ἐλευθέροις πολλὴ
κακότης καὶ δειλία μὴ πᾶν πρὸ τοῦ δουλεῦσαι ἐπεξελθεῖν.

ΑΘ. Οὔκ, ἤν γε σωφρόνως βουλεύησθε· οὐ γὰρ περὶ 101
ἀνδραγαθίας ὁ ἀγὼν ἀπὸ τοῦ ἴσου ὑμῖν μὴ αἰσχύνην ὀφλεῖν,
περὶ δὲ σωτηρίας μᾶλλον ἡ βουλὴ πρὸς τοὺς κρείσσονας
πολλῷ μὴ ἀνθίστασθαι.

ΜΗΛ. Ἀλλ' ἐπιστάμεθα τὰ τῶν πολέμων ἔστιν ὅτε 102
κοινοτέρας τὰς τύχας λαμβάνοντα ἢ κατὰ τὸ διαφέρον ἑκα-

C. 99. τῷ ἐλευθέρῳ wegen ihrer Freiheit, weil ſie frei ſind. (St.) — διαμέλλησιν Verzögerung, Läſſigkeit. (St.) — ἀλλά bezieht ſich auf den Comparativ. Gr. 49, 2 A. 6. — τέ που. τε τούς Kr — τῷ ἀναγκαίῳ, τῇ ἀνάγκῃ, τῇ δουλείᾳ. (Sch.) durch den Druck. (Ba.) — τῷ ἀλογίστῳ ſchlechte Berechnung ihrer Mittel zur Erhebung gegen uns.

C. 100. ἦ που ἄρα wirklich wohl demnach. (Hoogeween u. ἦπου 11.) ἦ τἄρα will Elmsley zu Eur. Her. 651. — παυσθῆναι hängt wie ἀπαλλαγῆναι von τὴν παρακίνδυνευσιν ποιοῦνται ab, in ſofern dies den Begriff des Anſtrebens einſchließt. (Matth. § 542 A. 1, b, γ.) — ἐπεξελθεῖν, zu 1, 70, 4.

C. 101. οὔκ, ἤν. zu 3, 66, 2. — ἀπὸ τοῦ ἴσου bei gleichen Mitteln. vgl. zu 1, 136, 3. 2, 89, 1. 5, 104. — ὀφλεῖν Bk. ὄφλειν die Hſn. wie Dem. 29, 31. 31, 12. 32, 26. 27. ὄφλων 24, 50. 55. 80. 81. 25, 65 u. öfter bei demſelben. (Pp.) vgl. Lob. zum Buttmann u. ὀφλισκάνω. Uebrigens ſind die Begriffe περὶ ἀνδραγαθίας und περὶ σωτηρίας proleptiſch von den Infinitiven zu den Subſtantiven gerückt. vgl. Gr. 61, 6 A. 9.

C. 102. πολέμων für πολεμίων eine Hſ. u. Ba. wie 2, 11, 3; über den Gedanken 1, 78, 2. (Kr.) — κοινοτέρας gemeinſchaftlichere d. h. gleichmäßiger den Einen wie den andern betreffende, mag er ſtark oder ſchwach ſein. Lyſ. 2, 10: τὰς ἐν τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες. Plut. Nik. 27: κοιναὶ αἱ τύχαι τοῦ πολέμου. (Kr.) — ἢ κατὰ τὸ διαφέρον ἑκατέρων πλῆθος als man nach der verſchiedenen Macht beider Theile erwarten

ιέρων πλῆθος. καὶ ἡμῖν τὸ μὲν εἶξαι εὐθὺς ἀνέλπιστον, μετὰ δὲ τοῦ δρωμένου ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς.

103 ΑΘ. Ἐλπὶς δέ, κινδύνῳ παραμύθιον οὖσα, τοὺς μὲν ἀπὸ περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλεν· τοῖς δ' ἐς ἅπαν τὸ ὑπάρχον ἀναρριπτοῦσι, δάπανος γάρ φύσει, ἅμα τε γιγνώσκεται σφαλέντων καὶ ἐν ὅτῳ ἔτι φυλάξε-
2 ταί τις αὐτὴν γνωρισθεῖσαν οὐκ ἐλλείπει. ὃ ὑμεῖς ἀσθενεῖς τε καὶ ἐπὶ ῥοπῇ μιᾶς ὄντες μὴ βούλεσθε παθεῖν, μηδὲ ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρησμοὺς καὶ ὅσα τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται.

104 ΜΗΛ. Χαλεπὸν μὲν καὶ ἡμεῖς, εὖ ἴστε, νομίζομεν πρὸς δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην, εἰ μὴ ἀπὸ τοῦ ἴσου ἔσται, ἀγωνίζεσθαι· ὅμως δὲ πιστεύομεν τῇ μὲν τύχῃ ἐκ τοῦ θείου μὴ ἐλασσώσεσθαι, ὅτι ὅσιοι πρὸς οὐ δικαίους ἱστάμεθα, τῆς δὲ δυνάμεως τῷ ἐλλείποντι τὴν Λακεδαιμο-

---

sollte. vgl. Gr. 49, 4. Denn oft siegt der Schwächere. — *μετὰ τοῦ δρωμένου* bei kräftigem Verfahren (Ps.); über *μετά* zu 1, 18, 7; über das Particip zu 1, 142, 4. — *στῆναι ὀρθῶς* sich aufrecht zu erhalten. So *στῆναι ἐς ὀρθόν* Soph. Oed. T. 50. (Bl.)

C. 103. § 1. *ἀπὸ περιουσίας* bei reichlichen Mitteln (Ps.); über *ἀπό* Gr. 68, 16 A. 7; über *περιουσία* 1, 123, 2. *ἐκ περιουσίας νεῶν* 7, 13, 1. 8, 45, 3. — *οὐ καθεῖλε, οὐ κατέλυσε παντελῶς.* (Sch.) über den Ao. Gr. 53, 10 A. 2. — *ἐς ἅπαν* völlig, ganz und gar. Raphel. zu Arr An. 4, 11, 15. — *ἀναρριπτοῦσι* aufs Spiel setzen. Dion. Arch. 3, 23 p. 475: *τὸν ὑπὲρ ἁπάντων ἀναρῖψαι κύβον.* — *δάπανος, δαπανηρά.* (Sch.) — *καὶ ἐν — ἐλλείπει* und läßt denen die ihr zu viel vertraut, Alles aufs Spiel gesetzt haben nichts übrig in dessen Besitz man sich künftig vor ihr, nachdem man sie als trüglich kennen gelernt hat, hüten könnte (Kr.); *καί* verbindet *οὐκ ἐλλείπει* mit *ἅμα τε γιγνώσκεται*; über das Fu. Gr. 53, 7 A. 8. Für *οὐκ ἐλλείπει* vermuthet Bk. *οὐκέτι λείπει*; und allerdings findet sich *ἐλλείπειν* so nicht leicht. Aehnlich jedoch Soph. El. 736: *ὁρᾷ μόνον νιν ἐλλελειμένον.* vgl. dort Herm.

§ 2. *ῥοπῆς, κινήσεως.* Eur. Hipp. 1163: *δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.* (Bl.) — *ἀνθρωπείως* durch menschliche Mittel. (St.) — *λυμαίνεται.* Gr. 52, 1 A. 2.

C. 104. *ἴστε* ist Imperativ. (Ps.) — *εἰ μὴ ἀπὸ τοῦ ἴσου ἔσται, ἀγωνίζεσθαι* ergänzen Andere, *ἡ δύναμις καὶ ἡ τύχη* Ds., bloß *ἡ τύχη* ich: wenn das Glück bei ungleichen Mitteln walten wird. — *ἵστασθαι πρός τινα* hier wie bei Liban. *ὑπόθ.* zu Dem. *π. εἰρ.* im feindlichen Sinne, sonst im freundlichen. (Py.) — *τῷ ἐλλεί-*

νίων ἡμῖν ξυμμαχίαν προσέσεσθαι, ἀνάγκην ἔχουσαν, καὶ εἰ μή του ἄλλου, τῆς γε ξυγγενείας ἕνεκα καὶ αἰσχύνῃ βοηθεῖν. καὶ οὐ παντάπασιν οὕτως ἀλόγως θρασυνόμεθα.

ΑΘ. Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡ- 105
μεῖς οἰόμεθα λελείψεσθαι· οὐδὲν γὰρ ἔξω τῆς ἀνθρωπείας τῶν μὲν ἐς τὸ θεῖον νομίσεως τῶν δ' ἐς σφᾶς αὐτοὺς βουλήσεως δικαιοῦμεν ἢ πράσσομεν. ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ τὸ ἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίας οὗ ἂν κρατῇ ἄρχειν· καὶ ἡμεῖς οὔτε θέντες τὸν 2
νόμον οὔτε κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ ἐσόμενον ἐς ἀεὶ καταλείψοντες χρώμεθα αὐτῷ, εἰδότες καὶ ὑμᾶς ἄν καὶ ἄλλους ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους δρῶντας ἂν αὐτό. καὶ πρὸς μὲν τὸ θεῖον οὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα ἐλασσώσεσθαι· τῆς δὲ ἐς Λακεδαιμονίους δόξης, ἣν διὰ τὸ αἰσχρὸν δὴ βοηθήσειν ὑμῖν πιστεύετε αὐτούς, μακαρίσαντες ὑμῶν τὸ ἀπειρόκακον οὐ ζηλοῦμεν τὸ ἄφρον. Λακεδαιμόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐ- 3
τοὺς καὶ τὰ ἐπιχώρια νόμιμα πλεῖστα ἀρετῇ χρῶνται· πρὸς

ποντι, τῇ ἀσθενείᾳ. (Sch.) Der Dativ hängt von προσέσεσθαι ab. (Hk.) — ἡμῖν mit ξυμμαχίαν verbunden (Hk.) wäre müßig; ich ziehe es gleichfalls zu ἔσεσθαι. So zwei Dative Eur. Hel. 1248: τί σοι παράσχω δῆτα τῷ τεθνηκότι. — αἰσχύνῃ, δι' αἰσχύνην Dion. p. 914.

C. 105. § 1. τὸ θεῖον. τοῦ θείου? Oder man muß, freilich hart, erklären: πρὸς μὲν τὸ θεῖον τῆς πρὸς τοῦ θείου εὐμενείας in Bezug auf die Götter glauben wir daß wir rückfichtlich ihres Wohlwollens nicht im Nachtheil fein werden; den Ge. wird man nach Gr. 47, 21 erklären müffen. (Kr.) Aehnlich νικᾶν τοῦ κλήρου Dem. 43, 31. vgl. 44, 12. — τῆς ἀνθρωπείας gehört fowohl zu νομίσεως als zu βουλήσεως. vgl. zu 2, 44, 1: wir begehren weder noch thun wir etwas das im Widerfpruch ſtände einerſeits mit den menſchlichen Religionsſatzungen in den auf die Gottheit bezüglichen Dingen, andrerſeits mit den menſchlichen Beſtrebungen in dem was ſie für ſich ſelbſt zu erringen trachten. (Kr.) — νομίσεως εἶπε διὰ τὰ νενομισμένα. (Sch) Poll. 5, 126: ἡ νόμισις τὸ ὄνομα σκληρόν. Auch Thuk. hat es nicht weiter gebraucht. Der Bedeutung Anſicht widerſtrebt ἐς. — δόξῃ nach herkömmlicher Anſicht οὗ ἂν κρατῇ ἄρχειν. (Bs.) — ἄν — ἄν. Gr. 69, 7 A. 3. — τῆς δόξης hängt von τὸ ἄγρον ab. (Ba.) — ἣν hängt von πιστεύετε ab, nach der Analogie von πίσιν πιστεύειν. (Bs.) ᾗ will Reiske. — δή mit Zurückweiſung auf αἰσχύνῃ 104. — τὸ ἀπειρόκακον. Eur. Alk. 926: παρ' εὐτυχῆ σοι πότμον ἦλθεν ἀπειροκάκῳ τόδ' ἄλγος.

§ 3. πλεῖστα, zu 1, 3, 4. — πρὸς τοὺς ἄλλους, zu προσγέ-

δὲ τοὺς ἄλλους πολλὰ ἄν τις ἔχων εἰπεῖν ὡς προσφέρονται ξυνελὼν μάλιστ' ἂν δηλώσειεν ὅτι ἐπιφανέστατα ὧν ἴσμεν τὰ μὲν ἡδέα καλὰ νομίζουσι, τὰ δὲ ξυμφέροντα δίκαια. καίτοι οὐ πρὸς τῆς ὑμετέρας νῦν ἀλόγου σωτηρίας ἡ τοιαύτη διάνοια.

106 *ΜΗΛ.* Ἡμεῖς δὲ κατ' αὐτὸ τοῦτο ἤδη καὶ μάλιστα πιστεύομεν τῷ ξυμφέροντι αὐτῶν, Μηλίους ἀποίκους ὄντας μὴ βουλήσεσθαι προδόντας τοῖς μὲν εὔνοις τῶν Ἑλλήνων ἀπίστους καταστῆναι, τοῖς δὲ πολεμίοις ὠφελίμους.

107 *ΑΘ.* Οὔκουν οἴεσθε τὸ ξυμφέρον μὲν μετ' ἀσφαλείας εἶναι, τὸ δὲ δίκαιον καὶ καλὸν μετὰ κινδύνου δρᾶσθαι· ᾧ Λακεδαιμόνιοι ἥκιστα ὡς ἐπὶ τὸ πολὺ τολμῶσιν.

108 *ΜΠΛ.* Ἀλλὰ καὶ τοὺς κινδύνους τε ἡμῶν ἕνεκα μᾶλλον ἡγούμεθ' ἂν ἐγχειρίσασθαι αὐτοὺς καὶ βεβαιοτέρους ἢ ἐς ἄλλους νομιεῖν, ὅσῳ πρὸς μὲν τὰ ἔργα τῆς Πελοποννήσου ἐγγὺς κείμεθα, τῆς δὲ γνώμης τῷ ξυγγενεῖ πιστότεροι ἑτέρων ἐσμέν.

ρονται gehörig, steht des Gegensatzes halber voran. — ὧν ἴσμεν, πάντων ἀνθρώπων ὧν ἴσμεν. (Sch.) — πρός vortheilhaft. (St.) vgl. zu 2, 86, 3. — νῦν gehört wohl zum ganzen Satze d. h. zu οὐκ (ἔστιν.) — ἀλόγου unwahrscheinlich. vgl. 6, 46, 2 u. zu 1, 32, 2.

C. 106. ἤδη. δή Kr. — πιστεύομεν. Das Komma ist vielleicht hier zu setzen: wir aber haben eben in Bezug auf diesen Punct, das eigennützige Verfahren der Lakedämonier, gerade am meisten Vertrauen, daß sie nämlich ihres Interesses wegen.

C. 107. οὔκουν — εἶναι ihr glaubtet also nicht daß der Nutzen mit der Sicherheit verbunden, nur was gefahrlos auch nützlich sei. (Py.) — δρᾶσθαι. δρᾶσαι die besten Hss. falsch. — ᾧ, μετὰ κινδύνου δρᾶν. (Py.).

C. 108. ἐγχειρίσασθαι, ἀναδέξασθαι. (Sch.) Ein ungewöhnlicher Ausdruck. (Py.) — βεβαιοτέρους ἢ ἐς ἄλλους für sichrere, weniger gefahrvolle Gefahren als die für Andere unternommenen erklärt Scholefield (vgl. 3, 39, 6), weder dem Sinne noch der Sprache recht angemessen. Ich möchte ἐς tilgen mit Dobree und mit Hl. deuten: sie werden mehr auf uns, d. h. unsre Leistungen und unsere Treue, als auf Andere bauen. Sichtlich bezieht sich auf diese Stelle τὸ ἐχυρόν 109. — πρὸς τὰ ἔργα in Bezug auf thatsächliche Leistungen. — ὅσῳ. Gr. 51, 10 A. 5. — τῆς γνώμης τῷ ξυγγενεῖ wegen der Verwandschaftlichkeit der Gesinnung, insofern diese in gemeinsamer Abstammung gegründet ist. (St.)

ΑΘ. Τὸ δ' ἐχυρόν γε τοῖς ξυναγωνιουμένοις οὐ τὸ 109
εὔνουν τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ' ἢν τῶν ἔργων τις δυνάμει πολὺ προὔχῃ· ὃ Λακεδαιμόνιοι καὶ πλεῖόν τι τῶν ἄλλων σκοποῦσιν. τῆς γοῦν οἰκείας παρασκευῆς ἀπιστίᾳ καὶ μετὰ ξυμμάχων πολλῶν τοῖς πέλας ἐπέρχονται, ὥστε οὐκ εἰκὸς ἐς νῆσόν γε αὐτοὺς ἡμῶν ναυκρατόρων ὄντων περαιωθῆναι.

ΜΗΛ. Οἱ δὲ καὶ ἄλλους ἂν ἔχοιεν πέμψαι· πολὺ δὲ 110
τὸ Κρητικὸν πέλαγος, δι' οὗ τῶν κρατούντων ἀπορώτερος ἡ λῆψις ἢ τῶν λαθεῖν βουλομένων ἡ σωτηρία. καὶ εἰ τοῦδε σφάλλοιντο, τράποιντ' ἂν καὶ ἐς τὴν γῆν ὑμῶν καὶ ἐπὶ τοὺς λοιποὺς τῶν ξυμμάχων, ὅσους μὴ Βρασίδας ἐπῆλθεν· καὶ οὐ περὶ ἧς μὴ προσηκούσης μᾶλλον ἢ τῆς οἰκειοτέρας ξυμμαχίδος τε καὶ γῆς ὁ πόνος ὑμῖν ἔσται.

ΑΘ. Τούτων μὲν καὶ πεπειραμένοις ἄν τι γένοιτο καὶ 111
ὑμῖν, καὶ οὐκ ἀνεπιστήμοσιν ὅτι οὐδ' ἀπὸ μιᾶς πώποτε πολιορκίας Ἀθηναῖοι δι' ἄλλων φόβον ἀπεχώρησαν. ἐνθυμούμεθα δὲ ὅτι φήσαντες περὶ σωτηρίας βουλεύσειν οὐδὲν ἐν τοσούτῳ λόγῳ εἰρήκατε ᾧ ἄνθρωποι ἂν πιστεύσαντες νομίσαιεν σωθήσεσθαι, ἀλλ' ὑμῶν τὰ μὲν ἰσχυρότατα ἐλπιζόμενα 2

C. 109. τὸ ἐχυρόν die Zuverlässigkeit, das bauen Können auf die zur Hülfe Rufenden. vgl. zu 108. — ἀλλ' ἦν. Umschreibung des Subjects durch einen Satz. Gr. 60, 10 A. 1. — καὶ μετά nicht nur mit dieser sondern auch mit.

C. 110. δι' οὗ auf welchem. zu 1, 2, 1. — τῶν κρατούντων von Seiten der Seeherrscher, für dieselben. (Sch.) — ἀπορώτερος. zu 3, 89, 4. — ἡ λῆψις, τὸ συλλαβεῖν αὐτούς, τοὺς βοηθοῦντας. (Sch.) — ἐπῆλθε hinkam, wie 8, 54, 3. (Arn.) — περὶ τῆς μὴ προσηκούσης um irgend ein euch nichts angehendes Land, nicht bloß auf Melos zu beziehen, wobei οὗ stehen müßte. (Arn.) — ξυμμαχίδος τε καὶ γῆς von Ba. nicht übersetzt verdächtigen Arn. u. Pp. ξυμμαχίας τε καὶ γῆς Haase.

C. 111. § 1. τούτων — ὅτι von diesen Dingen könnte wohl etwas geschehen auch für euch, in Bezug auch auf euch, wie schon für Andere, als schon erfahren habende und nicht unkundige daß, d. h. wenn auch etwas der Art geschehen möchte, so habt doch auch ihr schon die Erfahrung gemacht und wisset wohl daß. — οὐδ' ἀπὸ μιᾶς. Gr. 24, 2 A. 2; über die Sache 1, 105, 4. — νομίσαιεν. zu 3, 49, 3.

§ 2. ὑμῶν — μέλλεται eure kräftigsten Stützen, auf Hoffnungen beruhend, werden beabsichtigt, man geht damit

μέλλεται, τὰ δ' ὑπάρχοντα βραχέα πρὸς τὰ ἤδη ἀντιτεταγμένα περιγίγνεσθαι. πολλήν τε ἀλογίαν τῆς διανοίας παρέχετε, εἰ μὴ μεταστησάμενοι ἔτι ἡμᾶς ἄλλο τι τῶνδε σωφρονέσιερον
3 γνώσεσθε. οὐ γὰρ δὴ ἐπί γε τὴν ἐν τοῖς αἰσχροῖς καὶ προύπτοις κινδύνοις πλεῖστα διαφθείρουσαν ἀνθρώπους αἰσχύνην τρέψεσθε. πολλοῖς γὰρ προορωμένοις ἔτι ἐς οἷα φέρονται τὸ αἰσχρὸν καλούμενον ὀνόματος ἐπαγωγοῦ δυνάμει ἐπεσπάσατο ἡσσηθεῖσι τοῦ ῥήματος ἔργῳ ξυμφοραῖς ἀνηκέστοις ἐκόντας περιπεσεῖν καὶ αἰσχύνην αἰσχίω μετ' ἀνοίας ἢ τύχης
4 προσλαβεῖν. ὃ ὑμεῖς, ἢν εὖ βουλεύησθε, φυλάξεσθε, καὶ οὐκ ἀπρεπὲς νομιεῖτε πόλεώς τε τῆς μεγίστης ἡσσᾶσθαι μέτρια προκαλουμένης, ξυμμάχους γενέσθαι ἔχοντας τὴν ὑμετέραν αὐτῶν ὑποτελεῖς καὶ δοθείσης αἱρέσεως πολέμου πέρι
5 καὶ ἀσφαλείας μὴ τὰ χείρω φιλονεικῆσαι· ὡς οἵτινες τοῖς μὲν ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείσσοσι καλῶς προσφέρονται,

---

um euch zu unterſtützen. (St.) Ueber das Paſſiv von μέλλω Kr. zu Xen. An. 3, 1, 47. Aehnlich Soph. Oed. K. 1628: πάλαι τἀπὸ σοῦ βραδύνεται. — βραχέα περιγίγνεσθαι ſind zu geringfügig als daß ihr glücklich davon kommen könntet. (St. u. Pp.) Ueber βραχέα mit dem Inf. Gr. 49, 1. — μεταστησάμενοι. zu 1, 79, 1. — ἔτι gehört zu γνώσεσθε. (Ps.)

§ 3. αἰσχροῖς. ἐσχάτοις Reiske; leichter wäre ἄκροις. Der Sch. erklärt ποιητικὸν αἰσχύνης, ſchmachbringende wenn man ſie nicht beſtehe (Ba.), um die Unabhängigkeit zu behaupten; Hk. thörichte, in ſofern Thorheit ſchimpflich iſt. — πολλοῖς hängt von ἐπεσπάσατο ab, welches in περιπεσεῖν das nähere Object hat: vielen zog das ſogenannte Schimpfliche es zu daß ſie — hinein geriethen. (Dr.) — ἐπαγωγοῦ, ἐπισπαστικοῦ. (Sch.) verführeriſch, in ſofern es auf Erhaltung der Ehre dringt. — ἐπεσπάσατο. Das Medium bedeutet wohl durch ſeine Kraft zu ziehen. (Pp.) — ἡσσηθεῖσι τοῦ ῥήματος überwältigt von dem Worte Schande durch die Furcht vor demſelben. vgl. § 4 u. zu 4, 37. — ἔργῳ in der That nicht bloß einem Worte oder der Idee nach. — ἢ τύχης, ἢ μετὰ τύχης. Gr. 68, 9: ſie gerathen in größere Schmach durch Unverſtand als durch Unglück. (Ba.) Gr. 68, 9.

§ 4. πόλεως τε. Dem τέ entſpricht καί vor δοθείσης. — ξυμμάχους γενέσθαι iſt Epexegem zu μέτρια προκαλουμένης. — τὰ χείρω φιλονεικῆσαι hartnäckig auf dem Schlechteren beſtehen, auch für den Krieg entſcheidend. Plat. Prot. 360, e: φιλονεικεῖν μοι δοκεῖς τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον. Der Inf. hängt von οὐκ ἀπρεπὲς νομιεῖτε ab. (Pp.)

§ 5 ὡς da. — προσφέρονται, ὁμιλοῦσιν. (Sch.) — ἢν — ἔσται. Der Gedanke muß wohl ſein: ihr habet nur Ein Vater-

πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσιν, πλεῖστ' ἂν ὀρθοῖντο. σκοπεῖτε οὖν καὶ μεταστάντων ἡμῶν καὶ ἐνθυμεῖσθε πολλάκις ὅτι περὶ πατρίδος βουλεύεσθε, ἣν μιᾶς πέρι καὶ ἐς μίαν βουλὴν τυχοῦσάν τε καὶ μὴ κατορθώσασαν ἔσται.

Καὶ οἱ μὲν Ἀθηναῖοι μετεχώρησαν ἐκ τῶν λόγων· οἱ 112
δὲ Μήλιοι κατὰ σφᾶς αὐτοὺς γενόμενοι, ὡς ἔδοξεν αὐτοῖς παραπλήσια καὶ ἀντέλεγον, ἀπεκρίναντο τάδε. "οὔτε ἄλλα δοκεῖ ἡμῖν ἢ ἅπερ καὶ τὸ πρῶτον, ὦ Ἀθηναῖοι, οὔτ' ἐν ὀλίγῳ χρόνῳ πόλεως ἑπτακόσια ἔτη ἤδη οἰκουμένης τὴν ἐλευθερίαν ἀφαιρησόμεθα, ἀλλὰ τῇ τε μέχρι τοῦδε σωζούσῃ 2
τύχῃ ἐκ τοῦ θείου αὐτὴν καὶ τῇ ἀπὸ τῶν ἀνθρώπων καὶ Λακεδαιμονίων τιμωρίᾳ πιστεύοντες πειρασόμεθα σώζεσθαι. προκαλούμεθα δὲ ὑμᾶς φίλοι μὲν εἶναι, πολέμιοι δὲ μηδετέροις, καὶ ἐκ τῆς γῆς ἡμῶν ἀναχωρῆσαι, σπονδὰς ποιησαμένους αἵτινες δοκοῦσιν ἐπιτήδειοι εἶναι ἀμφοτέροις." οἱ 113
μὲν δὴ Μήλιοι τοσαῦτα ἀπεκρίναντο· οἱ δὲ Ἀθηναῖοι διαλυόμενοι ἤδη ἐκ τῶν λόγων ἔφασαν· "ἀλλ' οὖν μόνοι γε ἀπὸ τούτων τῶν βουλευμάτων, ὡς ἡμῖν δοκεῖτε, τὰ μὲν μέλλοντα τῶν ὁρωμένων σαφέστερα κρίνετε, τὰ δὲ ἀφανῆ τῷ

---

land und diese Eine Berathung wird dessen Wohl oder Wehe entscheiden. Aber die Worte sind eben so unerklärlich als ungenügend die Verbesserungsvorschläge: — ἥν. ἤ Ps., ἧς Hl. — ἣν μιᾶς περί. ἢ μιᾶς ἐπὶ ῥοπῆς Dobree, ἢν ὑμᾶς περιποιῆσαι ἐς μίαν Haase. — τυχοῦσάν τε καὶ μὴ κατορθώσασαν. τυχοῦσά τε καὶ μὴ κατορθώσασα Pp. — ἔστε. ἴστε einige Hsn. u. Va., ἕξετε Hl., ἴσταται Dobree, ἵστατε Döderlein.

C. 112. § 1. μετεχώρησαν, μετέστησαν **111, 5.** (Pp.) — παραπλήσια καὶ ἀντέλεγον Aehnliches wie sie den Athenern bei der Unterredung entgegnet hatten (F. Ps.); über καί Gr. 69, 32 A. 5. vgl. 7, 71, 6, über das Ipf. Gr. 53, 2 A. 8.

§ 2. ἐκ τοῦ θείου ist mit σωζούσῃ zu verbinden. (Va.) Ueber ἐκ Gr. 68, 17 A. 9. — καὶ Λακεδαιμονίων. Gr. 69, 32 A. 2. — προκαλούμεθα ὑμᾶς in Bezug auf εἶναι wir bieten euch an (sein zu dürfen); in Bezug auf ἀναχωρῆσαι wir fordern euch auf.

C. 113. διαλυόμενοι scheidend. (Ps.) — λόγων Unterredung. (Va.) — ἀλλ' οὖν doch in der That. Gr. 69, 52 A. 1. — ἀπό gemäß, danach zu urtheilen. Gr. 68, 16 A. 7. — ὡς δοκεῖτε. Gr. 55, 4 A. 3. — τὰ μέλλοντα die erwartete Hülfe. vgl. 5, 111, 1. (Ds.) — σαφέστερα κρίνετε für sicherer haltet. (Va.) — τῷ βούλεσθαι weil ihr es herbeiwünschet.

βούλεσθαι ὡς γιγνόμενα ἤδη θεᾶσθε, καὶ Λακεδαιμονίοις καὶ τύχῃ καὶ ἐλπίσι πλεῖστον δὴ παραβεβλημένοι καὶ πιστεύσαντες πλεῖστον καὶ σφαλήσεσθε."

114 Καὶ οἱ μὲν Ἀθηναίων πρέσβεις ἀνεχώρησαν ἐς τὸ στράτευμα· οἱ δὲ στρατηγοὶ αὐτῶν, ὡς οὐδὲν ὑπήκουον οἱ Μήλιοι, πρὸς πόλεμον εὐθὺς ἐτράποντο καὶ διελόμενοι κατὰ πόλεις περιετείχισαν κύκλῳ τοὺς Μηλίους. καὶ ὕστερον φυλακὴν σφῶν τε αὐτῶν καὶ τῶν ξυμμάχων καταλιπόντες οἱ Ἀθηναῖοι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀνεχώρησαν τῷ πλείονι τοῦ στρατοῦ. οἱ δὲ λειπόμενοι παραμένοντες ἐπολιόρκουν τὸ χωρίον.

115 Καὶ Ἀργεῖοι κατὰ τὸν χρόνον τὸν αὐτὸν ἐσβαλόντες ἐς τὴν Φλιασίαν καὶ λοχισθέντες ὑπό τε Φλιασίων καὶ τῶν σφετέρων φυγάδων διεφθάρησαν ὡς ὀγδοήκοντα. καὶ οἱ ἐκ τῆς Πύλου Ἀθηναῖοι Λακεδαιμονίων πολλὴν λείαν ἔλαβον· καὶ Λακεδαιμόνιοι δι' αὐτὸ τὰς μὲν σπονδὰς οὐδ' ὡς ἀφέιτες ἐπολέμουν αὐτοῖς, ἐκήρυξαν δὲ εἴ τις βούλεται παρὰ σφῶν
2 Ἀθηναίους ληίζεσθαι. καὶ Κορίνθιοι ἐπολέμησαν ἰδίων τινῶν διαφόρων ἕνεκα τοῖς Ἀθηναίοις· οἱ δ' ἄλλοι Πελοποννήσιοι ἡσύχαζον. εἶλον δὲ καὶ οἱ Μήλιοι τῶν Ἀθηναίων τοῦ περιτειχίσματος τὸ κατὰ τὴν ἀγορὰν προσβαλόντες νυκτός, καὶ ἄνδρας τε ἀπέκτειναν καὶ ἐσενεγκάμενοι σῖτόν τε καὶ ὅσα πλεῖστα ἐδύναντο χρήσιμα ἀναχωρήσαντες ἡσύχαζον· καὶ οἱ Ἀθηναῖοι ἄμεινον τὴν φυλακὴν τὸ ἔπειτα παρεσκευάζοντο. καὶ τὸ θέρος ἐτελεύτα.

(Ps.) vgl. zu 3, 3, 1. — παραβεβλημένοι, ἐπιτρέψαντες παραβόλως. (Sch.)

C. 114. διελόμενοι, τὸ ἔργον, τὴν περιτείχισιν. (Ps.) vgl. 2, 78, 1.

C. 115. § 1. Ἀργεῖοι für Ἀργείων. zu 5, 59, 1. — τὸν χρόνον τὸν αὐτόν. Ungewöhnliche Stellung, wie Xen. Cyr. 4, 4, 10: χώραν τὴν αὐτὴν ἐργάσεσθε καὶ γυναιξὶ ταῖς αὐταῖς συνοικήσετε. (Py.) Dort wird jedoch diese Stellung durch den Gegensatz mehr gerechtfertigt als hier. Gr. 50, 11 A. 15. — Ἀθηναῖοι ist wohl zu tilgen, da die Heloten 5, 56, 3 gemeint sind. — παρὰ σφῶν aus ihrer Mitte.

§ 2. διαφόρων für διαφορῶν Vk. τὰ ἴδια διάφορα 2, 37, 1, vgl. auch zu 1, 68, 2. (Py.) — ἀγοράν Markt im Lager der Athener. (Dr.) vgl. 1, 62, 1. 3, 6, 2. (Arn.) — χρήσιμα für χρήμασι zwei Hss.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι μελλή- 116
σαντες ἐς τὴν Ἀργείαν στρατεύειν, ὡς αὐτοῖς τὰ διαβατήρια
ἱερὰ ἐν τοῖς ὁρίοις οὐκ ἐγίγνετο, ἀνεχώρησαν. καὶ Ἀργεῖοι
διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐν τῇ πόλει τινὰς ὑποτοπή-
σαντες τοὺς μὲν ξυνέλαβον, οἱ δ' αὐτοὺς καὶ διέφυγον. καὶ 2
οἱ Μήλιοι περὶ τοὺς αὐτοὺς χρόνους αὖθις καθ' ἕτερόν τι
τοῦ περιτειχίσματος εἷλον τῶν Ἀθηναίων, παρόντων οὐ
πολλῶν τῶν φυλάκων. καὶ ἐλθούσης στρατιᾶς ὕστερον ἐκ
τῶν Ἀθηνῶν ἄλλης, ὡς ταῦτα ἐγίγνετο, ἧς ἦρχε Φιλοκράτης
ὁ Δημέου, καὶ κατὰ κράτος ἤδη πολιορκούμενοι, γενομένης
καὶ προδοσίας τινὸς ἀφ' ἑαυτῶν, ξυνεχώρησαν τοῖς Ἀθηναίοις
ὥστ' ἐκείνους περὶ αὐτῶν βουλεῦσαι. οἱ δὲ ἀπέκτειναν Μη-
λίων ὅσους ἡβῶντας ἔλαβον, παῖδας δὲ καὶ γυναῖκας ἠνδρα-
πόδισαν. τὸ δὲ χωρίον αὐτοὶ ᾤκησαν, ἀποίκους ὕστερον
πεντακοσίους πέμψαντες.

ΣΤ.

Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀθηναῖοι ἐβούλοντο αὖθις μεί-
ζονι παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος ἐπὶ
Σικελίαν πλεύσαντες καταστρέψασθαι, εἰ δύναιντο, ἄπειροι
οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τῶν ἐνοικούντων
τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων, καὶ ὅτι οὐ πολλῷ

C. 116. § 1. *μελλήσαντες.* Gr. § 40 unter *μέλλω.* — *ἱερά* fügen Thuk. (5,54,2.55,3) u. Xen. ſonſt ſo nicht hinzu. — *ἐγίγνετο.* zu 5, 55, 3. — *μέλλησιν* Vorhaben. (Ps.)

§ 2. *τοῦ περιτειχίσματος* läßt Py. ſowohl von *τὶ* als partitiv von *εἷλον* abhängen. Es ſcheint *προσβαλόντες* ausgefallen zu ſein. — *πολλῶν τῶν.* Gr. 50, 11 A. 1. — *ἀφ' ἑαυτῶν* aus ihrer Mitte.

C. 1. *μείζονι τῆς.* Gr. 47, 27 A. 1. — *μετὰ Λάχητος* 3, 86, 1. — *Εὐρυμέδοντος* 4, 2, 1. — *καταστρέψασθαι, Σικελίαν.* zu 1, 114, 2. — *καὶ ὅτι* mit einem Genitiv, *τοῦ πλήθους,*

τινι ὑποδεέστερον πόλεμον ἀνῃροῦντο ἢ τὸν πρὸς Πελοποννησίους. Σικελίας γὰρ περίπλους μέν ἐστιν ὁλκάδι οὐ πολλῷ τινι ἔλασσον ἢ ὀκτὼ ἡμερῶν καὶ τοσαύτη οὖσα ἐν εἴκοσι σταδίων μάλιστα μέτρῳ τῆς θαλάσσης διείργεται τὸ μὴ ἤ-
2 πειρος εἶναι. ᾠκίσθη δὲ ἥδε τὸ ἀρχαῖον καὶ τοσάδε ἔθνη ἔσχε τὰ ξύμπαντα. παλαιότατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι, ὧν ἐγὼ οὔτε γένος ἔχω εἰπεῖν οὔτε ὁπόθεν ἐσῆλθον ἢ ὅποι ἀπεχώρησαν· ἀρκείτω δὲ ὡς ποιηταῖς τε εἴρηται καὶ ὡς ἕκαστός πῃ γι-
2 γνώσκει περὶ αὐτῶν. Σικανοὶ δὲ μετ' αὐτοὺς πρῶτοι φαίνονται ἐνοικισάμενοι, ὡς μὲν αὐτοί φασι, καὶ πρότεροι διὰ τὸ αὐτόχθονες εἶναι, ὡς δὲ ἡ ἀλήθεια εὑρίσκεται, Ἴβηρες ὄντες καὶ ἀπὸ τοῦ Σικανοῦ ποταμοῦ τοῦ ἐν Ἰβηρίᾳ ὑπὸ Λι-
3 γύων ἀναστάντες. καὶ ἀπ' αὐτῶν Σικανία τότε ἡ νῆσος ἐκαλεῖτο, πρότερον Τριναχρία καλουμένη· οἰκοῦσι δὲ ἔτι καὶ νῦν τὰ πρὸς ἑσπέραν τὴν Σικελίαν. Ἰλίου δὲ ἁλισκομένου τῶν Τρώων τινὲς διαφυγόντες Ἀχαιοὺς πλοίοις ἀφικνοῦνται πρὸς τὴν Σικελίαν, καὶ ὅμοροι τοῖς Σικανοῖς οἰκήσαντες ξύμπαντες μὲν Ἔλυμοι ἐκλήθησαν, πόλεις δ' αὐτῶν Ἔρυξ τε καὶ Ἔγε-

---

verbunden, wie mit einem Dativ 6, 2, 6. 31, 6. vgl. Gr. 59, 2 A. 4. — *Σικελίας. Σικελία?* zu 2, 97, 1. — *τινί.* Gr. 51, 16 A. 4. — *γάρ* in sofern aus dem Umfange der Insel die Größe des Krieges hervorgeht. — *περίπλους.* Quinct. institt. or. 1, 10, 40: Plurimum refert cujus sit formae ille circuitus; reprehensique a geometris sunt historici qui magnitudines insularum satis significari navigationis ambitu crediderunt. Nam ut quaeque forma perfectissima, ita capacissima est. (Ac.) vgl. Pol 9, 21. — *ἔλασσον.* Gr. 49, 2 A. 3. — *ὀκτὼ ἡμερῶν.* Gr. 47, 8 A. 1. — *ἐν μέτρῳ*, wie wir ähnlich sagen könnten: in einer Entfernung von — liegt. — *τῆς θαλάσσης.* 8, 95, 2: *διέχει θαλάσσης μέτρον ἑξήκοντα σταδίους.* (Pp.) vgl. zu 2, 86, 2. — *εἶναι* für *οὖσα* mit einer Hs. u. mehreren Nachahmungen zieht jetzt auch Pp. vor.

C. 2. § 1. *ἤδη* für *ὧδε* die meisten und besten Hsn.: bevölkert wurde diese Insel schon in alten Zeiten. — *ἔσχε* erhielt. Gr. 53, 5 A. 1. — *τὰ ξύμπαντα.* Gr. 50, 11 A. 13.

§ 2. *πρῶτοι.* Gr. 58, 5 A. 3. — *Ἴβηρες* inconcinn; erwarten würde man *ὕστεροι, Ἴβηρες.* — *ὑπό.* Gr. 52, 3 A. 1. — *Σικανοῦ π.* sehr zweifelhaft ob der Sicoris, jetzt Segre.

§ 3. *τὰ πρὸς ἑσπέραν.* Kr. zu Xen. An. 6, 2. 4. — *ἁλισκομένου.* Gr. 53, 1 A. 3. — *διαφυγόντες* glücklich durchgekommen. zu 4, 131, 2. — *οἰκήσαντες.* Gr. 53, 5 A. 2.

στα. προσξυνῴκησαν δὲ αὐτοῖς καὶ Φωκέων τινὲς τῶν ἀπὸ 4
Τροίας τότε χειμῶνι ἐς Λιβύην πρῶτον, ἔπειτα ἐς Σικελίαν
ἀπ' αὐτῆς κατενεχθέντες. Σικελοὶ δ' ἐξ Ἰταλίας, ἐνταῦθα
γὰρ ᾤκουν, διέβησαν ἐς Σικελίαν, φεύγοντες Ὄπικας, ὡς
μὲν εἰκὸς καὶ λέγεται, ἐπὶ σχεδιῶν, τηρήσαντες τὸν ποροθμὸν
κατιόντος τοῦ ἀνέμου, τύχα ἂν δὲ καὶ ἄλλως πως ἐσπλεύ-
σαντες. εἰσὶ δὲ καὶ νῦν ἔτι ἐν τῇ Ἰταλίᾳ Σικελοί, καὶ ἡ 5
χώρα ἀπὸ Ἰταλοῦ βασιλέως τινὸς Σικελῶν, τοὔνομα τοῦτο
ἔχοντος, οὕτως Ἰταλία ἐπωνομάσθη. ἐλθόντες δὲ ἐς τὴν
Σικελίαν στρατὸς πολὺς τούς τε Σικανοὺς κρατοῦντες μάχῃ
ἀνέστειλαν πρὸς τὰ μεσημβρινὰ καὶ ἑσπέρια αὐτῆς καὶ ἀντὶ
Σικανίας Σικελίαν τὴν νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ
κράτιστα τῆς γῆς ᾠκήσαν ἔχοντες, ἐπεὶ διέβησαν, ἔτη ἐγγὺς
τριακόσια πρὶν Ἕλληνας ἐς Σικελίαν ἐλθεῖν· ἔτι δὲ καὶ νῦν
τὰ μέσα καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου ἔχουσιν. ᾤκουν δὲ 6
καὶ Φοίνικες περὶ πᾶσαν μὲν τὴν Σικελίαν ἄκρας τε ἐπὶ τῇ
θαλάσσῃ ἀπολαβόντες καὶ τὰ ἐπικείμενα νησίδια ἐμπορίας
ἕνεκεν τῆς πρὸς τοὺς Σικελούς· ἐπειδὴ δὲ οἱ Ἕλληνες πολλοὶ
κατὰ θάλασσαν ἐπεσέπλεον, ἐκλιπόντες τὰ πλείω Μοτύην
καὶ Σολόεντα καὶ Πάνορμον ἐγγὺς τῶν Ἐλύμων ξυνοική-
σαντες ἐνέμοντο, ξυμμαχίᾳ τε πίσυνοι τῇ τῶν Ἐλύμων καὶ

---

§ 4. *τῶν ἀπό.* Gr. 50, 8 A. 14. — *ὡς μὲν — λέγεται* gehört zu *ἐπὶ σχεδιῶν.* (Hl.) Kr. zu Xen. An. 1, 6, 7. — *τηρήσαντες, φυλάξαντες κατιόντα τὸν ῥοῦν.* Dion. Arch. 1, 22. (Hudson.) — *κατιόντος τοῦ ἀ.* als der Wind herwehte. zu 2, 25, 3. — *ἂν δέ,* geſtellt wie 10, 2 u. *ἄν τε* 2, 63, 2.

§ 5. *οὕτως* möchte ich, wenn nicht *Ἰταλία* mit zwei Hſn. u. Ba. zu tilgen iſt, lieber nach Gr. 56, 10 A. 3 erklären als *Ἰταλία* für ein Exegem halten; vgl. jedoch Kr. zu Xen. An. 4, 8, 22. — *στρατὸς πολύς* iſt Appoſition. (Ba.) Nach griechiſcher Redeweiſe vielmehr Prädicat, wie *οἱ Σικελοὶ ἦλθον πολλοί.* vgl. Gr. 50, 11 A. 1. — *ἀπέστειλαν. ἀνέστειλαν* Bk. vom Zurückdrängen des Meeres *ἀποστέλλειν* 3, 89, 3. Dagegen „Iſokr. 12, 44: *τοὺς βαρβάρους ἀνέστειλαν ἀπὸ τῆς θαλάσσης.*" (Arn.) — *ἐποίησαν καλεῖσθαι.* Gr. 55, 3 A. 11. — *ἐπεί* ſeitdem. zu 1, 6, 4.

§ 6. *περί* in — umher. (Ba.) Gr. 68, 33 A. 1. — *ἀπολαβόντες* nachdem ſie abgeſondert beſetzt hatten. zu 1, 7, 1. — *πολλοί.* Gr. 50, 11 A. 1. — *ἐπεισεπλεον. ἐπεσέπλεον* nur eine Hſ. zu 2, 38, 1. — *ἕνεκεν. ἕνεκα,* was nach Thom. M. Thuk. immer gebraucht hätte, einige ſchlechte Hſn. — *ξυνοικήσαντες.* zu § 3 u. 1,

ὅτι ἐντεῦθεν ἐλάχιστον πλοῦν Καρχηδὼν Σικελίας ἀπέχει. βάρβαροι μὲν οὖν τοσοίδε Σικελίαν καὶ οὕτως ᾤκησαν.

3 Ἑλλήνων δὲ πρῶτοι Χαλκιδῆς ἐξ Εὐβοίας πλεύσαντες μετὰ Θουκλέους οἰκιστοῦ Νάξον ᾤκισαν καὶ Ἀπόλλωνος ἀρχηγέτου βωμόν, ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν, ἱδρύσαντο, ἐφ' ᾧ, ὅταν ἐκ Σικελίας θεωροὶ πλέωσι, πρῶτον
2 θύουσιν. Συρακούσας δὲ τοῦ ἐχομένου ἔτους Ἀρχίας τῶν Ἡρακλειδῶν ἐκ Κορίνθου ᾤκισεν, Σικελοὺς ἐξελάσας πρῶτον ἐκ τῆς νήσου ἐν ᾗ νῦν οὐκέτι περικλυζομένη ἡ πόλις ἧ ἐντός ἐστιν· ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω προστειχισθεῖσα
3 πολυάνθρωπος ἐγένετο. Θουκλῆς δὲ καὶ οἱ Χαλκιδῆς ἐκ Νάξου ὁρμηθέντες ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας Λεοντίνους τε πολέμῳ, τοὺς Σικελοὺς ἐξελάσαντες, οἰκίζουσιν καὶ μετ' αὐτοὺς Κατάνην· οἰκιστὴν δὲ αὐτοὶ Κατα-
4 ναῖοι ἐποιήσαντο Εὔαρχον. κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Λάμις ἐκ Μεγάρων ἀποικίαν ἄγων ἐς Σικελίαν ἀφίκετο, καὶ ὑπὲρ Παντακύου τε ποταμοῦ Τρώτιλόν τι ὄνομα χωρίον οἰκίσας καὶ ὕστερον αὐτόθεν τοῖς Χαλκιδεῦσιν ἐς Λεοντίνους ὀλίγον χρόνον ξυμπολιτεύσας καὶ ὑπὸ αὐτῶν ἐκπεσὼν καὶ Θάψον οἰκίσας αὐτὸς μὲν ἀποθνήσκει, οἱ δ' ἄλλοι ἐκ τῆς

8, 1. *ξυνοικίσαντες* einige Hſn. — *καὶ ὅτι.* zu 6, 1. — *πλοῦν* Strecke von Seefahrt. vgl. 4, 104, 3. 6, 49, 3. 97, 2. 7, 50, 2.

C. 3. § 1. *πρῶτοι. πρῶτον* viele, auch gute Hſn.; aus *πρῶτον θύουσι* entſtanden. — *ᾤκισαν* für *ᾤκησαν* mehrere, auch gute Hſn. Im J. 733 v. Ch. G. nach Clinton F. H. p. 264. — *ἀρχηγέτου* des Führers, Beſchützers der Anſiedelung. vgl. Stob. 74, 61 u. Heind. zu Plat. Lyſ. 5.

§ 2. *Συράκουσαι* iſt neuere Form, *Συράκοσσαι* ältere. Göttling Acc. S. 144 u. z. Ariſtot. Pol. 293. — *τῶν Ἡρακλειδῶν.* Gr. 47, 9 A. 1. — *νήσου*, Ortygia, wiewohl meiſt nur *Νᾶσος* von den Doriern und Livius genannt. — *περικλυζομένη* ſonſt ohne, mit einem subscr. Bk. — *ἐγένετο.* Hier iſt die ganze Stadt Subject. zu 1, 100, 3. Denn *καὶ* vor *ἡ ἔξω* hat nur auf *προστειχισθεῖσα*, nicht auf *πολυάνθρωπος* Bezug.

§ 3. *αὐτοὶ* für ſich einen eigenen, nicht auch den Thukles als ſolchen anerkennend.

C. 4. § 1. *Παντακύου* für *Πανταγίου* die beſten Hſn. Doch heißt er bei Andern *Πανταγίας.* Ueber das Fehlen des Artikels Gr. 50, 7 A. 1. — *ἐς Λεοντίνους*, weil *ξυμπολιτεύσας* den Begriff *μετοικήσας* andeutet (Pp.), worauf auch *αὐτόθεν* ſich bezieht.

Θάψου ἀναστάντες Ὕβλωνος βασιλέως Σικελοῦ προδόντος 2
τὴν χώραν καὶ καθηγησαμένου Μεγαρέας ᾤκισαν τοὺς Ὑ-
βλαίους κληθέντας. καὶ ἔτη οἰκήσαντες πέντε καὶ τεσσαρά-
κοντα καὶ διακόσια ὑπὸ Γέλωνος τυράννου Συρακοσίων ἀνέ-
στησαν ἐκ τῆς πόλεως καὶ χώρας. πρὶν δὲ ἀναστῆναι, ἔτεσιν 3
ὕστερον ἑκατὸν ἢ αὐτοὺς οἰκῆσαι, Πάμμιλον πέμψαντες ἐς
Σελινοῦντα κτίζουσιν, καὶ ἐκ Μεγάρων τῆς μητροπόλεως
οὔσης αὐτοῖς ἐπελθὼν ξυγκατῴκισεν. Γέλαν δὲ Ἀντίφημος
ἐκ Ῥόδου καὶ Ἔντιμος ἐκ Κρήτης ἐποίκους ἀγαγόντες κοινῇ
ἔκτισαν ἔτει πέμπτῳ καὶ τεσσαρακοστῷ μετὰ Συρακουσῶν
οἴκισιν. καὶ τῇ μὲν πόλει ἀπὸ τοῦ Γέλα ποταμοῦ τοὔνομα
ἐγένετο, τὸ δὲ χωρίον οὗ νῦν ἡ πόλις ἐστὶ καὶ ὃ πρῶτον
ἐτειχίσθη Λίνδιοι καλεῖται· νόμιμα δὲ Δωρικὰ ἐτέθη αὐ-
τοῖς. ἔτεσι δὲ ἐγγύτατα ὀκτὼ καὶ ἑκατὸν μετὰ τὴν σφετέραν 4
οἴκισιν Γελῷοι Ἀκράγαντα ᾤκισαν, τὴν μὲν πόλιν ἀπὸ τοῦ

---

§ 2. ἀναστάντες vertrieben, wahrscheinlich durch Sikeler, etwa Feinde des Hyblon. — τὴν χώραν. Das Gebiet von Thapsos oder von Megara? Dieses meint Bd. und erklärt προδοῦναι übergeben, was Bl. durch Polyb. 32, 13, 5. 36, 1, 1 ungenügend belegt. Richtiger versteht Hl. jenes und deutet προδοῦναι Preis geben, aufgeben. vgl. 3, 55, 2. 5, 106. Der kleine Fürst scheint sich mit den Megarern als Führer (καθηγησαμένου) verbunden zu haben, weil mächtigere Nachbaren auch ihn bedrängten. — Μεγαρέας, wie Λίνδιοι § 3.

§ 3. ὕστερον ἤ mit dem Inf. ist selten. Schöm. z. Isä. p. 211. — αὐτούς. Es sind dieselben so lange sie von demselben Geschlechte sind. zu 1, 2, 2. — Πάμμιλον. Πόμιλλον einige gute Hsn., Πάμμηλον Reiske. Göttling Acc. S. 189 glaubt Πάμμιλος aus Πανόμιλος verkürzt. — ἐς vor Σελινοῦντα (Ἑλινοῦντα die besten Hsn.) verdächtigte Dr.; aber Σελινοῦντα ist proleptisch der Ort wo später Selinus stand. vgl. zu 1, 2, 3 E.; über die Ergänzung des Ac. zu κτίζουσι Gr. 60, 5 A. 5 u. zu 1, 114, 2. — καὶ ἐκ M. und zwar aus dem M. im eigentlichen Hellas. Ueber καί für ὅς vergleicht Hertlein obss. in Xen. Hell. 1, 7, 4: ἐπιστολὴν ἐπεδείκνυε μαρτύριον, καὶ ἔπεμψαν :c. u. Plut über die Klugheit der Thiere 19: κουρεύς τις θαυμάσιόν τι χρῆμα πολυφώνου πίττης ἔτρεφε, καὶ ἀνθρώπου ῥήματα καὶ θηρίους φθόγγους ἀνταπεδίδου. — ἐπελθών, nach der 1, 24, 1 erwähnten Sitte. — ξυγκατῴκισε half gründen; daß er auch aus seiner Vaterstadt Ansiedler dazu mitgebracht ist aus dem Worte nicht zu schließen. — μετὰ Σ. οἴκησιν. Ueber das Fehlen des Artikels bei epochemäßigen Bestimmungen zu 1, 12, 2. — ἡ πόλις, ἀκρόπολις. zu 2, 15, 4. (Bl. u. Arn.) — καὶ ὅ. Gr. 60, 6 A. 4. — καλεῖται. καλοῦνται scheint eine Hs. gehabt zu haben.

§ 4. ἐγγύτατα, wie 6, 5, 3. Kr. zu Xen. An. 4, 2, 28.

Ἀκράγαντος ποταμοῦ ὀνομάσαντες, οἰκιστὰς δὲ ποιήσαντες Ἀριστόνουν καὶ Πυστίλον, νόμιμα δὲ τὰ Γελῴων δόντες.
5 Ζάγκλη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ Χαλκιδικῆς πόλεως λῃστῶν ἀφικομένων ᾠκίσθη, ὕστερον δὲ καὶ ἀπὸ Χαλκίδος καὶ τῆς ἄλλης Εὐβοίας πλῆθος ἐλθὸν ξυγκατενείμαντο τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ Κραταιμένης ἐγένοντο αὐτῆς, ὁ μὲν ἀπὸ Κύμης, ὁ δὲ ἀπὸ Χαλκίδος.
6 ὄνομα δὲ τὸ μὲν πρῶτον Ζάγκλη ἦν ὑπὸ τῶν Σικελῶν κληθεῖσα, ὅτι δρεπανοειδὲς τὴν ἰδέαν τὸ χωρίον ἐστί, τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσιν· ὕστερον δ' αὐτοὶ μὲν ὑπὸ Σαμίων καὶ ἄλλων Ἰώνων ἐκπίπτουσιν, οἳ Μήδους
5 φεύγοντες προσέβαλον Σικελίᾳ, τοὺς δὲ Σαμίους Ἀναξίλας Ῥηγίνων τύραννος οὐ πολλῷ ὕστερον ἐκβαλὼν καὶ τὴν πόλιν αὐτὸς ξυμμίκτων ἀνθρώπων οἰκίσας Μεσσήνην ἀπὸ τῆς ἑαυτοῦ τὸ ἀρχαῖον πατρίδος ἀντωνόμασεν. καὶ Ἰμέρα ἀπὸ
2 Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου καὶ Σίμου καὶ Σάκωνος, καὶ Χαλκιδῆς μὲν οἱ πλεῖστοι ἦλθον ἐς τὴν ἀποικίαν, ξυνῴκησαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν φυγάδες στάσει νικηθέντες, οἱ Μυλητίδαι καλούμενοι· καὶ φωνὴ μὲν μεταξὺ τῆς τε Χαλκιδέων καὶ Δωρίδος ἐκράθη, νόμιμα δὲ τὰ Χαλκιδικὰ
3 ἐκράτησεν. Ἄκραι δὲ καὶ Κασμέναι ὑπὸ Συρακοσίων ᾠκίσθησαν, Ἄκραι μὲν ἑβδομήκοντα ἔτεσι μετὰ Συρακούσας, Κασμέναι δ' ἐγγὺς εἴκοσι μετὰ Ἄκρας. καὶ Καμάρινα τὸ πρῶτον ὑπὸ Συρακοσίων ᾠκίσθη, ἔτεσιν ἐγγύτατα πέντε καὶ τριάκοντα καὶ ἑκατὸν μετὰ Συρακουσῶν κτίσιν· οἰκισταὶ δὲ

---

§ 5. ξυγκατενείμαντο theilten mit ihnen. (Passow.) — ὁ μέν geht auf Κραταιμένης nach Paus. 4, 23, 3.

§ 6. αὐτοί μέν, die Kymäer und Chalkidier. (Arn.) — ὄνομα. Gr. 46, 13 u. 52, 4 A. 6 u. zu 1, 122, 4. — προσέβαλον legten an, wie 8, 12, 1. 14, 1. 33, 1. vgl. 101, 1 u. 6, 44, 2 u. Gr. 52, 2 A. 7.

C. 5. § 1. αὐτός für αὐτοῖς Dobree u. Bk. — τὴν πόλιν ξυμμίκτων ἀνθρώπων οἰκίσας materialer Genitiv: ἡ πόλις ἣν ᾠκισεν ἦν ξυμμίκτων ἀνθρώπων. Gr. 47, 8 A. 3.

§ 2. Χαλκιδεῖς μὲν οἱ πλεῖστοι ἦλθον die meisten welche kamen waren zwar Chalkidier. (Hl.) Gr. 50, 11 A. 1. — ξυνῴκησαν. zu 6, 2, 6; einige Hss. ξυνῴκισαν. — στάσει νικηθέντες durch eine Gegenparthei besiegt. (Ps.) Her. 1, 150: στάσει ἐσσωθέντες.

ἐγένοντο αὐτῆς Λάσχων καὶ Μενέχωλος. ἀνασιάτων δὲ Κα- 4
μαριναίων γενομένων πολέμῳ ὑπὸ Συρακοσίων δι' ἀπόστασιν,
χρόνῳ Ἱπποκράτης ὕστερον Γέλας τύραννος, λύτρα ἀνδρῶν
Συρακοσίων αἰχμαλώτων λαβὼν τὴν γῆν τὴν Καμαριναίων
αὐτὸς οἰκιστὴς γενόμενος κατῴκισε Καμάριναν. καὶ αὖθις
ὑπὸ Γέλωνος ἀνάστατος γενομένη τὸ τρίτον κατῳκίσθη ὑπὸ
Γελῴων.

Τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν ᾤκει 6
καὶ ἐπὶ τοσήνδε οὖσαν αὐτὴν οἱ Ἀθηναῖοι στρατεύειν ὥρ-
μηντο, ἐφιέμενοι μὲν τῇ ἀληθεστάτῃ προφάσει τῆς πάσης
ἄρξειν, βοηθεῖν δὲ ἅμα εὐπρεπῶς βουλόμενοι τοῖς ἑαυτῶν
ξυγγενέσι καὶ τοῖς προσγεγενημένοις ξυμμάχοις, μάλιστα 2
δ' αὐτοὺς ἐξώρμησαν Ἐγεσταίων τε πρέσβεις παρόντες καὶ
προθυμότερον ἐπικαλούμενοι. ὅμοροι γὰρ ὄντες τοῖς Σελι-
νουντίοις ἐς πόλεμον κατέστασαν περί τε γαμικῶν τινων καὶ
περὶ γῆς ἀμφισβητήτου, καὶ οἱ Σελινούντιοι Συρακοσίους
ἐπαγόμενοι ξυμμάχους κατεῖργον αὐτοὺς τῷ πολέμῳ καὶ κατὰ
γῆν καὶ κατὰ θάλασσαν· ὥστε τὴν γενομένην ἐπὶ Λάχητος 3
καὶ τοῦ πρότερου πολέμου Λεοντίνων οἱ Ἐγεσταῖοι ξυμμα-

---

§ 4. *Ἱπποκράτης*, der von 498 bis 491 regierte. Clinton F. H. p. 266 s. — *λύτρα* als Lösegeld. Ou. Met. 2, 695: nitidam cape praemia vaccam. (Ba.) Widerspruch gegen Her. 7, 154. — *Γελῴων* für *Γέλωνος* Dodwell zu Ol. 79, 4.

C. 6. § 1. *προφάσει*. zu 1, 23, 5. — *ἄρξειν*. zu 1, 27, 2. — *εὐπρεπῶς, εὐπροφασίστως*. (Sch.) unter einem anständigen Vorwande. (Ps.) zu 1, 37, 3. 4, 60, 1. — *τοῖς ξ. ξυγγενέσι, τοῖς Χαλκιδεῦσι*. (Sch.) — *τοῖς προσγεγενημένοις* den außer den Stammverwandten hinzugekommenen, wie den Akragantinern 5, 4, 5. (Hk.)

§ 2. *Ἐγεσταίων τέ*. Das *τέ* steht als ob noch Anregungen Anderer *τῶν ξυναγορευόντων αὐτοῖς* folgen sollten. (Sommer.) Wohl ein bloßes Hyperbaton des *τέ*. — *προθυμότερον* als in andern Angelegenheiten. Gr. 49, 6. — *ἀμφισβητήτου. ἀμφισβητησίμου* Lobeck Paralipp. p. 494, was die Attiker sonst gebrauchen. Thuk. hat sonst keins von beiden; „das erstere Dion. H. u. Paus." (Bl.) — *κατεῖργον*, wie 4, 98, 4. (Bl.)

§ 3. *ἐπί*. Gr. 68, 40 A 4. — *Λεοντίνων* verbindet Ba. mit *πολέμου*, wofür die Stellung mehr spricht. vgl. Gr. 47, 7 A. 5 u. zu 1, 24, 4; Bd. mit *ξυμμαχίαν*. Also wohl: Bündniß der Egestäer mit den Leontinern. Denn daß ein solches statt gefunden, scheinen die Worte *τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν* vgl. § 3 anzudeuten. —

χίαν ἀναμιμνήσκοντες τοὺς Ἀθηναίους ἐδέοντο σφίσι ναῦς πέμψαντας ἐπαμῦναι, λέγοντες ἄλλα τε πολλὰ καὶ κεφάλαιον, εἰ Συρακόσιοι Λεοντίνους τε ἀναστήσαντες ἀτιμώρητοι γενήσονται καὶ τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν διαφθείροντες αὐτοὶ τὴν ἅπασαν δύναμιν τῆς Σικελίας σχήσουσι, κίνδυνοι εἶναι μή ποτε μεγάλῃ παρασκευῇ Δωριῆς τε Δωριεῦσι καὶ τὸ ξυγγενὲς καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι Πελοποννησίοις
4 βοηθήσαντες καὶ τὴν ἐκείνων δύναμιν ξυγκαθέλωσιν· σῶφροι δ' εἶναι μετὰ τῶν ὑπολοίπων ἔτι ξυμμάχων ἀντέχειν τοῖς Συρακοσίοις, ἄλλως τε καὶ χρήματα σφῶν παρεξόντων ἐς τὸν πόλεμον ἱκανά. ὧν ἀκούοντες οἱ Ἀθηναῖοι ἐν ταῖς ἐκκλησίαις τῶν τε Ἐγεσταίων πολλάκις λεγόντων καὶ τῶν ξυναγορευόντων αὐτοῖς ἐψηφίσαντο πρέσβεις πέμψαι πρῶτον ἐς τὴν Ἔγεσταν περί τε τῶν χρημάτων σκεψομένους εἰ ὑπάρχει, ὥσπερ φασίν, ἐν τῷ κοινῷ καὶ ἐν τοῖς ἱεροῖς καὶ τὰ τοῦ πολέμου ἅμα πρὸς τοὺς Σελινουντίους ἐν ὅτῳ ἐσιὶν εἰσομένους.

7 Καὶ οἱ μὲν πρέσβεις τῶν Ἀθηναίων ἀπεστάλησαν ἐς τὴν Σικελίαν· Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ οἱ ξύμμαχοι πλὴν Κορινθίων στρατεύσαντες ἐς τὴν Ἀργείαν τῆς τε γῆς ἔτεμον οὐ πολλὴν καὶ σῖτον ἀνεκομίσαντό τινα ζεύγη

ἀναμιμνήσκοντες, um den frühern Vorgang zu einer abermaligen Intervention als Grund und selbst als Verpflichtung geltend zu machen. Ueber die Ac. Gr. 47, 11 A. 3. — πέμψαντας für πέμψαντες eine Hs. — κεφάλαιον als Hauptsache daß. — Λεοντίνους ἀναστήσαντες 5, 4, 2. — διαφθείροντες. διαφθείραντες Va. Aber σχήσουσι kann heißen: in Besitz nehmen werden. Gr. 53, 7. — τὴν ἅπασαν. Gr. 50, 11 A. 12.

§ 4. Δωριεῖς Δωριεῦσι, Συρακούσιοι τοῖς Πελοποννησίοις. (Sch.) — τοῖς ἐκπέμψασι, τοῖς Κορινθίοις. (Sch.) — ἐκείνων, τῶν Ἀθηναίων. (Sch.) — σφῶν, τῶν Ἐγεσταίων. (Sch.) — τόν, τὸν μέλλοντα. (Sch.) Gr. 50, 2 A. 2. — ὧν. Da ἀκούειν mit einem Ge. sowohl der Sache als der Person verbunden mir nicht erinnerlich ist, so nehme ich die folgenden Genitive absolut. — ἐν ταῖς ἐκκλησίαις ist mit ἀκούοντες zu verbinden. (Va.) — πέμψαι für πέμψαντες eine Hs. — κοινῷ öffentlicher Schatz. zu 1, 80, 3. — τὰ τοῦ πολέμου. Concinner wäre περὶ τοῦ πολέμου. (Hk.) — πρὸς τοὺς τοῦ πρός Kr. — ἐν ὅτῳ in welcher Lage. Gr. 43, 4 A. 22. — εἰσομένους. Gr. 38, 7 A. 5.

C. 7. § 1. τῆς γῆς. Gr. 47, 28 A. 9. — κατοικίσαντες zu einem ἐπιτείχισμα. — τῆς ἄλλης im Gegensatze zu den Verbannten.

κομίσαντες, καὶ ἐς Ὀρνεὰς κατοικίσαντες τοὺς Ἀργείων φυγάδας καὶ τῆς ἄλλης στρατιᾶς παραλιπόντες αὐτοῖς ὀλίγους, καὶ σπεισάμενοί τινα χρόνον ὥστε μὴ ἀδικεῖν Ὀρνεάτας 2
καὶ Ἀργείους τὴν ἀλλήλων, ἀπεχώρησαν τῷ στρατῷ ἐπ' οἴκου. ἐλθόντων δὲ Ἀθηναίων οὐ πολλῷ ὕστερον ναυσὶ τριάκοντα καὶ ἑξακοσίοις ὁπλίταις οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων πανστρατιᾷ ἐξελθόντες τοὺς ἐν Ὀρνεαῖς μίαν ἡμέραν ἐπολιόρκουν· ὑπὸ δὲ νύκτα αὐλισαμένου τοῦ στρατεύματος ἄποθεν ἐκδιδράσκουσιν οἱ ἐκ τῶν Ὀρνεῶν. καὶ τῇ ὑστεραίᾳ 3
οἱ Ἀργεῖοι, ὡς ἤσθοντο, κατασκάψαντες τὰς Ὀρνεὰς ἀνεχώρησαν καὶ οἱ Ἀθηναῖοι ὕστερον ταῖς ναυσὶν ἐπ' οἶκον.

Καὶ ἐς Μεθώνην τὴν ὅμορον Μακεδονίᾳ ἱππέας κατὰ θάλασσαν κομίσαντες Ἀθηναῖοι σφῶν τε αὐτῶν καὶ Μακεδόνων τοὺς παρὰ σφίσι φυγάδας ἐκακούργουν τὴν Περδίκκου. Λακεδαιμόνιοι δὲ πέμψαντες παρὰ Χαλκιδέας τοὺς ἐπὶ 4
Θράκης, ἄγοντας πρὸς Ἀθηναίους δεκημέρους σπονδάς, ξυμπολεμεῖν ἐκέλευον Περδίκκᾳ· οἱ δ' οὐκ ἤθελον. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἕκτον καὶ δέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

Τοῦ δ' ἐπιγιγνομένου θέρους ἅμα ἦρι οἱ τῶν Ἀθηναίων 8
πρέσβεις ἦκον ἐκ τῆς Σικελίας καὶ οἱ Ἐγεσταῖοι μετ' αὐτῶν ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου ὡς ἐς ἑξήκοντα ναῦς μηνὸς μισθόν, ἃς ἔμελλον δεήσεσθαι πέμπειν. καὶ οἱ 2
Ἀθηναῖοι ἐκκλησίαν ποιήσαντες καὶ ἀκούσαντες τῶν τε Ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων τά τε ἄλλα ἐπαγωγὰ καὶ οὐκ ἀληθῆ καὶ περὶ τῶν χρημάτων ὡς εἴη ἑτοῖμα ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τοῖς κοινοῖς, ἐψηφίσαντο ναῦς ἑξήκοντα

---

§ 2. τινὰ χρόνον auf, für eine gewiſſe Zeit. (Ba.) — τὴν ἀλλήλων. Gr. 51, 3 A. — ἐξελθόντες für ἐξελθόντων Ba. u. A. Ps. Dies iſt durch das vorhergehende ἐλθόντων entſtanden. — οἱ ἐκ. Gr. 50, 8 A. 14.

§ 3. ἀνεχώρησαν. Ueber die Stellung Kr. zu Xen. An. 7, 8, 16.

§ 4. δεκημέρους alle zehn Tage erneuerte. zu 5, 26, 3.

C. 8. § 1. ἦκον. Kr. zu Xen. An. 2, 1, 9. — ὡς verbinde ich nicht mit μισθόν ſondern mit dem Zahlworte. — ἐς für. vgl. 8, 3, 1 u. Kr. zu Xen. An. 1, 2, 27.

§ 2. ἐπαγωγά verlockend. zu 4, 88, 1. Hier iſt es Prädicat: τὰ ἄλλα ἃ ἔλεγον ἐπαγωγὰ ἦν. Gr. 50, 11 A. 1. — τοῖς κοινοῖς

πέμπειν ἐς Σικελίαν καὶ στρατηγοὺς αὐτοκράτορας Ἀλκιβιάδην τε τὸν Κλεινίου καὶ Νικίαν τὸν Νικηράτου καὶ Λάμαχον τὸν Ξενοφάνους, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους, ἤν τι περιγίγνηται αὐτοῖς τοῦ πολέμου, καὶ τἆλλα τὰ ἐν τῇ Σικελίᾳ
3 πρᾶξαι ὅπῃ ἂν γιγνώσκωσιν ἄριστα Ἀθηναίοις. μετὰ δὲ τοῦτο ἡμέρᾳ πέμπτῃ ἐκκλησία αὖθις ἐγίγνετο, καθ' ὅ τι χρὴ τὴν παρασκευὴν ταῖς ναυσὶ τάχιστα γίγνεσθαι καὶ τοῖς στρατηγοῖς εἴ του προσδέοιντο ψηφισθῆναι ἐς τὸν ἔκπλουν. καὶ ὁ Νικίας ἀκούσιος μὲν ἠρημένος ἄρχειν, νομίζων δὲ τὴν πόλιν οὐκ ὀρθῶς βεβουλεῦσθαι, ἀλλὰ προφάσει βραχείᾳ καὶ εὐπρεπεῖ τῆς Σικελίας ἁπάσης, μεγάλου ἔργου, ἐφίεσθαι, παρελθὼν ἀποτρέψαι ἐβούλετο καὶ παρῄνει τοῖς Ἀθηναίοις τοιάδε.

9 "Ἡ μὲν ἐκκλησία περὶ παρασκευῆς τῆς ἡμετέρας ἥδε ξυνελέγη, καθ' ὅ τι χρὴ ἐς Σικελίαν ἐκπλεῖν· ἐμοὶ μέντοι δοκεῖ καὶ περὶ αὐτοῦ τούτου ἔτι χρῆναι σκέψασθαι, εἰ ἄμεινόν ἐστιν ἐκπέμπειν τὰς ναῦς, καὶ μὴ οὕτω βραχείᾳ βουλῇ περὶ μεγάλων πραγμάτων ἀνδράσιν ἀλλοφύλοις πειθομένους

---

für τῷ κοινῷ die beſten u. meiſten Hſn. Die öffentlichen Gelder mochten ſich an mehreren Orten befinden. „Eben ſo gebraucht den Plu. Polyb. 1, 59." (Pp.) — βοηθούς. Gr. 57, 4 A. 3. — ξυγκατοικίσαι. Inf. der Abſicht, wie 6, 69, 4. 5 u. Xen. Hell. 1, 1, 22, mit βοηθούς verbunden nach Gr. 59, 2 A. 3. — ἤν τι — πολέμου wenn ihnen etwas von dem Kriege übrig bliebe, d. h. wenn ſie neben dem Hauptzwecke auch dies vermöchten. (Pp.) περιουσία γένηται τῇ νίκῃ. (Sch.) — ἄριστα für das beſte, hier nicht Adv. zu 1, 126, 5.

§ 3. καθότι wie, in Bezug auf den Begriff der Berathung der in ἐκκλησία liegt. (Bs.) — εἴ του was etwa. Denn der Satz iſt Object und entſpricht dem τὴν παρασκευήν. Gr. 60, 10 A. 1. — ἀκούσιος, wie ἄσμενος 6, 12, 2, ἄκων 34, 6. Gr. 57, 5 A. 2. — προφάσει βραχείᾳ καὶ εὐπρεπεῖ unter einem unerheblichen und bloß ſcheinbaren Vorwande. (Hl.) — τοιάδε, nicht τάδε, weil Thuk. die Rede nicht wortgetreu wiedergeben konnte, 5, 84, 4. 7, 10, 1. (Waſſe.) vgl. 1, 139, 4. 4, 91, 1. 7, 60, 4 ꝛc., wie (Dr.) zu 1, 31, 3.

C. 9. § 1. τῆς ἡμετέρας, der Strategen: ἀντὶ τοῦ πως χρὴ ἡμῖν τοῖς στρατηγοῖς τὴν παρασκευὴν ἀθροισθῆναι. (Sch.) — ἄμεινον. Gr. 49, 6. — καὶ μή, χρῆναι. (Ba.) — ἀλλοφύλοις, τοῖς Ἐγεσταίοις. (Sch.)

πόλεμον οὐ προσήκοντα ἄρασθαι. καίτοι ἔγωγε καὶ τιμῶμαι 2
ἐκ τοῦ τοιούτου καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι
ὀρρωδῶ, νομίζων ὁμοίως ἀγαθὸν πολίτην εἶναι ὃς ἂν καὶ
τοῦ σώματός τι καὶ τῆς οὐσίας προνοῆται· μάλιστα γὰρ ἂν
ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' ἑαυτὸν βούλοιτο ὀρθοῦ-
σθαι. ὅμως δὲ οὔτε ἐν τῷ πρότερον χρόνῳ διὰ τὸ προτι-
μᾶσθαι εἶπον παρὰ γνώμην, οὔτε νῦν, ἀλλὰ ἣ ἂν γιγνώσκω
βέλτιστα, ἐρῶ. καὶ πρὸς μὲν τοὺς τρόπους τοὺς ὑμετέρους 3
ἀσθενὴς ἂν μου ὁ λόγος εἴη, εἰ τά τε ὑπάρχοντα σώζειν
παραινοίην καὶ μὴ τοῖς ἑτοίμοις περὶ τῶν ἀφανῶν καὶ μελ-
λόντων κινδυνεύειν· ὡς δὲ οὔτε ἐν καιρῷ σπεύδετε οὔτε
ῥᾴδιά ἐστι κατασχεῖν ἐφ' ἃ ὥρμησθε, ταῦτα διδάξω. φημὶ 10
γὰρ ὑμᾶς πολεμίους πολλοὺς ἐνθάδε ὑπολιπόντας καὶ ἑτέ-
ρους ἐπιθυμεῖν ἐκεῖσε πλεύσαντας δεῦρο ἐπαγαγέσθαι. καὶ
οἴεσθε ἴσως τὰς γενομένας ὑμῖν σπονδὰς ἔχειν τι βέβαιον,
αἳ ἡσυχαζόντων μὲν ὑμῶν ὀνόματι σπονδαὶ ἔσονται — οὕτω

---

§ 2. *καίτοι*. Der Zusammenhang: wenn aber ich Bedenklichkeiten anrege, so muß dies um so gewichtiger scheinen, da ich. — *ἐκ τοῦ τοιούτου* in Folge solcher Unternehmungen. vgl. 8, 47, 1. 51, 2 u. Gr. 50, 4 A. 6. — *περὶ τῷ*. Gr. 68, 32 A. vgl. zu 1, 60, 1. Plat. Phäd. 114, e: *θαρρεῖν χρὴ περὶ τῇ αὐτοῦ ψυχῇ*. vgl. Theät 148. Dagegen And. 2, 7: *οὐ περὶ ἐμοῦ μόνου ὀρρωδεῖν*. — *νομίζων* wiewohl ich übrigens der Meinung bin. (Ps.) vgl. zu 5, 32, 6 — — *ὁμοίως*. *ὅμως* Ba. — *ὁμοίως ἀγαθόν* in gleicher Weise gut (Ps.), nicht schlechter als der furchtlose. Bei Vielen galt Nikias für furchtsam; also hier wohl mit auch eine beiläufige Selbstvertheidigung. — *δι' ἑαυτόν*. Gr. 68, 23 A. — *ὀρθοῦσθαι, εὐτυχεῖν*. (Sch.) zu 2, 60, 2. vgl. 8, 64, 3. — *ὅμως δέ*, obgleich ich mich für den Krieg interessiren könnte. (Ba.) — *οὔτε νῦν*, *ἐρῶ* aus *εἶπον*. Umgekehrt Xen. An. 7, 7, 13: *προερῶν ἅπερ αὐτῷ*. Gr. 62, 4 A. 1. — *ἀλλὰ ἤ*. *ἄλλ' ἢ ἅ* Reiske. *ἀλλ' ἤ* ohne *ἅ* eine Hs. vgl zu 6, 8, 2.

§ 3. *πρός* in Betracht. Gr. 68, 39 A. 6. — *τοὺς τρόπους*, geschildert 1, 70, 2 ff. — *τοῖς ἑτοίμοις* mit dem Vorhandenen, es aufs Spiel setzend. zu 1, 70, 3 u. zu 2, 65, 4. — *ῥᾴδια* statt *ῥᾴδιον*. Gr. 55, 3 A. 7. — *κατασχεῖν, κτήσασθαι*. (Sch.) Gr. 53, 5 A. 2. — *ἐφ ἅ* wozu, was zu erlangen. vgl. 6, 24, 2. 69, 5 u. Kr. zu Xen. An. 1, 2, 2.

C. 10. § 1. *δεῦρο*. *δεύτερον* die meisten und besten Hss., die aber auch vorher *ὑμᾶς* haben. — *ἐπαγαγέσθαι* euch auf den Hals zu ziehen. (Hl.) vgl. 5, 98. — *ὀνόματι, μέχρις ὀνόματος, τουτέστιν οὐ βέβαιοι*. (Sch.) Gr. 46, 4 A. 3. — *οὕτω, ὥστε μὴ βεβαίους*

γὰρ ἐνθένδε τε ἄνδρες ἔπραξαν αὐτὰ καὶ ἐκ τῶν ἐναντίων — σφαλέντων δέ που ἀξιόχρεῳ δυνάμει ταχεῖαν τὴν ἐπιχείρησιν ἡμῖν οἱ ἐχθροὶ ποιήσονται, οἷς πρῶτον μὲν διὰ ξυμφορῶν ἡ ξύμβασις καὶ ἐκ τοῦ αἰσχίονος ἢ ἡμῖν κατ' ἀνάγκην ἐγένετο, ἔπειτα ἐν αὐτῇ ταύτῃ πολλὰ τὰ ἀμφισβητούμενα ἔχο-
2 μεν. εἰσὶ δ' οἳ οὐδὲ ταύτην πω τὴν ὁμολογίαν ἐδέξαντο, καὶ οὐχ οἱ ἀσθενέστατοι· ἀλλ' οἱ μὲν ἄντικρυς πολεμοῦσιν, οἱ δὲ καὶ διὰ τὸ Λακεδαιμονίους ἔτι ἡσυχάζειν δεχημέροις σπονδαῖς καὶ αὐτοὶ κατέχονται. τάχα ἂν δ' ἴσως, εἰ δίχα ἡμῶν τὴν δύναμιν λάβοιεν, ὅπερ νῦν σπεύδομεν, καὶ πάνυ ἂν ξυνεπίθοιντο μετὰ Σικελιωτῶν, οὓς πρὸ πολλῶν ἂν ἐτι-
3 μήσαντο ξυμμάχους γενέσθαι ἐν τῷ πρὶν χρόνῳ. ὥστε χρὴ σκοπεῖν τινα αὐτὰ καὶ μὴ μετεώρῳ τε πόλει ἀξιοῦν κινδυνεύειν καὶ ἀρχῆς ἄλλης ὀρέγεσθαι πρὶν ἣν ἔχομεν βεβαιωσώμεθα, εἰ Χαλκιδῆς γε οἱ ἐπὶ Θρᾴκης, ἔτη τοσαῦτα ἀφεστῶτες ἀφ' ἡμῶν, ἔτι ἀχειρωτοί εἰσι καὶ ἄλλοι τινὲς κατὰ

αὐτὰς τυγχάνειν. (Sch.) — ἐνθένδε ἄνδρες Männer von hier. (Sch.) vgl. 6, 38, 1. Gr. 50, 8 A. 19. Gemeint iſt Alkibiades mit ſeinem Anhange. — αὐτά für αἰτάς die beſten Hſn., τὰ περὶ τὰς σπονδάς. vgl. zu αληθῆ 3, 3, 1 (Schömann.) αὐτάς würde ἐτάραξαν erfordern. — ἐκ τῶν aus der Zahl der. Gr. 68, 17 A. 9. — σφαλέντων. Gr. 47, 4 A. 2 u. 3. — δέ που. δέ haben nur einige ſchlechte Hſn. — διά auf Veranlaſſung. Gr. 68, 22 A. 4. — ἐκ τοῦ αἰσχίονος von einer ſchimpflicheren Lage aus. vgl. 1, 39, 1. Αὐτοὶ γὰρ ἐδεήθησαν διὰ τὸ πταῖσαι. (Sch.) vgl. 4, 117, 3. — κατ' ἀνάγκην nothgedrungen, eine Erläuterung des ἐκ τοῦ αἰσχίονος. — ἀμφισβητούμενα 5, 35. (Hk.) u. 42, 3. (Pp.)

§ 2. οὐχ οἱ ἀ. die mächtigſten. zu 1, 5, 1. — πολεμοῦσιν, Κορίνθιοι. (Sch.) 5, 32, 5. (Ds.) Oder die Diktidier 5, 35, 1 und Perdikkas 5, 83, 4? — οἱ δὲ καί. Gr. 69, 32 A. 15. — δεχημέροις σπονδαῖς 5, 26, 3. 32, 4. 6, 7, 4. (Ds.) — καὶ αὐτοί, wie die Lakedämonier κατέχονται (ohne δεχημέροις σπονδαῖς). zu 5, 6, 3. — ἂν δ' für δ' ἄν die beſten Hſn. zu 6, 2, 4. — δίχα, διῃρημένην εἰς δύο μέρη. (Sch.) einen Theil hier, einen in Sikelien. — ὅπερ. Gr. 46, 6 A. 3, vgl. 6, 79, 2 mit 1, 141, 5. 5, 16, 2 u. 6, 39, 2. — καὶ πάνυ. Gr. 69, 32 A 18. — ξυνεπίθοιντο. ξυνεπιθεῖντο nur ſchlechte Hſn. — πρό. Gr. 68, 15 A. 2.

§ 3. τινά man. (Didot.) Gr. 51, 16 A. 7. — αὐτά dieſe Verhältniſſe. — μετεώρῳ, τῆς πόλεως ἡμῶν οὐκ ἐν τῷ ἀσφαλεῖ ὁρμούσης. μετενήνεκται δὲ τὸ ὄνομα ἀπὸ τῶν πλοίων τῶν μήπω ὡρμισμένων. (Sch.) — τε πόλει. τῇ πόλει Kr. — πρὶν ohne ἄν. Gr. 54, 17 A. 3. — εἰ X. γε. Ein Beweis ſcheint wenigſtens darin zu liegen daß die Ch. Gr. 65, 5 A. 7. — ἐπί. Gr. 69, 40 A. 2. —

τὰς ἠπείρους ἐνδοιασιῶς ἀκροῶνται. ἡμεῖς δὲ Ἐγεσταίοις δὴ οὖσι ξυμμάχοις ὡς ἀδικουμένοις ὀξέως βοηθοῦμεν, ὑφ' ὧν δ' αὐτοί, πάλαι ἀφεστώτων, ἀδικούμεθα ἔτι, μέλλομεν ἀμύνεσθαι; καίτοι τοὺς μὲν κατεργασάμενοι κἂν κατάσχοιμεν· τῶν δ' εἰ καὶ κρατήσαιμεν, διὰ πολλοῦ γε καὶ πολλῶν ὄντων χαλεπῶς ἂν ἄρχειν δυναίμεθα. ἀνόητον δ' ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας τε μὴ κατασχήσει τις καὶ μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται. Σικελιῶται δ' ἄν μοι δοκοῦσιν, ὥς γε νῦν ἔχουσι, καὶ ἔτι 2
ἂν ἧσσον δεινοὶ ἡμῖν γενέσθαι, εἰ ἄρξειαν αὐτῶν Συρακόσιοι, ὅπερ οἱ Ἐγεσταῖοι μάλιστα ἡμᾶς ἐκφοβοῦσιν. νῦν μὲν γὰρ κἂν ἔλθοιεν ἴσως Λακεδαιμονίων ἕκαστοι χάριτι, ἐκείνως δ' οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι· ᾧ γὰρ ἂν τρόπῳ 3
τὴν ἡμετέραν μετὰ Πελοποννησίων ἀφέλωνται, εἰκὸς ὑπὸ τῶν

ἐνδοιασιῶς, οὐ βεβαίως. (Sch.) vgl. 8, 87, 4, Her. 7, 174 u. οἱ ἐνδοιάζοντες φίλοι 6, 91, 4. vgl. zu 1, 122, 3. — δή, δῆθεν. (Sch.) Dagegen ist die Stellung; also: eben, gerade. — βοηθοῦμεν. Gr. 53, 1 A. 9. — ὑφ' ὧν. Gr. 51, 13 A. 2. — αὐτοί für αὐτῶν Reiske. — ἔτι, sonst zu μέλλομεν gezogen, gehört wohl zu ἀδικούμεθα als Gegensatz zu πάλαι, wie vorher ἔτι ἀχείρωτοί εἰσιν. — ἀμύνεσθαι; Sonst steht hier ein Punct und nach βοηθοῦμεν ein Kolon.

C. 11. § 1. κατεργασάμενοι überwältigen, wie 4, 85, 2. 6, 33; 5. 86, 2. — τῶν δέ, τῶν Σικελιωτῶν. (Sch.) — διὰ πολλοῦ die weit entfernt. zu 2, 29, 3. — ὧν ist zu beiden Verben Object, wie der Ge. 7, 5, 3 E. Gr. 60, 5 A. 2. — τε — καί. Gr. 69, 59 A. 1. Ueber die Verbindung des selbstständigen Satzes mit dem relativen. Gr. 59, 2 A. 6. — ἐν τῷ ὁμοίῳ in der gleichen Lage. (Hl.) Gr. 43, 4 A. 22. Ueber καί als Gr. 69, 32 A. 5. vgl. 6, 16, 4. 21, 2. ὁμοίως καὶ πρίν 7, 28, 4. — ἔσται. Dann nämlich werden wir außer den gemachten Opfern noch neue Feinde haben 6, 10, 1.

§ 2. ἄν — ἄν. Gr. 69, 7 A. 3. — καὶ ἔτι sogar noch. (Ba.) οὔτε νῦν εἰσι δεινοί, καὶ ἔτι ἧττον ἔσονται δεινοί. (Sch.) — ἄρξειαν die Herrschaft erlangt haben möchten. Gr. 53, 5 A. 2 — ὅπερ ἡμᾶς ἐκφοβοῦσι, wie ὃν φόβον ἡμᾶς ἐκφοβοῦσιν. Gr. 46, 11 A. 2. Ueber die Sache 6, 6, 3. — ἕκαστοι einzelne Staaten; oder ὡς ἕκαστοι? — ἐκείνως, ἤγουν εἰ ἀρχθεῖεν ὑπὸ Συρακουσίων. (Sch.) zu 1, 77, 2. 3, 46, 2. — ἀρχὴν ἐπὶ ἀρχήν eine herrschende Macht gegen die andere, die Syrakosier gegen die Athener. Gr. 50, 4 A. 9. — στρατεῦσαι. Gr. 53, 1 A. 10. vgl. 1, 81, 2. 2, 11, 5. 73, 2. 3, 10, 3. 40, 4. 4, 85, 4. 5, 104. 6, 11, 3. 49, 2.

§ 3. ἀφέλωνται. ἀφέλοιντο? „Erg. ἡμᾶς. vgl. 8, 76, 3." (Pr.)

αὐτῶν καὶ τὴν σφετέραν διὰ τοῦ αὐτοῦ καθαιρεθῆναι. ἡμᾶς δ' ἂν οἱ ἐκεῖ Ἕλληνες μάλιστα μὲν ἐκπεπληγμένοι εἶεν, εἰ μὴ ἀφικοίμεθα, ἔπειτα δὲ καὶ εἰ δείξαιμεν τὴν δύναμιν δι' ὀλίγου ἀπέλθοιμεν· εἰ δὲ σφαλείημέν τι, τάχιστ' ἂν ὑπερ-
4 ιδόντες μετὰ τῶν ἐνθάδε ἐπίθοιντο. τὰ γὰρ διὰ πλείστου πάντες ἴσμεν θαυμαζόμενα καὶ τὰ πεῖραν ἥκιστα τῆς δόξης δόντα. ὅπερ νῦν ὑμεῖς ὦ Ἀθηναῖοι ἐς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πεπόνθατε· διὰ τὸ παρὰ γνώμην αὐτῶν πρὸς ἃ ἐφοβεῖσθε τὸ πρῶτον περιγεγενῆσθαι καταφρονήσαντες
5 ἤδη καὶ Σικελίας ἐφίεσθε. χρὴ δὲ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι, ἀλλὰ τὰς διανοίας κρατήσαντας θαρ-

---

Gr. 60, 7 A. 1. — *τῶν αὐτῶν, τῶν Πελοποννησίων.* (Sch.) — *διὰ τοῦ αὐτοῦ, τρόπου* (Sch.) Nämlich als angebliche Befreier der Hellenen. (Pp.) *Διὰ τρόπου* findet sich sonst bei Thuk. schwerlich und überhaupt wohl selten. — *ἡμᾶς* Gr. 46, 10 A. 1. — *μάλιστα μέν* am meisten, anders als es gewöhnlich steht. Gr. 65, 5 A. 12. — *δείξαντες* 6, 47, 2. (Ds) — *δι' ὀλίγου, ταχέως.* (Sch.) Passender verbindet Hl. es mit *δείξαντες* in der Nähe zeigen, um sie mehr als durch den bloßen Ruf zu schrecken. zu 2, 89, 7. — *ὑπεριδόντες, καταφρονήσαντες ἡμῶν.* (Sch.) zu 5, 6, 3. 43, 2. — *ἐπίθοιντο. ἐπιθεῖντο* schlechte Hsn.

§ 4. *τὰ διὰ πλείστου* das Entlegenste. vgl. 3, 94, 4. Gr. 50, 5 A. 8 u. 68, 22 A. 3. Tac. A. 1, 47: major e longinquo reverentia. (Didot.) Agric. 30: omne ignotum pro magnifico est. (Hk.) — *πεῖραν τῆς δόξης διδόναι* Erprobung des Rufes gewähren, in wiefern demselben die wirkliche Macht entspricht. (St.) — *ὅπερ* will Ba., *τὰ γὰρ — δόντα* parenthetisch denkend, auf *ὑπεριδόντες ἂν ἐπίθοιντο* beziehen. Mir scheint ein Satz ausgefallen zu sein, etwa: Je mehr man frühere Ueberschätzung bemerkt, desto größere Mißachtung pflegt einzutreten. — *ὅπερ ἐς Λ. πεπόνθατε* wie es euch mit den L. ergangen ist. — *παρὰ γνώμην, παρ' ἐλπίδα.* (Sch.) — *αὐτῶν* hängt von *περιγεγενῆσθαι* ab. (Sch.) — *πρὸς ἃ* in Bezug auf das was. vgl. 6, 64, 3 u. Gr. 51, 13 A. 6. Doch kann man auch auflösen *πρὸς ταῦτα πρὸς ἃ.* Gr. 51, 13 A. 7. vgl. Lyk. Leokr. 129: *εἰς αὐτὸ τοῦτο τὴν τιμωρίαν τάξαντες εἰς ὃ μάλιστα φοβούμενοι τυγχάνουσιν.* Bezeichnet wird der Lakedämonier Ueberlegenheit im Landkriege. vgl. 1, 143, 4. 4, 12, 3. — *ἐφίεσθε* exegetisch. Gr. 59, 1 A. 5. vgl. Heindorf zu Plat. Phäd. 36. Die besten Hsn. haben *ἐφίεσθαι*, was sich nur hart an *ὅπερ πεπόνθατε* anschließen ließe.

§ 5. *πρὸς τάς* in Bezug auf, hier so viel als *διὰ τάς*, wie 8, 2, 1 vgl. mit 5, 14, 2. — *τύχας* Unfälle, wie 1, 84, 3. — *τὰς διανοίας, δηλονότι τῶν πολεμίων* (Sch.) Also: über die Pläne, Entwürfe der Feinde obsiegend unbesorgt, zuversichtlich

ρεῖν. μηδὲ Λακεδαιμονίους ἄλλο τι ἡγήσασθαι ἢ διὰ τὸ αἰσχρὸν σκοπεῖν ὅτῳ τρόπῳ ἔτι καὶ νῦν, ἢν δύνωνται, σφήλαντες ἡμᾶς τὸ σφέτερον ἀπρεπὲς εὖ θήσονται, ὅσῳ καὶ περὶ πλείστου καὶ διὰ πλείστου δόξαν ἀρετῆς μελετῶσιν. ὥστε οὐ περὶ τῶν ἐν Σικελίᾳ Ἐγεσταίων ἡμῖν, ἀνδρῶν βαρβάρων, ὁ ἀγών, εἰ σωφρονοῦμεν, ἀλλ' ὅπως πόλιν δι' ὀλιγαρχίας ἐπιβουλεύουσαν ὀξέως φυλαξώμεθα. καὶ μεμνῆσθαι χρὴ 12
ἡμᾶς ὅτι νεωστὶ ἀπὸ νόσου μεγάλης καὶ πολέμου βραχύ τι λελωφήκαμεν, ὥσιε καὶ χρήμασι καὶ τοῖς σώμασιν ηὐξῆσθαι· καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐνθάδε εἶναι ἀναλοῦν καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων τῶνδε ἐπικουρίας δεομένων, οἷς τό τε ψεύσασθαι καλῶς χρήσιμον καὶ τῷ τοῦ πέλας κινδύνῳ, αὐτῶν λόγους μόνον παρασχομένους, ἢ κατορθώσαντας χάριν μὴ ἀξίαν εἰδέναι ἢ πταίσαντάς που τοὺς φίλους ξυναπολέσαι.

---

sein. vgl. 1, 84, 3. 140, 2. 144, 1. — *μηδὲ — σκοπεῖν, μὴ νομίζετε Λ. ἄλλο τι σκοπεῖν ἢ διὰ τὸ αἰσχρῶς ἐσπεῖσθαι σπεύδειν.* (Sch.) — *ἄλλο τι.* Gr. 62, 3 A. 7. — *ἔτι καὶ νῦν,* dem Frieden zu Trotz. — *ἀπρεπές, ἀδοξίαν.* (Sch.) vgl 5, 46, 1. (Pp.) — *εὖ θήσονται, ἀναμαχέσονται.* (Sch.) wohl bestellen, abthun. zu 1, 75, 2. (76, 1.) Eig. ist hier eine Brachylogie für: *τὰ ἑαυτῶν, ἀπρεπῆ ὄντα, εὖ θήσονται.* — *ὅσῳ* da. Gr. 51, 10 A. 5 u. zu 1, 68, 2. — *περὶ πλείστου, ὑπὲρ πάντα τὰ ἄλλα.* (Sch.) Gr. 68, 31 A. 5. — *διὰ πλείστου, ἐν πλείστῳ χρόνῳ.* (Sch.) vgl. zu 1, 77, 4. 4, 95, 1. — *μελετῶσιν* anstreben. — *δι' ὀλιγαρχίας* unter einer Oligarchie. Dem. 15, 19: *οὐκ ἔστιν ὅπως, εἰ δι' ὀλιγαρχίας ἅπαντα συστήσεται, τὸν παρ' ὑμῖν δῆμον ἐάσουσιν.* vgl. Ind. Dem. — *ἐπιβουλεύουσαν, ἡμῖν δηλονότι.* (Sch.) — *ὀξέως* gehört wohl zu *φυλαξώμεθα.* (Hl.) vgl. 6, 10, 3. — *φυλαξώμεθα. φυλαξόμεθα* eine Hs.

C. 12. § 1. *λελωφήκαμεν.* Soph. Aj. 61: *τοῦδ' ἐλώφησεν πόνου.* (Bl.) vgl. Lex. Plat. Ein seltenes Wort, bei Thuk. nur noch und anders 2, 49, 2 u. 7, 77, 3. — *τοῖς σώμασιν.* vgl. 6, 26, 2. — *εἶναι, ἐξεῖναι.* (Sch.) vgl. 4, 24, 3. 5, 40, 2. 7, 11, 3. (Pp.) Unpassend; ich lasse es mit Hf. von *μεμνῆσθαι* abhängen. Denn es mit einigen Hsn. zu tilgen wäre bedenklich. — *φυγάδων.* Mit Bezug auf die Leontiner. vgl. 6, 19 u. Plut. Nic. 12. — *καλῶς, ἤτοι πιθανῶς.* (Sch.) zu 1, 5, 2. — *τοῦ πέλας.* Gr. 44, 1 A. 6 u. zu 1, 32, 3. — *κινδύνῳ* durch, mit Gefahr, auf *κατορθώσαντας* und *πταίσαντας* zu beziehen. (Ds.) vgl. § 2. — *αὐτῶν* Bk. *αὐτῶν* für *αὐτούς* die besten Hsn. Der Sinn: von sich, aus ihren Mitteln. (Wex?) — *ξυναπολέσαι* für *ξυναπολέσθαι* Reiske. Der Inf. hängt noch von *χρήσιμον* ab. Da dies aber in der gewöhnlichen Bedeutung nicht mehr paßt, so erklärt es Ds. *ἐν χρήσει ὄν, σύνηθες* und Pp. meint daß es wenigstens zu *ξυναπολέσαι* in diesem Sinne zu denken sei. Doch diese Erklä-

2 εἴ τέ τις ἄρχειν ἄσμενος αἱρεθεὶς παραινεῖ ὑμῖν ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος ἔτι ὢν ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν καὶ ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι, νομίσατε δὲ τοὺς τοιούτους τὰ μὲν δημόσια ἀδικεῖν τὰ δὲ ἴδια ἁναλοῦν, καὶ τὸ πρᾶγμα μέγα εἶναι καὶ μὴ οἷον νεωτέρῳ
13 βουλεύσασθαι τε καὶ ὀξέως μεταχειρίσαι. οὓς ἐγὼ ὁρῶν νῦν ἐνθάδε τῷ αὐτῷ ἀνδρὶ παρακελευστοὺς καθημένους φοβοῦμαι καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύομαι μὴ καταισχυνθῆναι, εἴ τῳ τις παρακάθηται τῶνδε, ὅπως μὴ δόξῃ ἄν
2 μὴ ψηφίζηται πολεμεῖν, μαλακὸς εἶναι, μηδ', ὅπερ ἂν αὐτοὶ πάθοιεν, δυσέρωτας εἶναι τῶν ἀπόντων, γνόντας ὅτι ἐπιθυ-

---

rung ſcheint weder dem Sprachgebrauche des Th. noch anderer Attiker gemäß zu ſein. Es ſchwebte hier wohl allgemein aus *χρήσιμον* ein *οὐδὲν διαφέρει* vor. Oder iſt *χρήσιμον* zu tilgen und *οἵων τε* für *οἷς τό τε* zu leſen?

§ 2. *εἴ τε*. Gr. 69, 25 A. 2. — *τις*. *ταῦτα διὰ τὸν συστράτηγον Ἀλκιβιάδην*. (Sch.) — *ἄσμενος αἱρεθείς*. zu 6, 8, 3. — *ἄλλως τε* iſt zu *παραινεῖ* anzuſchließen. — *ἐς τό, ἀντὶ τοῦ ἤ ὥστε*. (Sch.) — *ἱπποτροφίας*, mit der er als Strateg beſonders glänzend zu prunken gedenkt. Sonſt vermuthete ich: *ἀπὸ τῆς στρατηγίας ὥσπερ ἀπὸ τῆς ἱπποτροφίας*. Ueber die Sache zu 15, 2. — *ὠφεληθῇ ἐκ*, wie Lyſ. 21, 18. 27, 7. Dem. 52, 11: *ἐκ τοῦ πράγματος* (*οὐδὲν*) *ζημιώσομαι*. — *ἐμπαράσχητε* gewähret; *ἐμ* — ſcheint hier in der Bedeutung wie in *ἔνεσιι* ſyn. mit *ἔξεστι* zu ſtehen. vgl. 7, 56, 3. — *ἐλλαμπρύνεσθαι, ἐναλαζονεύεσθαι* (Sch.) vgl. 6, 16, 3 u. Lennep z. Phal. 88. — *οἷον νεωτέρῳ* geeigenſchaftet für einen Jüngeren um. vgl. Gr. 55, 3 A. 5. Auf fällt jedoch der Da. — *βουλεύσασθαι, περὶ αὐτοῦ*. (Sch.) — *μεταχειρίσαι*. zu 1, 13, 2.

C. 13. § 1. *οὕς* bezieht ſich, wie auch *τοῖς πρεσβυτέροις* zeigt, auf *νεωτέρῳ*. Da dies nicht bloß einen Einzelnen bezeichnet, ſo darf der Plural nicht auffallen. — *παρακελευστούς, παρακεκλημένους*. (Sch.) Wohl *ἑταῖροι* des Alkibiades Ueber den Accent Lobeck Parall. p 489. *παρακελευστάς* Reiske u. Kr. — *καταισχυνθῆναι* aus Ehrgefühl ſcheu zu werden, ſo daß ſie gegen den Krieg zu ſtimmen nicht wagen, aus Furcht daß ꝛc. (St.) — *τῶνδε* läßt St. von *τῳ* abhängen, dies auf die Jüngern beziehend. Wenn man *τις* nicht auf die Aeltern beziehe, ſcheine es, meint Pp., daß der Singular *δόξῃ* nicht habe geſetzt werden können. vgl. jedoch Gr. 61, 4 A. 1. Indeß ſpricht für dieſe Erklärung *τῶνδε*, das nicht füglich auf die Aelteren gehen kann. — *ὅπως μή* ſteht ähnlich nach *φοβεῖσθαι* Xen. Mem. 2, 9, 2 u. Plat. Euthyphr. 4, e (Engelhardt.) — *δόξῃ δόξει* eine Hſ.

μίᾳ μὲν ἐλάχιστα κατορθοῦνται προνοίᾳ δὲ πλεῖστα, ἀλλ' ὑπὲρ τῆς πατρίδος ὡς μέγιστον δὴ τῶν πρὶν κίνδυνον ἀναρριπτούσης ἀντιχειροτονεῖν καὶ ψηφίζεσθαι τοὺς μὲν Σικελιώτας οἱσπερ νῦν ὅροις χρωμένους πρὸς ἡμᾶς, οὐ μεμπτοῖς, τῷ τε Ἰονίῳ κόλπῳ, παρὰ γῆν ἤν τις πλέῃ, καὶ τῷ Σικελικῷ, διὰ πελάγους, τὰ αὑτῶν νεμομένους καθ' αὑτοὺς καὶ ξυμφέρεσθαι· τοῖς δ' Ἐγεσταίοις ἰδίᾳ εἰπεῖν, ἐπειδὴ ἄνευ Ἀθηναίων 3
καὶ ξυνῆψαν πρὸς Σελινουντίους τὸ πρῶτον πόλεμον, μετὰ σφῶν αὐτῶν καὶ καταλύεσθαι· καὶ τὸ λοιπὸν ξυμμάχους μὴ ποιεῖσθαι, ὥσπερ εἰώθαμεν, οἷς κακῶς μὲν πράξασιν ἀμυνοῦμεν, ὠφελίας δ' αὐτοὶ δεηθέντες οὐ τευξόμεθα. καὶ σὺ 14
ὦ πρύτανι ταῦτα, εἴπερ ἡγεῖ σοι προσήκειν κήδεσθαί τε τῆς πόλεως καὶ βούλει γενέσθαι πολίτης ἀγαθός, ἐπιψήφιζε καὶ γνώμας προτίθει αὖθις Ἀθηναίοις, νομίσας, εἰ ὀρρωδεῖς τὸ ἀναψηφίσαι, τὸ μὲν λύειν τοὺς νόμους μὴ μετὰ τοσῶνδ' ἂν μαρτύρων αἰτίαν σχεῖν, τῆς δὲ πόλεως βουλευσαμένης ἰατρὸς

---

§ 2. *αὐτοί*, οἱ *νεώτεροι*. (Ps) — *κατορθοῦνται*, οἱ *ἄνθρωποι*. (Ba.) Gr. 61, 4 A. 7. vgl. zu 2. 60, 2. Doch findet sich *κατορθοῦσθαι* bei Thuk. sonst nur passiv, 2, 65, 4 4, 76, 4. — *τῶν πρίν*. Gr. 47, 28 A. 10 u. zu 1, 1, 1. — *οὐ μεμπτοῖς* über die wir uns nicht beschweren dürfen, mit denen wir zufrieden sein können. vgl. Her. 7, 48 u. Arr. An. 5, 25, 3. — *παρὰ γῆν ἤν*. Vor *παρά* das Komma dachte schon St. vgl. 6, 18, 4 49, 2 u. Gr. 54, 17 A. 7. — *τῷ Σικελικῷ*, *πόντῳ* aus *κόλπῳ*. Ueber dessen Umfang Strabo 2, 5 p. 123. (Pp.) — *διὰ πελάγους*, *ἤν τις πλέῃ* (St.) — *τὰ αὑτῶν νεμομένους* im Genuß ihrer Besitzthümer. zu 1, 2, 1. — *ξυμφέρεσθαι* ihre Angelegenheiten ausmachen. (St.) So findet sich das Wort selten, doch Her. 1, 196 u. bei Dio C. 146, 23. 424, 11 (Bl.) 3. - *εἰπεῖν* hängt gleichfalls von *ἀντιπαρακελεύομαι* ab. — *καὶ* vor *ξυνῆψαν* entspricht dem *καὶ* vor *καταλύεσθαι*. Gr. 69, 32 A. 13. — *μετὰ σφῶν αὐτῶν* auf ihre eigne Hand, ohne uns; skoptisch. *οἷς ἀμυνοῦμεν* solche Menschen denen wir helfen müssen. Gr. 53, 7 A. 7 u. 8. — *ὠφελίας* für *ὠφελείας* Pk.

C. 14. *ταῦτα* darüber. Kr. zu Xen. An. 5, 1, 14. — *κήδεσθαί τε. κ. π* möchte man erwarten; doch s. zu 5, 11, 2. — *ἐπιψήφιζε* berufe das Volk zur Abstimmung. vgl. 1, 87, 1. (Dr.) Auch hiezu gehört *αὖθις*. (Kr.) — *γνώμας προτίθει* lege es zur Besprechung vor. zu 1, 139, 3. — *ἀναψηφίσαι*, *αὖθις ἐπιψηφίσαι*. (Ba.) — *τὸ λύειν* ist Subjectsac. (St.) Dann würde aber doch zu erwarten sein *αὐτὸς δὲ τῆς πόλεως*. Daher denke ich *ἔξεις τὸ λύειν αἰτίαν*, *τὸ λύειν σοι αἰτία ἔσται*. vgl. 4, 114, 5. — *κακῶς* vor *βουλευσαμένης* wird nach den besten Hss. getilgt. Vielleicht lautete das Gesetz etwa: *τῆς πόλεως*

ἂν γενέσθαι, καὶ τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι, ὃς ἂν τὴν πατρίδα ὠφελήσῃ ὡς πλεῖσια ἢ ἐχὼν εἶναι μηδὲν βλάψῃ."

15 Ὁ μὲν Νικίας τοιαῦτα εἶπεν, τῶν δὲ Ἀθηναίων παριόντες οἱ μὲν πλεῖστοι στρατεύειν παρῄνουν καὶ τὰ ἐψηφισμένα μὴ λύειν, οἱ δέ τινες καὶ ἀντέλεγον. ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν Ἀλκιβιάδης ὁ Κλεινίου, βουλόμενος τῷ τε Νικίᾳ ἐναντιοῦσθαι, ὢν καὶ ἐς τἆλλα διάφορος τὰ πολιτικὰ καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη, καὶ μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν καὶ ἐλπίζων Σικελίαν τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι καὶ τὰ ἴδια ἅμα εὐτυχήσας χρή-
2 μασί τε καὶ δόξῃ ὠφελήσειν. ὢν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο ἔς τε τὰς ἱπποτροφίας καὶ τὰς ἄλλας δαπάνας· ὅπερ καὶ καθεῖλεν ὕστερον τὴν τῶν Ἀθηναίων πόλιν οὐχ
3 ἥκιστα. φοβηθέντες γὰρ αὐτοῦ οἱ πολλοὶ τὸ μέγεθος τῆς τε κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν δίαιταν καὶ τῆς διανοίας ὧν καθ' ἓν ἕκαστον ἐν ὅτῳ γίγνοιτο ἔπρασσεν, ὡς τυραννίδος ἐπιθυμοῦντι πολέμιοι καθέστασαν, καὶ δημοσίᾳ κράτιστα διαθέντι τὰ τοῦ πολέμου ἰδίᾳ ἕκαστοι τοῖς ἐπιηδεύμασιν αὐτοῦ ἀχθεσθέντες καὶ ἄλλοις ἐπιτρέψαντες οὐ διὰ

βουλευσαμένης μὴ ἐξεῖναι ἀναψηφίζειν. — ὃς ἄν. Gr. 51, 13 A. 11 u. zu 2, 44, 1. 6, 16, 4. — ἐχὼν εἶναι. Gr. 55, 1 A. 1. vgl. 2, 89, 5. 7, 81, 3.

C. 15. § 1. μέν. zu 1, 48, 2. — τῷ τε N. τέ bezieht ſich auf καί vor μάλιστα, geſtellt als ob ἐπιθυμῶν nicht hinzugefügt werden ſollte. (Hk.) zu 5, 11, 2. — τἆλλα — τὰ πολιτικά. Gr. 50, 9 A. 2. vgl. 1, 90, 4. — διαβόλως, ἤγουν ἐπὶ διαβολῇ καὶ κατηγορίᾳ. (Sch.) So ſteht, unſerm ſchlecht machen entſprechend, (προ)διαβάλλειν 6, 75, 3. 83, 3, διαβολή 87, 1. 90, 1. — αὐτοῦ, τοῦ στρατηγῆσαι. (Bs.) αὑτοῦ eine Hſ.

§ 2. ὑπό. Gr. 68, 43 A. 2. vgl. zu 1, 130, 1. — αἱ ἱπποτροφίαι τῶν μακρὰς οὐσίαις κεκτημένων εἰσίν. Ariſtot. Pol. 6, 4, 3. vgl. Iſokr. 16, 33, Dem. 18, 320. 42, 24 u. Sch. zu Pind. I. 3, 32. (Bl.)

§ 3. τῆς τε — δίαιταν, τὸ παρανόμως διαιτᾶσθαι ἢ τὸ παρανόμως τῷ ἑαυτοῦ σώματι χρῆσθαι κατὰ τὰς διατριβάς. (Sch.) — παρανομία Ueberhebung, wie 6, 28, 2 u. Andok. g. Alk. 30. — ὧν hängt wie διανοίας von μέγεθος ab: ſeines Geiſtes hohes Streben in den Dingen die. Gr. 47, 9 A. 6. Her. 6, 2: ὑπέδυνε τῶν Ἰώνων τὴν ἡγεμονίαν τοῦ πρὸς Δαρεῖον πολέμου. — ἐν ὅτῳ γίγνοιτο an welchem Geſchäft, Unternehmen er als Leiter Theil nahm. — διαθέντι für διαθέντα nur eine Hſ. — ἐπιτρέψαντες, τὰ τοῦ

μακροῦ ἔσφηλαν τὴν πόλιν. τότε δ' οὖν παρελθὼν τοῖς Ἀθηναίοις παρήνει τοιάδε.

"Καὶ προσήκει μοι μᾶλλον ἑτέρων ὦ Ἀθηναῖοι ἄρχειν 16
— ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας καθήψατο — καὶ ἄξιος ἅμα νομίζω εἶναι. ὧν γὰρ πέρι ἐπιβόητός εἰμι, τοῖς μὲν προγόνοις μου καὶ ἐμοὶ δόξαν φέρει ταῦτα, τῇ δὲ πατρίδι καὶ ὠφελίαν. οἱ γὰρ Ἕλληνες καὶ ὑπὲρ 2
δύναμιν μείζω ἡμῶν τὴν πόλιν ἐνόμισαν τῷ ἐμῷ διαπρεπεῖ τῆς Ὀλυμπίαζε θεωρίας, πρότερον ἐλπίζοντες αὐτὴν καταπεπολεμῆσθαι, διότι ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδείς πω ἰδιώτης πρότερον, ἐνίκησα δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην καὶ τἆλλα ἀξίως τῆς νίκης παρεσκευασάμην. νόμῳ 3
μὲν γὰρ τιμὴ τὰ τοιαῦτα, ἐκ δὲ τοῦ δρωμένου καὶ δύναμις ἅμα ὑπονοεῖται. καὶ ὅσα αὖ ἐν τῇ πόλει χορηγίαις ἢ ἄλλῳ τῳ λαμπρύνομαι, τοῖς μὲν ἀστοῖς φθονεῖται φύσει, πρὸς δὲ τοὺς ξένους καὶ αὕτη ἰσχὺς φαίνεται. καὶ οὐκ ἄχρηστος ἥδ' ἡ 4

πολέμου. (Sch.) — τοῖς Ἀθηναίοις zwingt die Stellung mit παρελθών zu verbinden. vgl. 6, 19. 32, 3. 35. 72, 1.

C. 16. § 1. καὶ προσήκει. zu 2, 60, 1. — ἑτέρων. Gr. 47, 27 A. 1 u. zu 1, 85, 2. Seine Anſprüche (προσήκει) entwickelt er § 1—5; ſeine Würdigkeit § 6. — ἐπιβόητος, ὁ μοχθηρὰν ἔχων φήμην Ammon. p. 42. Ein ſeltenes Wort, das Dio C. einige Male gebraucht. (Bl.) vgl. § 6.

§ 2. μείζω für μεγάλην als ob τῆς δυνάμεως vorherginge. (Bl.) — τῷ ἐμῷ διαπρεπεῖ, διαπρέψαντος ἐμοῦ. (Sch.) Der Ausdruck iſt ungewöhnlich; über ἐμός Gr. 51, 4 A. 7. vgl. 2, 61, 2. Er bezieht ſich auch auf das Gefolge und den ſonſtigen Aufwand bei der Feſtſchau, wahrſcheinlich Dl. 89. — καταπεπολεμῆσθαι. καταπεπολεμήσθαι? — ἅρματα. Daß vier Wörter hinter einander auf α endigen iſt denn doch wohl nur zufällig, hier gewiß nicht kakophon. vgl. Lobeck Parall. p. 54. — καθῆκα. Lob. z. Phryn p. 398. (Gö.) vgl. Kr. zu X. An. 4, 8, 27. — ἐνίκησα, πρῶτος ἐγενόμην Iſokr. 16, 34, Her. 6, 122: ἵππῳ νικήσας, τεθρίππῳ δὲ δεύτερος γενόμενος. — τέταρτος. τρίτος Iſokr. u. Eur. bei Plut. Alk. 11. — ἀξίως. Iſokr.: ἐν ταῖς θυσίαις καὶ ταῖς ἄλλαις ταῖς περὶ τὴν ἑορτὴν δαπάναις ἀφειδῶς διέκειτο καὶ μεγαλοπρεπῶς. vgl. die Erkl. zu Athen. 1, 3 (C. 5.)

§ 3. νόμῳ dem Herkommen nach. (Hl.?) — ἄλλῳ τῳ, ἐξουσίοις ἑορτασίμοις ἀναλώμασι. (Sch.) Gymnaſiarchien und Strierarchien erwähnt Iſokr. 16, 35. — λαμπρύνομαι. vgl. 12, 2. — αὕτη für αὐτή gute Hſn. Gr. 61, 7.

§ 4. ἥδ' ἡ ἄνοια für ἡ διάνοια Sch., Muret u. einige Hſn. vgl. 6, 17, 1. Der ſtarke Ausdruck war vom Nikias zwar nicht öffent-

ἄνοια ὃς ἂν τοῖς ἰδίοις τέλεσι μὴ ἑαυτὸν μόνον ἀλλὰ καὶ τὴν πόλιν ὠφελῇ, οὐδέ γε ἄδικον ἐφ' ἑαυτῷ μέγα φρονοῦντα μὴ ἴσον εἶναι, ἐπεὶ καὶ ὁ κακῶς πράσσων πρὸς οὐδένα τῆς ξυμφορᾶς ἰσομοιρεῖ. ἀλλ' ὥσπερ δυστυχοῦντες οὐ προσαγορευόμεθα, ἐν τῷ ὁμοίῳ τις ἀνεχέσθω καὶ ὑπὸ τῶν εὐπραγούντων ὑπερφρονούμενος, ἢ τὰ ἴσα νέμων τὰ ὁμοῖα ἀντιξιούτω. οἶδα δὲ τοὺς τοιούτους καὶ ὅσοι ἔν τινος λαμπρότητι προέσχον ἐν μὲν τῷ κατ' αὐτοὺς βίῳ λυπηροὺς ὄντας, τοῖς ὁμοίοις μὲν μάλιστα, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις ξυνόντας, τῶν δὲ ἔπειτα ἀνθρώπων προσποιήσιν τε ξυγγενείας τισὶ καὶ μὴ οὖσαν καταλιπόντας, καὶ ἧς ἂν ὦσι πατρίδος, ταύτῃ αὔχησιν ὡς οὐ περὶ ἀλλοτρίων οὐδ' ἁμαρτόντων, ἀλλ' ὡς περὶ σφετέρων τε καὶ καλὰ πραξάντων. ὧν ἐγὼ ὀρεγόμενος καὶ διὰ ταῦτα τὰ ἴδια ἐπιβοώμενος τὰ δημόσια σκοπεῖτε εἴ του χεῖρον μεταχειρίζω. Πελοποννήσου γὰρ τὰ

---

lich ausgesprochen, aber sonst gewiß vielfach vom Alkibiades ausgesagt. *Εἰρωνεύεται ὁ Ἀ. λέγων ὅτι εἰ καὶ ἀνόητος φαίνομαί τισιν, ἀλλ' οὖν τῇ πόλει οὐκ ἄχρηστός ἐστί μου ἡ ἄνοια, ἀλλὰ καὶ ὠφέλιμος.* (Sch.) — *ὃς ἄν.* zu 6, 14. — *τέλεσι, δαπάναις.* (Sch.) vgl. 4, 60, 2. — *φρονοῦντα* ist nicht Subject sondern zu dem aus dem Vorhergehenden zu denkenden Subject Appositiön: daß er, eingebildet auf sich. Gr. 55, 2 A. 6. Daher habe ich nach *ὠφελῇ* nur ein Komma gesetzt. — *πρός* mit Gr. 68, 39 A. 4. — *ἴσον* ist Gegensatz der *παρανομία* 6, 15, 3. — *ἰσομοιρεῖ* (mit Bezug auf *ἴσον*) Gleichheit des Antheils hat, in sofern Niemand ihm von seinem Unglück etwas abnimmt. (Ba.) — *προσαγορευόμεθα* wir werden freundlich angeredet. (St.) also mittelbar für wir werden geachtet. (Sch.) Weniger befremden würde *προσηγορούμεθα.* — *ἐν τῷ ὁμοίῳ, ὁμοίως.* Gr. 43, 4 A. 5. — *ὑπερφρονούμενος.* Gr. 56, 6 A. 1. Das Wort ist milder als *καταφρονούμενος* und stärker als *ὑπερορώμενος.* vgl. 3, 39, 5 u. 6, 68, 2. — *τὰ ἴσα νέμων*, indem er sich mit dem Unglücklichen oder Geringeren gleich stellt. (Sch.)

§ 5. *τοὺς τοιούτους*, dem Alkibiades Aehnliche. — *ἔν τινος, ἔν τινος πράγματος.* (Sch.) — *ἐν τῷ κατ' αὐτοὺς βίῳ* in ihrem Zeitalter. (Hl.) Gr. 68, 25 A. 1 E. Her. 6, 109: *μνημόσυνα λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον.* — *λυπηρούς* lästig als sie verdunkelnde, *ἐπειδὴ καὶ ὁ φθόνος λύπη κατὰ τὸ γένος ἐστί.* (Sch.) — *ξυνόντας* wenn sie mit ihnen verkehren. (Ps.) Erg. *λυπηροὺς ὄντας.* (Sch.) — *τῶν δὲ — καταλιπόντας* von Seiten der später Lebenden Ansprüche auf Verwandschaft, selbst wenn sie unbegründet sind, zurücklassen; über die zwei Ge. bei *προσποιησις.* Gr. 47, 9 A. 7. — *αὔχησιν* hat auch Thuk. nur hier.

δυνατώτατα ξυστήσας ἄνευ μεγάλου ὑμῖν κινδύνου καὶ δαπάνης Λακεδαιμονίους ἐς μίαν ἡμέραν κατέστησα ἐν Μαντινείᾳ περὶ τῶν ἁπάντων ἀγωνίσασθαι· ἐξ οὗ καὶ περιγενόμενοι τῇ μάχῃ οὐδέπω καὶ νῦν βεβαίως θαρσοῦσιν. καὶ 17
ταῦτα ἡ ἐμὴ νεότης καὶ ἄνοια παρὰ φύσιν δοκοῦσα εἶναι ἐς τὴν Πελοποννησίων δύναμιν λόγοις τε πρέπουσιν ὡμίλησε καὶ ὀργῇ πίστιν παρασχομένῃ ἔπεισεν. καὶ νῦν μὴ πεφόβησθε αὐτήν, ἀλλ' ἕως ἐγώ τε ἔτι ἀκμάζω μετ' αὐτῆς καὶ ὁ Νικίας εὐτυχὴς δοκεῖ εἶναι, ἀποχρήσασθε τῇ ἑκατέρου ἡμῶν ὠφελίᾳ. καὶ τὸν ἐς τὴν Σικελίαν πλοῦν μὴ μεταγιγνώσκετε ὡς ἐπὶ μεγάλην δύναμιν ἐσόμενον. ὄχλοις τε γὰρ ξυμμίκτοις πολυ- 2
ανδροῦσιν αἱ πόλεις καὶ ῥᾳδίας ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχάς. καὶ οὐδεὶς δι' αὐτὸ ὡς περὶ οἰκείας πατρίδος οὔτε τὰ περὶ τὸ σῶμα ὅπλοις ἐξήρτυται οὔτε τὰ ἐν τῇ χώρᾳ νομίμοις κατασκευαῖς· ὅ τι δὲ ἕκαστος ἢ ἐκ

---

§ 6. τὰ δυνατώτατα Argeier, Mantineer, Eleer 5, 46 ff. 52. — ξυστήσας. Her. 6, 74: συνιστὰς τοὺς Ἀρκάδας ἐπὶ τῇ Σπάρτῃ. (Bl.) — ἐς μίαν ἡ. Gr. 68, 21 A. 10. — κατέστησα, ἠνάγκασα. (Sch.)

C. 17. § 1. ταῦτα — ὡμίλησε dieſe Verhandlungen, d. h. ſo erfolgreiche, hat meine Jugend und meine, wie es ſcheint, wie ich beſchuldigt werde, widernatürliche, alles Maß überſchreitende, Unvernunft gegen die Macht der Peloponneſier mit angemeſſenen Worten geführt. Gr. 46, 5 A. 4. vgl. 2, 37, 3. — ὀργῇ mit Feuereifer, ardore. vgl zu 1, 140, 1. 7, 68, 1, wie λόγοις, wegen der Stellung des τέ auf Alkibiades zu beziehen. — πίστιν Zuverſicht bei mir und Andern. zu 1, 120, 4. — παρασχομένῃ. Das ι subscr. habe ich nach zwei guten Hſn. hinzugefügt. — ἔπεισεν. — ἕως für ἔπεισε καὶ νῦν μὴ πεφοβῆσθαι αὐτήν. ἀλλ' ἕως Reiske. — καὶ νῦν und auch jetzt. Gr. 69, 32 A. 8. — αὐτήν, τὴν νεότητα ἢ ἄνοιαν. (Sch.) Richtig, weil auch μετ' αὐτῆς ſich darauf bezieht. — ἀποχρήσασθε gebraucht reichlich. zu 1, 68, 4.

§ 2. ξυμμίκτοις. Alſo ohne Einheit der Geſinnung und der Intereſſen. vgl. § 3. — πολυανδροῦσιν. Ein ſehr ſeltenes Wort, nachgebraucht von Dio C. u. Joſephus. (Bl.) — αἱ πόλεις, τῆς Σικελίας. (Sch.) — ἐπιδοχάς, τὸ ἐγγράφειν ῥᾳδίως ταῖς πολιτείαις ξένους τε καὶ φυγάδας. (Sch.) Von Annahme ganz neuer Verfaſſungen erklärt es Gö., vielleicht richtig. — δι' αὐτό, διὰ τὰς μεταβολὰς καὶ τὰς ἐπιδοχὰς τῆς πολιτείας. (Sch.) Ueber die Stellung zu παράδειγμα 3, 39, 3. — ὡς περί. ὥσπερ die beſten Hſn. Jenes iſt geſetzt als ob ἀγωνιούμενοι vorſchwebte. vgl. Kr. zu Xen. An. 3, 2, 15. — τά kann mit St. für den Ac. genommen werden, ungeachtet der Stellung des οὔτε vgl. 5, 7, 3. (Pp.) — νομίμοις, οὐ ταῖς νομιζομέναις ἀλλὰ ταῖς

τοῦ λέγων πείθειν οἴεται ἢ στασιάζων ἀπὸ τοῦ κοινοῦ λαβὼν
3 ἄλλην γῆν, μὴ κατορθώσας, οἰκήσειν, ταῦτα ἑτοιμάζεται. καὶ
οὐκ εἰκὸς τὸν τοιοῦτον ὅμιλον οὔτε λόγου μιᾷ γνώμῃ ἀκρο-
ᾶσθαι οὔτε ἐς τὰ ἔργα κοινῶς τρέπεσθαι· ταχὺ δ' ἂν ὡς
ἕκασιοι, εἴ τι καθ' ἡδονὴν λέγοιτο, προσχωροῖεν, ἄλλως τε
4 καὶ εἰ στασιάζουσιν, ὥσπερ πυνθανόμεθα. καὶ μὴν οὐδ' ὁ-
πλῖται οὔτ' ἐκείνοις ὅσοι περ κομποῦνται, οὔτε οἱ ἄλλοι Ἕλ-
ληνες διεφάνησαν τοσοῦτοι ὄντες ὅσους ἕκαστοι σφᾶς αὐτοὺς
ἠρίθμουν, ἀλλὰ μέγιστον δὴ αὐτοὺς ἐψευσμένη ἡ Ἑλλὰς μόλις
ἐν τῷδε τῷ πολέμῳ ἱκανῶς ὡπλίσθη. τά τε οὖν ἐκεῖ, ἐξ
ὧν ἐγὼ ἀκοῇ αἰσθάνομαι, τοιαῦτα καὶ ἔτι εὐπορώτερα ἔσται·

ἱκαναῖς. οὕτω καὶ νόμιμον ξήτορα τὸν ἱκανὸν καὶ νόμιμον ἀθλητήν φαμεν. (Sch.) Aehnlich δίκαιος, justus, legitimus; doch μονίμοις Ds., auch mir eingefallen. — ὅ τι bezieht sich als Collectiv auf ταῦτα. Xen. Cyr. 1, 6, 11: ὅ τι δ' ἂν πρὸς τοῖς εἰρημένοις λαμβάνῃ τις, ταῦτα τιμὴν νομιοῦσι. (Pp.) Gr 58, 4 A. 5. — λαβὼν — οἰκήσειν. Gefügiger wäre λαβεῖν — οἰκήσων. Allein die Stelle heißt: was jeder entweder durch Ueberredung mit Worten oder durch Bürgerfehde von dem Gemeingut erhalten habend, sich, wenn er unglücklich gewesen, in einem anderen Lande anzusiedeln gemeint ist ꝛc. d h womit er, nachdem er es — erhalten hat ꝛc. (Sch u. Ba) Ueber das nur zu λαβών gehörige ὅ τι Gr. 51, 9 A. 2. — στασιάζων steht variirt dem ἐκ τοῦ πείθειν entgegen. (Sch.) vgl. 7, 70, 4 u. Gr 59, 2 A. 3. — ἑτοιμάζεται schafft er sich an, aber mit dem Nebenbegriffe des leicht beweglichen, wegzuschaffenden Besitzthumes.

§ 3. μιᾷ γνώμῃ, ὁμονοοῦντας. (Sch.) — κοινῶς, ὁμοφρονοῦντας. (Sch) Doch etwas mehr. vgl. 2, 42, 2. 4, 61, 4. — καθ' ἡδονήν nach Behagen. zu 2, 37, 2. — προσχωροῖεν sie dürften sich uns anschließen ist sowohl zum Hauptsatze als zu ὡς ἕκαστοι zu denken. zu 1, 3, 4 vgl. zu 2, 21, 3. — ἄλλως τε καί. Gr. 69, 5 A. — πυνθανόμεθα. Gr. 53, 1 A. 2.

§ 4. ἐκείνοις, εἰσίν. — ὅσοι περ κομποῦνται für ὅσοι περικομποῦνται die besten Hsn. — τοσοῦτοι, ὁπλῖται. Doch können auch bloß Menschen gedacht werden, ungeachtet der Stellung des ὁπλῖται. zu παράδειγμα 3, 39, 3. — ὅσους für ὅσοι, das aus dem vorhergehenden ὅσοι entstanden, einige Hsn. — μέγιστον. Gr. 46, 5 A. 7. zu 3, 36, 2. — αὐτοὺς ἐψευσμένη sie erlogen, erdichtet hat. Xen. An. 5, 6, 35: τὰ χρήματα ἃ ὑπέσχοντο Τιμασίωνι καὶ Θώρακι ἐψευσμένοι ἦσαν. (Pp.) — ἐν τῷδε τῷ πολέμῳ ist nach der Auffassung des Thuk. gesagt. Denn die Athener konnten noch nicht daran denken auch die folgenden Begebenheiten mit dem sog. Archidamischen Kriege zusammenzufassen. Ja sie hatten jetzt eig. seit sechs Jahren Frieden. (Ullrich Beiträge S. 57 f. u. 106.) — τά τε ἐκεῖ, entgegengesetzt καὶ τὰ ἐνθάδε. (Hk.) — ἐξ ὧν. zu urtheilen nach dem was. Kr. zu Xen. An. 1, 9, 28. — ἀκοῇ αἰσθάνομαι. vgl. 20, 1 u. zu 53, 3. — εὐπορώτερα, εὐκαταμηχανώτερα. (Sch.)

βαρβάρους τε γὰρ πολλοὺς ἕξομεν οἱ Συρακοσίων μίσει 5
ξυνεπιθήσονται αὐτοῖς· καὶ τὰ ἐνθάδε οὐκ ἐπικωλύσει, ἢν
ὑμεῖς ὀρθῶς βουλεύησθε. οἱ γὰρ πατέρες ἡμῶν τοὺς αὐτοὺς
τούτους οὕσπερ νῦν φασι πολεμίους ὑπολείποντας ἂν ἡμᾶς
πλεῖν καὶ προσέτι τὸν Μῆδον ἐχθρὸν ἔχοντες τὴν ἀρχὴν ἐκτή-
σαντο, οὐκ ἄλλῳ τινὶ ἢ τῇ περιουσίᾳ τοῦ ναυτικοῦ ἰσχύοντες.
καὶ νῦν οὔτε ἀνέλπισοί πω μᾶλλον Πελοποννήσιοι ἐς ἡμᾶς 6
ἐγένοντο, εἴ τε καὶ πάνυ ἔρρωνται, τὸ μὲν ἐς τὴν γῆν ἡμῶν
ἐσβάλλειν, κἂν μὴ ἐκπλεύσωμεν, ἱκανοί εἰσιν, τῷ δὲ ναυτικῷ
οὐκ ἂν δύναιντο βλάπτειν· ὑπόλοιπον γὰρ ἡμῖν ἐστιν ἀντι-
παλον ναυτικόν. ὥστε τί ἂν λέγοντες εἰκὸς ἦ αὐτοὶ ἀποκνοῖ- 18
μεν ἢ πρὸς τοὺς ἐκεῖ ξυμμάχους σκηπτόμενοι μὴ βοηθοῖμεν;
οἷς χρεών, ἐπειδή γε καὶ ξυνωμόσαμεν, ἐπαμύνειν, καὶ μὴ

---

§ 5. βαρβάρους τε setzt voraus daß nach αὐτοῖς noch etwas über die Hellenen gesagt worden, vielleicht auch von den Karthagern. vgl. 6, 88, 7. Hk. u. A. wollen bloß τέ tilgen. — ἕξομεν wir werden gewinnen. — ἐπικωλύειν, sehr selten, findet sich noch bei Soph. Phil. 1242. u. Xen. Dec. 8, 4. (Herm.) — φασί. Man könnte φησί vermuthen. vgl. 6, 10, 1. Bei φασί sind mit dem Sch. οἱ περὶ τὸν Νικίαν zu denken. — τὴν ἀρχήν, wie 6, 18, 2. Gr. 50, 2 A. 3.

§ 6. καὶ νῦν — ἐγένοντο und jetzt, wie jetzt die Sachen stehen, haben die Lakedämonier nie weniger Hoffnung gegen uns gefaßt. (St.) οὐδὲν μᾶλλον ἀπηλπίκασι Πελοποννήσιοι τοῦ ἡμᾶς καταλῦσαι (Sch.) Ἀνέλπιστος findet sich freilich auch activ 3, 30, 1. 8, 1, 2, wiewohl in verschiedener Weise. Doch sinngemäße glaubte ich erklären zu dürfen: und so sind auch jetzt die P. nie weniger gegen uns zu erwarten, ein Angriff derselben gegen uns nie weniger zu fürchten, gewesen. Einen ähnlichen Gedanken suchte auch Py.'s Conjectur εὐέλπιστοι. — εἴ τε. Gr. 69, 25 A. 2. — ἔρρωνται Muth und Entschlossenheit haben. zu 2, 8, 1. 3. 4, 72. 1. 8, 78, 1. Allein der Indicativ ist offenbar unpassend. Daher vermuthete ich es sei als Conjunctiv zu nehmen, wo es denn, nach der Analogie von μεμνῶμαι, ἐρρῶνται zu accentuiren wäre. — τὸ ἐσβάλλειν ist an ἱκανοί anzuschließen. Gr. 46, 4 A. 4. — ἀντίπαλον gewachsen. zu 1, 122, 2.

C. 18. § 1. ἤ vor αὐτοί würde man vor λέγοντες erwarten, da dies dem σκηπτόμενοι entgegen steht. Gedacht ist als Gegensatz: welche einleuchtende Gründe sind es durch die wir (uns selbst) von dem Unternehmen abzustehen überreden oder die wir bei den dortigen Bundesgenossen auch nur vorwenden könnten, um uns zu entschuldigen daß wir sie nicht unterstützen. — σκηπτόμενοι, προφασιζόμενοι (Sch.) — μή gegen Gr. 67, 2. Dem. 23, 75: πῶς ἂν δίκαια ταῦτα καὶ μὴ γένοιτο; Xen. Mem. 3, 1, 10: τί οὖ σκοποῦμεν πῶς ἂν αὐτῶν μὴ διαμαρτάνοιμεν; — ἐπειδή γε καί. Gr. 69, 32 A. 17. — ξυνωμόσαμεν uns eidlich mit ihnen verbunden haben. zu 1, 71, 4. vgl. Her. 7,

ἀντιτιθέναι ὅτι οὐδὲ ἐκεῖνοι ἡμῖν. οὐ γὰρ ἵνα δεῦρο ἀντι-
βοηθῶσι προσεθέμεθα αὐτούς, ἀλλ' ἵνα τοῖς ἐκεῖ ἐχθροῖς
2 ἡμῶν λυπηροὶ ὄντες δεῦρο κωλύωσιν αὐτοὺς ἐπιέναι. τήν τε
ἀρχὴν οὕτως ἐκτησάμεθα καὶ ἡμεῖς καὶ ὅσοι δὴ ἄλλοι ἦρξαν,
παραγιγνόμενοι προθύμως τοῖς ἀεὶ ἢ βαρβάροις ἢ Ἕλλησιν
ἐπικαλουμένοις, ἐπεὶ εἴγε ἡσυχάζοιεν πάντες ἢ φυλοκρινοῖεν
οἷς χρεὼν βοηθεῖν, βραχὺ ἄν τι προσκτώμενοι αὐτῇ περὶ
3 αὐτῆς ἂν ταύτης μᾶλλον κινδυνεύοιμεν. τὸν γὰρ προὔχοντα οὐ
μόνον ἐπιόντα τις ἀμύνεται, ἀλλὰ καὶ μὴ ὅπως ἔπεισι προ-
καταλαμβάνει. καὶ οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι ἐς ὅσον βου-
λόμεθα ἄρχειν, ἀλλ' ἀνάγκη, ἐπειδή περ ἐν τῷδε καθέσται-
μεν, τοῖς μὲν ἐπιβουλεύειν τοὺς δὲ μὴ ἀνιέναι, διὰ τὸ ἀρ-
χθῆναι ἂν ὑφ' ἑτέρων αὐτοῖς κίνδυνον εἶναι, εἰ μὴ αὐτοὶ
4 ἄλλων ἄρχοιμεν. καὶ οὐκ ἐκ τοῦ αὐτοῦ ἐπισκεπτέον ὑμῖν
τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ μὴ καὶ τὰ ἐπιτηδεύματα ἐς τὸ
ὅμοιον μεταλήψεσθε. λογισάμενοι οὖν τάδε μᾶλλον αὐξή-
σειν, ἐπ' ἐκεῖνα ἣν ἴωμεν, ποιώμεθα τὸν πλοῦν, ἵνα Πελο-

---

235 u ξυνωμόται 7, 148. — ὅτι — ἡμῖν, ἐπήμυναν. Gr. 62, 4 A. 1. zu 3, 64, 1. — προσεθέμεθα, ξυμμάχους ἐποιησάμεθα. (Sch.) Valck. zu Her. 5, 69. — ἡμῶν. Gr. 47, 10.

§ 2. οὕτως —, παραγιγνόμενοι. Gr. 59, 1 A. 7. vgl. 3, 20, 3. — φυλοκρινοῖεν für φιλοκρινοῖεν die beſten Hſn. Bk. Anecd. p. 17: φυλοκρινεῖν κυρίως μὲν τὸ τὰς φύλας τὰς ἐν ταῖς πόλεσι διακρί-νειν, σημαίνει δὲ καὶ τὸ ἄλλο τι διατάττειν καὶ διακρίνειν. vgl. Heſych. Etym. u. Poll. 8, 110. (Gö.) — κινδυνεύοιμεν. Von dem allge-meinen Gedanken (κινδυνεύοιεν) geht er auf die zunächſt berückſichtigten Athener über: eine nicht ſeltene Vermiſchung. vgl. das Regiſter unter Ue-bergang u. Kr. zu Xen. An. 2, 4, 26.

§ 3. μὴ ὅπως. ὅπως μή Eine Hſn. μή πως Hk. ὅπως tilgt Pp. — ἔπεισι. Gr. 38, 3 A. 3. — προκαταλαμβάνει nimmt ihn vorweg und verhütet es ſo. vgl. zu 1, 33, 3. — ταμιεύεσθαι ab-meſſen Kr. zu Xen. An. 2, 5, 18. — ἐν τῷδε auf dieſer Stufe der Macht. Gr. 43, 4 A. 4. — ἀνιέναι die Herrſchaft über ſie aufzugeben. zu 1, 75, 2. — διὰ τὸ- εἶναι, διὰ τὸ κινδυνεύειν ἂν ἀρχθῆναι ἡμᾶς ὑφ' ἑτέρων. (Sch.) Ueber den Ao. Gr. 53, 5 A. 2; über den Inf. ἀρχθῆναι 50, 6 A. 4; über ἄν 69, 7 A. 1; über αὐτοῖς 51, 6 A. 4.

§ 4. ἐκ τοῦ αὐτοῦ durch daſſelbe Verhalten. Gr. 43, 4 A. 23. — τοῖς ἄλλοις wie den Andern, den Lakedämoniern. Gr. 48, 13 A. 9. — ἐς τὸ ὅμοιον μεταλήψεσθε zu der gleichen Beſchaffenheit umwandeln wollet. — τάδε, τὰ ἐνταῦθα πρά-γματα. (Sch.) — ἵνα Π. τε als ob folgen ſollte καὶ ἅμα ἄρξωμεν, von ἵνα abhängig. (Matth. § 632, 4 p. 1529.) vgl. zu 1, 82, 2. —

πονηρίων τε στορέσωμεν τὸ φρόνημα, εἰ δόξομεν ὑπεριδόντες τὴν ἐν τῷ παρόντι ἡσυχίαν καὶ ἐπὶ Σικελίαν πλεῦσαι· καὶ ἅμα ἢ τῆς Ἑλλάδος τῶν ἐκεῖ προσγενομένων πάσης τῷ εἰκότι ἄρξομεν, ἢ κακώσομέν γε Συρακοσίους, ἐν ᾧ καὶ αὐτοὶ καὶ οἱ ξύμμαχοι ὠφεληθησόμεθα. τὸ δὲ ἀσφαλές, καὶ μένειν, ἤν τι προσχωρῇ, καὶ ἀπελθεῖν, αἱ νῆες παρέξουσιν· ναυκράτορες γὰρ ἐσόμεθα καὶ ξυμπάντων Σικελιωτῶν. καὶ μὴ ὑμᾶς ἡ Νικίου τῶν λόγων ἀπραγμοσύνη καὶ διάστασις τοῖς νέοις ἐς τοὺς πρεσβυτέρους ἀποστρέψῃ, τῷ δὲ εἰωθότι κόσμῳ, ὥσπερ καὶ οἱ πατέρες ἡμῶν ἅμα νέοι γεραιτέροις βουλεύοντες ἐς τάδε ἦραν αὐτά, καὶ νῦν τῷ αὐτῷ τρόπῳ πειρᾶσθε προαγαγεῖν τὴν πόλιν, καὶ νομίσατε νεότητα μὲν καὶ γῆρας ἄνευ ἀλλήλων μηδὲν δύνασθαι, ὁμοῦ δὲ τό τε φαῦλον

στορέσωμεν. στορέσαι τὴν ὀργήν Aesch. Pro. 190. (Abr.) Lyk. Leokr. 109: *Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.* Nachahmungen bei Plut. Nik. 9 u. über die Bosheit des Her. 6. Aehnlich wohl Ar. Ritter 481: *ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.* — *ὑπεριδόντες — πλεῦσαι* so viel als *ὑπεριδεῖν — ὥστε καὶ ἐπὶ Σ. πλεῦσαι.* Nach *ὑπεριδόντες* folgte sonst noch *καὶ οὐκ ἀγαπήσαντες* nicht zufrieden mit, was jedoch die meisten und besten Hss. auslassen. vgl. Heindorf zu Plat. Euthyd. 81.

§ 5 *ἐν ᾧ, τῷ κακῶσαι Συρακουσίους.* (Sch.) — *ὠφεληθησόμεθα* passiv auch 7, 67, 3 steht bei Attikern ziemlich eben so oft als *ὠφεληθήσομαι*, z. Th. mit zweifelhafter La. — *τὸ δ' ἀσφαλές* was aber Sicherheit ist, gewährt. Gr. 57, 10 A. 12. Pp. verbindet: *παρέξουσι τὸ ἀσφαλές (τοῦ) μένειν*, was wegen *τό* sprachwidrig ist. — *παρέξουσι ναυκράτορες* für *παρέξουσιν· αὐτοκράτορες* Valckenaer z. Her. 5, 36. vgl. Th. 5, 97. 109. — *καὶ ξυμπάντων.* Gr. 69, 32 A. 18 u. über den Ge. Gr. 47, 26 A. 8.

§ 6. *ἡ Νικίου τῶν λ. ἀ.* die Unthätigkeit empfehlenden Worte des Nikias. (St.) Also nicht nach Gr. 47, 9 A. 8. — *διάστασις, ἤτοι ἀντίστασις* oder *ἀντὶ τοῦ στάσις.* (Sch.) Active Bedeutung hat es wohl so wenig als *ἀπόστασις* 1, 122, 1. — *τοῖς νέοις*, weil auch *ἡ Νικίου τῶν λόγων* zu *διάστασις* gehört und also *τῶν νέων* unklar wäre: die durch Nikias Worte gesuchte Zwietracht für die Jünglinge gegen die Alten. (St.) Gr. 48, 12 A. 4. — *ἀποστρέψῃ* für *ἀποστρέψῃ* Kr. Rec. Krit. Bibl. N. 3 Jan. 1828 u. Pp. vgl. 6, 8, 3 u. 19. *Ἀποστρέφειν* wird in uneigentlicher Bedeutung wohl nirgends so zu dulden sein. — *ἐς τάδε* zu der jetzigen Macht. zu 1, 144, 5. — *αὐτά*, ihre Herrschaft. zu 1, 144, 5. — *τῷ αὐτῷ τρόπῳ* ist Erneuerung des *τῷ αὐτῷ κόσμῳ*, was mehr nur zu *βουλεύοντες* als zu *προαγαγεῖν* paßt. Aehnlich *τὸν αὐτὸν τρόπον — οὕτω* Dem. 20, 2. — *προαγαγεῖν* weiter führen, erheben. zu 1, 75, 2

§ 7. *φαῦλον* in Bezug auf die Jugend (Ba.), wohl nicht ohne

καὶ τὸ μέσον καὶ τὸ πάνυ ἀκριβὲς ἂν ξυγκραθὲν μάλιστ' ἂν ἰσχύειν, καὶ τὴν πόλιν, ἂν μὲν ἡσυχάζῃ, τρίψεσθαί τε αὐτὴν περὶ αὑτὴν ὥσπερ καὶ ἄλλο τι, καὶ πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι, ἀγωνιζομένην δὲ ἀεὶ προσλήψεσθαί τε τὴν ἐμπειρίαν καὶ τὸ ἀμύνεσθαι οὐ λόγῳ ἀλλ' ἔργῳ μᾶλλον
8 ξύνηθες ἕξειν. παράπαν τε γιγνώσκω πόλιν μὴ ἀπράγμονα τάχιστ' ἄν μοι δοκεῖν ἀπραγμοσύνης μεταβολῇ διαφθαρῆναι, καὶ τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν οἳ ἂν τοῖς παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα διαφόρως πολιτεύωσιν."

19 Τοιαῦτα μὲν ὁ Ἀλκιβιάδης εἶπεν· οἱ δ' Ἀθηναῖοι ἀκούσαντες ἐκείνου τε καὶ τῶν Ἐγεσταίων καὶ Λεοντίνων φυγάδων, οἳ παρελθόντες ἐδέοντό τε καὶ τῶν ὁρκίων ὑπομιμνή-

---

Ironie mit Rückſicht auf Nikias Aeußerungen. — τὸ πάνυ ἀκριβές von genau erwägender Berechnung der Alten. (Ba.) — τρίψεσθαι werde ſich abnutzen, verzehren. (Ba.) Daſſelbe Fu. paſſiv 7, 42, 6. — περὶ αὑτήν. 8, 46, 2: περὶ ἑαυτοὺς καταπρῖψαι τοὺς Ἕλληνας. vgl. zu 1, 69, 4. — ὥσπερ καὶ ἄλλο τι. Kr. zu Xen. An. 1, 3, 15. Man denke hinzu: ἀργὸν κείμενον. (Sch.) — πάντων, πάντων τῶν ἐπιτηδευμάτων. (Sch.) — ἐγγηράσεσθαι. So senescere civitatem otio Liv. 1, 22. (Ba.) Das mediale Fu. γηράσεσθαι Ar. Rit. 1308, συγγηράσομαι Eur. Stob. 71, 5, γηράσω Plat. Rep. 393 e. Geſ. 949, Simonides Frag. 1. — ἀγωνιζομένην — ἐμπειρίαν kämpfend aber, ſich übend im Kampfe, werde ſie, die Geſchicklichkeit, die Erfahrung, Uebung, noch dazu gewinnen, zu ſich ſelbſt. — τὸ ἀμύνεσθαι ξύνηθες ἕξειν die Vertheidigung in Uebung haben. — οὐ λόγῳ ἀλλ' ἔργῳ μᾶλλον iſt wohl lieber mit ξύνηθες ἕξειν als mit ἀμύνεσθαι zu verbinden. (Sch. u. Ba.)

§ 8. παρὰ πᾶν überhaupt. (Ba.) So 6, 80, 1. vgl. 5, 68, 3. — γιγνώσκω δοκεῖν ich bin entſchieden zu glauben. (Arn.) Immer hart. Vielleicht iſt ἐμοί für μοι zu leſen und ἐμοὶ δοκεῖν nur auf τάχιστ' ἄν zu beziehen: meines Erachtens am ſchnellſten. Aeſch. Perſ. 242: ἀλλ' ἐμοὶ δοκεῖν τάχ' εἴσῃ πάντα νημερτῆ λόγον. vgl. Reiz z. Vig. n. 154. — ἀπραγμοσύνης μεταβολῇ durch den Uebergang zur Unthätigkeit, ἀπραγμοσύνην ἀντὶ πολυπραγμοσύνης μεταλαμβάνουσαν. vgl. 76, 4 u. zu 87, 5. — ἀσφαλέστατα. vgl. 92, 5 u. Dem. 23, 102: ὑμῖν ὑπάρχει μεγίστοις οὖσιν ἀσφαλῶς οἰκεῖν. — τοῖς ἤθεσι διαφόρως im Zwieſpalt mit ihren Sitten. Iſä. 1, 10: ᾧ ζῶν διάφορος ἦν. Gr. 48, 13 A. 4.

C. 19. τοιαῦτα μέν. τοιαῦτα δέ will Bk. vgl. zu 1, 43, 2. — Λεοντίνων. τῶν Λεοντίνων könnte man vermuthen, da φυγάδων nicht zu Ἐγεσταίων gehört. Aber man überſetze: und einige leontiniſche Verbannte. Der Ausdruck iſt wie φυγὰς Σάμιος Xen. An. 1, 7, 5. — τῶν ὁρκίων, die ſie einander bei dem Abſchluſſe des Bündniſſes ge-

σκοντες ἱκέτευον βοηθῆσαι σφίσι, πολλῷ μᾶλλον ἢ πρότερον ὥρμηντο στρατεύειν. καὶ ὁ Νικίας γνοὺς ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειεν, παρασκευῆς δὲ πλήθει, εἰ πολλὴν ἐπιτάξειεν, τάχ' ἂν μετασπήσειεν αὐτούς, παρελθὼν αὐτοῖς αὖθις ἔλεγε τοιάδε.

"Ἐπειδὴ πάντως ὁρῶ ὑμῶς ὦ Ἀθηναῖοι ὡρμημένους 20
στρατεύειν, ξυνενέγκοι μὲν ταῦτα ὡς βουλόμεθα, ἐπὶ δὲ τῷ παρόντι ἃ γιγνώσκω σημανῶ. ἐπὶ γὰρ πόλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι μεγάλας καὶ οὔθ' ὑπηκόους ἀλλήλων οὔτε δεομένας μεταβολῆς, ᾗ ἂν ἐκ βιαίου τις δουλείας ἄσμενος ἐς δρᾶω μετάστασιν χωροίη, οὐδ' ἂν τὴν ἀρχὴν τὴν ἡμετέραν εἰκότως ἀντ' ἐλευθερίας προσδεξαμένας, τό τε πλῆθος ὡς ἐν μιᾷ νήσῳ πολλὰς τὰς Ἑλληνίδας. πλὴν γὰρ 2
Νάξου καὶ Κατάνης, ἃς ἐλπίζω ἡμῖν κατὰ τὸ Λεοντίνων ξυγγενὲς προσέσεσθαι, ἄλλαι εἰσὶν ἑπτά, καὶ παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρόπως μάλιστα τῇ ἡμετέρᾳ δυνάμει, καὶ οὐχ ἥκιστα ἐπὶ ἃς μᾶλλον πλέομεν, Σελινοῦς καὶ Συράκουσαι. πολλοὶ μὲν γὰρ ὁπλῖται ἔνεισι καὶ τοξόται καὶ 3
ἀκοντισταί, πολλαὶ δὲ τριήρεις καὶ ὄχλος ὁ πληρώσων αὐτάς. χρήματά τ' ἔχουσι τὰ μὲν ἴδια, τὰ δὲ καὶ ἐν τοῖς ἱεροῖς ἐστι Σελινουντίοις· Συρακοσίοις δὲ καὶ ἀπὸ βαρβάρων τινῶν

---

leistet. (Ds.) — *ἀπὸ τῶν αὐτῶν λόγων, τοῖς αὐτοῖς χρώμενος λόγοις.* (Sch.) Gr. 68, 16 A. 7. — *μεταστήσειεν* zu einer andern Ansicht brächte. — *αὐτοῖς.* zu 15, 3.

C. 20 § 1. *ἐπὶ τῷ.* zu 1, 70, 2. vgl. Schöm. z. Isä. p. 238. — *οὔτε, οὐδέ* Bk. — *μετάστασιν* einen aus Umwälzung hervorgegangenen Zustand. zu 4, 74, 4. — *οὐδ' ἄν. οὔτ' ἄν* Benedict u. Bk. — *εἰκότως* natürlicher Weise (Hl.), wie man erwarten darf. — *προσδεξαμένους* für *προσδεξομένους* die besten Hsn. Gr. 54, 6 A. 6. — *ὡς ἐν.* Gr. 69, 63 A. 6. — *πολλάς* schließt sich an *ἐπὶ πόλεις* an. (Sch.) — *τὰς Ἑλληνίδας* könnte wohl als Glossem zu *πόλεις* hier eingeschlichen sein. (Kr.)

§ 2. *Λεοντίνων.* Gr. 47, 7 A. 5. — *ἑπτά, Συράκουσαι, Σελινοῦς, Γέλα, Ἀκράγας, Μεσσήνη, Ἵμερα, Καμάρινα.* (Sch.) — *ὁμοιοτρόπως.* vgl. 7, 55, 2. 8, 96, 4. Beispiele dieses Adv. führt Bl. aus Spätern an; bei echten Attikern findet sich vielleicht selbst das Adj. nicht weiter als bei Thuk. a. d. a. St. u. 1, 6, 4. 3, 10, 1. — *ἐπὶ ἅς.* Gr. 51, 13 A. 7. — *μᾶλλον* als gegen die übrigen.

§ 3. *ἐν τοῖς ἱεροῖς, ἤγουν κοινά. ἔθος γὰρ τοῖς παλαιοῖς τὰ κοινὰ χρήματα ἐν τοῖς ἱεροῖς ταμιεύειν.* (Sch.) Aber auch die Schätze

ἀπαρχὴ ἐσφέρεται. ᾧ δὲ μάλιστα ἡμῶν προέχουσιν, ἵππους τε πολλοὺς κέκτηνται καὶ σίτῳ οἰκείῳ καὶ οὐκ ἐπακτῷ χρῶν-
21 ται. πρὸς οὖν τοιαύτην δύναμιν οὐ ναυτικῆς καὶ φαύλου στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν, εἴπερ βουλόμεθα ἄξιον τῆς διανοίας δρᾶν καὶ μὴ ὑπὸ ἱππέων πολλῶν εἴργεσθαι τῆς γῆς, ἄλλως τε καὶ εἰ ξυστῶσιν αἱ πόλεις φοβηθεῖσαι καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φίλοι τινὲς γενόμενοι ἄλλοι ἢ Ἐγεσταῖοι ᾧ ἀμυνούμεθα ἱππικόν· αἰσχρὸν δὲ βιασθέντας ἀπελθεῖν ἢ ὕστερον ἐπιμεταπέμπεσθαι, τὸ
2 πρῶτον ἀσκέπτως βουλευσαμένους· αὐτόθεν δὲ παρασκευῇ ἀξιόχρεῳ ἐπιέναι, γνόντας ὅτι πολύ τε ἀπὸ τῆς ἡμετέρας

---

der Tempel selbst sind mit zu verstehen. — *ἀπαρχὴ ἐσφέρεται. ἀπ' ἀρχῆς φέρεται* die besten Hss.: werden Gelder gesteuert wegen ihrer Herrschaft (Sch. u. Dr.), wo aber die Präposition zu verdächtigen wäre, um *ἀρχῆς* mit dem vorhergehenden *ἀπό* zu verbinden; Ba. erklärt *ἀπ' ἀρχῆς* von alter Zeit her, mit Bezug auf die nun angehäuften Schätze. Für *ἀπαρχή* eine Tantieme von den Erzeugnissen vergleicht Bl. Plat. Ges. 7 p. 806 d: *γεωργίαι ἀποδεδομέναι δούλοις ἀπαρχὴν τῶν ἐκ τῆς γῆς ἀποτελοῦσιν.* — *ᾧ, ἐν ᾧ.* (Sch.) Gr. 48, 15 A. 9. — *οἰκείῳ, ἤγουν ἐκ τῆς οἰκείας γῆς.* (Sch.) — *οὐκ ἐπακτῷ*, während die Athener meist von Einfuhr lebten. Dem. 18, 87: *σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισακτῷ.* (Pp.) eb. 20, 20. vgl. zu 1, 81, 1.

C. 21. § 1. *φαῦλος*, zweier Endungen, wie auch Eu. Skyr. 2; häufiger dreier, wie 6, 31, 2. vgl. zu 4, 9, 1. — *ἀλλά*, erg. *δεῖ*. Gr. 59, 2 A. 3. — *ἄξιον* ohne *τι* die besten Hss. Gr. 43, 4 A. 10. Dem. 20, 47: *πῶς οὐχ ὑπέρδεινον ποιήσομεν.* — *τῆς γῆς* wohl nicht an der Landung, sondern an der Furagirung auf dem Lande. vgl. 7, 13, 2. (Bl.) — *εἰ ξυστῶσιν* falls sie, wie zu erwarten ist, sich mit einander vereinigen sollten. Gr. 54, 12 A. 3. vgl. Herm. de part. *ἄν* p. 96 s. — *ἀντιπαράσχωσιν* gegen sie stellen, *ἱππικόν.* (Hl.) — *ᾧ ἀμυνούμεθα.* Gr. 53, 7 A. 8. — *ἢ ἐπιμεταπέμπεσθαι* oder Truppen, namentlich Reiterei, nachkommen zu lassen. (St.) Ein sehr seltenes Wort. (Bl.) vgl. 7, 7, 3. — *ἀσκέπτως* ohne Bedacht.

§ 2. *αὐτόθεν, ἤγουν ἐκ τοῦ ἡμετέρου τόπου.* (Sch.) Also im Gegensatz der von Sikelioten nicht mit Gewißheit zu erwartenden Hülfe; schon jetzt, sofort Ba. u. Herm. z. Vig. 224, wie Xen. Hell. 2, 2, 13. 3, 4, 20. 7, 5, 3. — *ἐπιέναι, δεῖ* aus § 1. — *πολύ* weit. zu 1, 15, 2. — *ἡμετέρας αὐτῶν.* Gr. 51, 2 A. 10. Der Begriff des *αὐτῶν* ist hier ziemlich erloschen, was nicht bloß bei der dritten Person (*σφετέρους αὐτῶν*) vorkommt. vgl. 1, 82, 2. 2, 72, 2. Plat. Menex. 245, e: *καὶ ναῦς καὶ τείχη ἔχοντες καὶ τὰς ἡμετέρας αὐτῶν ἀποικίας.* Lys. 13, 97: *τοῖς ὑμετέροις αὐτῶν φίλοις τετιμωρηκότες ἔσεσθε.* Isokr. 20,

αὐτῶν μέλλομεν πλεῖν καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι καὶ εἰ ἐν τοῖς τῇδε ὑπηκόοις ξύμμαχοι ἤλθετε ἐπί τινα, ὅθεν ῥᾴδιαι αἱ κομιδαὶ ἐκ τῆς φιλίας ὧν προσέδει, ἀλλ' ἐς ἀλλοτρίαν πᾶσαν ἀπαρτήσαντες, ἐξ ἧς μηνῶν οὐδὲ τεσσάρων τῶν χειμερινῶν ἄγγελον ῥᾴδιον ἐλθεῖν."

„Ὁπλίτας τε οὖν πολλούς μοι δοκεῖ χρῆναι ἡμᾶς ἄγειν 22 καὶ ἡμῶν αὐτῶν καὶ τῶν ξυμμάχων, τῶν τε ὑπηκόων καὶ ἥν τινα ἐκ Πελοποννήσου δυνώμεθα ἢ πεῖσαι ἢ μισθῷ προσαγαγέσθαι, καὶ τοξότας πολλοὺς καὶ σφενδονήτας, ὅπως πρὸς τὸ ἐκείνων ἱππικὸν ἀντέχωσιν, ναυσί τε καὶ πολὺ περιεῖναι, 2 ἵνα καὶ τὰ ἐπιτήδεια ῥᾷον ἐσκομιζώμεθα, τὸν δὲ καὶ αὖ-

---

22: *ἐνσημανεῖσθε Λοχίτῃ τὴν ὀργὴν τὴν ὑμετέραν αὐτῶν.* — *καὶ στρατευσόμενοι* schließt sich dem *πολύ* an. Gr. 59, 2 A. 3. — *ἐν τῷ ὁμοίῳ.* zu 6, 11, 1. — *στρατευσόμενοι στρατευσάμενοι* die besten Hsn., von Herm. a. d. a. St. mit Abr. als Fut. ex. aufgefaßt, was mir unzulässig scheint. — *καὶ εἰ* für *καὶ οὐκ* Gö. vgl. 6. 64, 2. *καὶ ὅτε* F. u. A. Ps. Bloß *οὐκ* tilgte Herm.; daß aber in solcher Verbindung die Conjunction fehlen könnte wüßte ich nicht zu erweisen. — *τινά* für *τινάς*, der Singular massenhaft. zu 2, 37, 1. — *αἱ κομιδαί, αἱ πορίσεις.* (Sch.) — *ἐς ἀλλοτρίαν πᾶσαν* in ein völlig fremdes Land, aus (*ἡ γῆ*) *πᾶσά ἐστιν ἀλλοτρία.* Gr. 50, 11 A. 10. vgl 6, 37, 3. Her. 1, 52: *ἀνέθηκε σάκος τε χρύσεον πᾶν ὁμοίως καὶ αἰχμὴν σιερὴν πᾶσαν χρυσέην.* 9, 70: *τὴν φάτνην τῶν ἵππων ἐοῦσαν χαλκέην πᾶσαν.* Plat. Prot. p. 317, b: *τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα.* — *ἀπαρτήσαντες. ἀπαρτήσοντες* mehrere gute Hsn. Allein hier ist der Ao. ungleich passender als oben: ihr werdet nicht — Krieg führen, sondern euch entfernt haben, *ἀντὶ τοῦ ἀπαρτηθέντες, ἀπελθόντες καὶ πολὺ τῆς οἰκείας χωρισθέντες.* (Sch.) Dem. 4, 12: *οὐδὲ διδόντων τῶν καιρῶν Ἀμφίπολιν δέξασθαι δύναισθ' ἄν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις.* vgl. Diod. 3, 68 u. Lennep. z. Phal. 50. — *οὐδ' ἄγγελον* verbindet Herm. Aber kaum bewähren dies Stellen wie Xen. An. 5, 6, 22. 7, 7, 10; und selbst wohl nicht Mem. 4, 6, 7: *οὐδὲ μὰ Δι' ἔμοιγε πολλοστὸν μέρος αὐτῶν.* Also vielleicht: sogar in vier Monaten nicht. Ueber die Sache Kr. Stud. S. 221.

C. 22. § 1. *ἡμῶν αὐτῶν.* Gr. 51, 2 A. 10. — *ἥν.* Gr. 60, 10 A. 1. — *τινά.* zu 21, 2. — *ἐκ Π.* z. B. der Argeier und Mantineer. (Ds.)

§ 2. *ναυσί τε. ναυσὶ δέ* wünscht Bk. Jenes entspricht dem *ὁπλίτας τε.* — *καὶ πολύ.* Gr. 69, 32 A. 18. — *περιεῖναι, δοκεῖ χρῆναι* aus § 1. — *ἵνα καί* sowohl aus andern Gründen als auch damit. Gr. 69, 32 A. 17. — *καὶ αὐτόθεν* ist mit *ἄγειν* zu verbinden, weil *ὁ καὶ αὐτόθεν σῖτος, ὁ καὶ μέγας ἀνήρ* ungriechisch ist. Es dürfte also das *τὸν δέ* vorbereitend dem exegetisch folgenden *σῖτον* vorausgeschickt sein, etwa wie Eur. bei Lyk. g. Leokr. 100, 42: *ἄρξουσιν*

τόθεν σῖτον ἐν ὁλκάσι, πυροὺς καὶ πεφρυγμένας κριθάς, ἄγειν, καὶ σιτοποιοὺς ἐκ τῶν μυλώνων πρὸς μέρος ἠναγκασμένους ἐμμίσθους, ἵνα, ἤν που ὑπὸ ἁπλοίας ἀπολαμβανώ-
3 μεθα, ἔχῃ ἡ στρατιὰ τὰ ἐπιτήδεια, πολλὴ γὰρ οὖσα οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι, τά τε ἄλλα ὅσον δυνατὸν ἑτοιμάσασθαι καὶ μὴ ἐπὶ ἑτέροις γίγνεσθαι, μάλιστα δὲ χρήματα αὐτόθεν ὡς πλεῖστα ἔχειν. τὰ δὲ παρ' Ἐγεσταίων, ἃ λέγεται ἐκεῖ ἑτοῖμα, νομίσατε καὶ λόγῳ ἂν μάλιστα ἑτοῖμα εἶναι.
23 ἦν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον παρασκευασάμενοι, [πλήν γε] πρὸς τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτικόν, ἀλλὰ καὶ ὑπερβάλλοντες τοῖς πᾶσι, μόλις οὕτως οἷοί τε

ἄλλοι, τὴν δ' ἐγὼ σώσω πόλιν sie aber werde ich retten, die Stadt. vgl. 1, 68, 4. Oder iſt zu leſen: τὰ δὲ καὶ αὐτόθεν, σῖτον —? — πεφρυγμένας κριθάς. κάγχρυς vermuthet Pierſon, weil Möris p. 213 ſagt: κάγχρυς Ἀττικῶς, κριθαὶ πεφρυγμέναι Ἑλληνικῶς, ohne etwas darauf zu geben. (Beck.) — πρὸς μέρος im Verhältniß zu der einzuſchiffenden Menſchenmenge Dr.; verhältnißmäßig gleich viele aus jeder Mühle, ἐκ τῶν μυλώνων πρὸς μέρος, z. B. aus jeder zwei, Böckh Staatshaush. d. Ath. 1, 23 p. 308; richtiger Dobree: im Verhältniß zu den in jeder Mühle befindlichen Sklaven, alſo z. B. einen von zehnen. vgl. Reiske Ind. Dem. u. πρός p. 437 Schäfer. — ἠναγκασμένους, indem man die Beſitzer ſie zu ſtellen zwang. Die Verbindung wie Plat. Apol. 36, e: τί πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ. Phäd. 87, b: περὶ ἀνθρώπου ὑφάντου πρεσβύτου λέγει. — ἀπολαμβανώμεθα. Her. 2, 115: ὑπ' ἀνέμων ἀπολαμφθέντες. vgl. Dorvill. z. Char. p. 363 u. Lex. Xen. s. v.

§ 3. ἐπιτήδεια, βρώσιμα καὶ πόσιμα. (Sch.) — πολλὴ οὖσα für πολλὴν οὖσαν durch Anticipation als Nominativ dem ἔσται angefügt. Gr. 61, 6 A. 8. So Matth. § 316, b, der eben ſo als Nominativ erklärt Soph. Oed. T. 393: καίτοι τό γ' αἰνιγμ' οὐχὶ τοὐπιόντος ἦν ἀνδρὸς δυσπεῖν. vgl. noch OK. 752, Thuk. 2, 97, 2, [Plat.] Alk. β, 147, b. — ἑτοιμάσασθαι, δοκεῖ χρῆναι aus § 1. — ἐπὶ ἑτέροις. Gr. 68, 41 A. 9. — αὐτόθεν, ἤγουν ἐκ τοῦ ἡμετέρου τόπου. (Sch.) — τὰ δὲ παρ' Ἐγεσταίων, παρ' Ἐγεσταίων δὲ τὰ παρ' Ἐγεσταίοις. Gr. 50, 8 A. 14. — λόγῳ, ταῖς δ' ἀληθείαις οὔ. (Sch.)

C. 23. § 1. αὐτοί im Gegenſatz zu den Egeſtäern u. A. — ἀντίπαλον eine gewachſene Macht. (Pv.) Gr. 16, 5 A. 7 u. zu 1, 3, 4. Doch wird dieſe Ausdrucksweiſe ſonſt wohl nicht ganz eben ſo vorkommen. Dem ὑπερβάλλοντες entſpräche mehr ἀντίπαλοι. — πλήν γε πρὸς τὸ — ὁπλιτικόν ausgenommen gegen die Hoplitenmacht. Denn eine Hoplitenmacht die den Sikelioten gewachſen hinüberzuführen mußte man offenbar verzichten. (Sch. u. Ds.) — τὸ μάχιμον die Kampffähigen, Combattanten, wie Xen. Cyr. 5, 4, 46. Gr. 43, 4 A. 17. — τὸ ὁπλιτικόν iſt hier eig. Adj. Gr. 50, 8 A. 6. — ὑπερβάλλοντες, παρασκευασάμενοι überlegen gerüſtet, wie διαφέροντες 3, 39, 5. — οὕτως auch ſo, ſelbſt bei Ueberlegenheit.

ἐσόμεθα τῶν μὲν κρατεῖν τὰ δὲ καὶ διασῶσαι. πόλιν τε 2
νομίσαι χρὴ ἐν ἀλλοφύλοις καὶ πολεμίοις οἰκιοῦντας ἰέναι,
οὓς πρέπει τῇ πρώτῃ ἡμέρᾳ ᾗ ἂν κατάσχωσιν εὐθὺς κρατεῖν
τῆς γῆς ἢ εἰδέναι ὅτι, ἢν σφάλλωνται, πάντα πολέμια ἕξου-
σιν. ὅπερ ἐγὼ φοβούμενος καὶ εἰδὼς πολλὰ μὲν ἡμᾶς δέον 3
εὖ βουλεύσασθαι, ἔτι δὲ πλείω εὐτυχῆσαι, χαλεπὸν δὲ ἀνθρώ-
πους ὄντας, ὅτι ἐλάχιστα τῇ τύχῃ παραδοὺς ἐμαυτὸν βούλο-
μαι ἐκπλεῖν, παρασκευῇ δὲ ἀπὸ τῶν εἰκότων ἀσφαλὴς [ἐκ-
πλεῦσαι]. ταῦτα γὰρ τῇ τε ξυμπάσῃ πόλει βεβαιότατα ἡ-
γοῦμαι καὶ ἡμῖν τοῖς στρατευσομένοις σωτήρια. εἰ δέ τῳ
ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν."

Ὁ μὲν Νικίας τοσαῦτα εἶπε, νομίζων τοὺς Ἀθηναίους 24
τῷ πλήθει τῶν πραγμάτων ἢ ἀποτρέψειν ἢ εἰ ἀναγκάζοιτο
στρατεύεσθαι, μάλιστα οὕτως ἀσφαλῶς ἐκπλεῦσαι· οἱ δὲ τὸ
μὲν ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους
τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον ὥρμηντο, καὶ τοὐναντίον
περιέστη αὐτῷ· εὖ τε γὰρ παραινέσαι ἔδοξε καὶ ἀσφάλεια 2

(Hl.) — τῶν μέν, ἤγουν τῶν πολεμίων. (Sch.) Beſſer wird es als Neutrum gedacht. — τὰ δέ, die Herrſchaft in der Heimath Hk.; wohl vielmehr die verbündeten Sikelioten. — καί auch nur. Gr. 69, 32 A. 19.

§ 2. οἰκιοῦντας für οἰκειοῦντας Hk. wie einige Hſn. corr.; andere οἰκιοῦντες. — οὓς bezieht ſich auf das bei νομίσαι vorſchwebende ἡμᾶς. — εἰδέναι überzeugt, gewärtig ſein. Hermot. 36: πάντων ὁμοίως ἀκουστέον ἢ εἰδέναι ὅτι πρὸς χάριν δικάζειν δόξομεν. (Fritzſche.)

§ 3. εὖ fehlt in einigen u. den beſten Hſn., ſcheint aber mir unentbehrlich. — πλείω. Gr. 46, 5 A. 4. So εὐτυχεῖν τἄλλα 2, 61, 1, τὰ παρόντα 4, 17, 3, ἱκανὰ τοῖς πολεμίοις εὐτύχηται 7, 77, 3. — εὐτυχῆσαι, um nämlich etwas auszurichten. vgl. zu 4, 10, 4. — χαλεπὸν δέ, πολλὰ εὖ βουλεύσασθαι καὶ ἔτι πλείω εὐτυχῆσαι. — ἀνθρώπους iſt Prädicat: Weſen die Menſchen ſind. Gr. 55, 2 A. 6. — ἀπὸ τῶν εἰκότων menſchlichen Berechnungen nach, wie Plat. Geſ. 941, e. 950, d. — ἐκπλεῦσαι, aus ἀσφαλῶς ἐκπλεῦσαι 6, 24, 1 entſtanden, tilgt Kr.; auch Dobree ἀσφαλεῖ leſend. — παρίημι. Xen. An. 5, 7, 10: παρίημι, ἀρχέτω. vgl. dort Kr.

C. 24. § 1. τῶν πραγμάτων der Erforderniſſe. — ἢ ἀποτρέψειν, geſtellt als ob etwa folgen ſollte ἢ ἐκπλεύσαντας ἀσφαλεῖς ἔσεσθαι. vgl. 8, 46, 1. — τὸ ἐπιθυμοῦν, τὴν ἐπιθυμίαν. (Sch.) Gr. 43, 4 A. 28 u. zu 1, 90, 2. — ἐξῃρέθησαν, ἐξέβαλον. (Sch.) — ὀχλώδες μὲν ἤτοι τὸ περισκελὲς καὶ ὀχληρὸν ἢ τὸ πολύ. (Sch.) Wohl das Troßvolle.

§ 2. τοὐναντίον περιέστη αὐτῷ das Gegentheil von dem was er erwartete, Abwendung des Zuges, ergab ſich für ihn. [Dem.]

νῦν δὴ καὶ πολλὴ ἔσεσθαι. καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς μὲν γὰρ πρεσβυτέροις ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ ἔπλεον ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν, τοῖς δ' ἐν τῇ ἡλικίᾳ τῆς τε ἀπούσης πόθῳ ὄψεως
3 καὶ θεωρίας καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης ἔν τε τῷ παρόντι ἀργύριον οἴσειν καὶ προσκτήσασθαι δύναμιν, ὅθεν ἀίδιον μισθοφορὰν ὑπάρξειν. ὥστε διὰ τὴν ἄγαν τῶν πλειόνων ἐπιθυμίαν, εἴ τῳ ἄρα καὶ μὴ ἤρεσκεν, δεδιὼς μὴ ἀντιχειροτονῶν κακόνους δόξειεν εἶναι
25 τῇ πόλει ἡσυχίαν ἦγεν. καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας τὸν Νικίαν οὐκ ἔφη χρῆναι προφασίζεσθαι οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη λέγειν
2 ἥντινα αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσωνται. ὁ δὲ ἄκων μὲν εἶπεν ὅτι καὶ μετὰ τῶν ξυνάρχόντων καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο, ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ, τριήρεσι μὲν

13, 35: *τοῦτο καὶ ὑμῖν περιέστηκε.* — *νῦν δή* jetzt eben, hier so v. a. jetzt vollends, weshalb Dobree *νῦν γε* oder *νῦν γε δή* vermuthete; „ähnlich jedoch Xen. Cyr. 4, 1, 23 u. Plat. Lach. 179, a." (Pv.) — *ἐκπλεῦσαι.* Gr. 50, 6 A. 6. — *γάρ* würde man nicht vermissen; jetzt ist mit dem Sch. *ἔρως ἐνέπεσε* wiederholt zu denken. (Pp.) vgl. 6, 68, 4. — *ὡς.* Gr. 69, 63 A. 3. — *ἐφ' ἅ.* zu 6, 9, 3. — *ἢ καταστρεψομένοις ἢ σφαλεῖσαν.* zu 4, 5, 1. — *ἔπλεον, ἔμελλον πλεῖν.* (Gb,) Gr. 53, 2 A. 2. — *ἄν. γ' ἄν?* — *ἡλικία* ist oft das dienstfähige Alter, *ἡ στρατιωτική* Xen. Kyr. 6, 2, 37, *ἡ στρατεύσιμος* Hell. 6, 5, 12. *στρατεύσιμα ἔτη* Kyr. 1, 2, 4. vgl. Poll. 1, 177 u. 2, 11. — *θεωρίας, ἱστορίας.* (Sch.) — *εὐέλπιδες ὄντες* als ob *πλεῖν ἐβούλοντο, ἐπεθύμησαν* vorherginge. (Abr.) vgl. zu 3, 36, 2.

§ 3 *ὁ δὲ πολὺς ὅμιλος.* Aus *εὐέλπιδες ὄντες* schwebt *ἤλπισαν* vor. (Hk.) — *καί.* Gr. 69, 32 A. 3. — *στρατιώτης,* ohne Artikel hier collectiv zu nehmen, wie miles (Gr. 44, 1 A, 2), ist kaum statthaft. Richtig der Sch.: *ἦγουν τὸ στρατιωτικὸν πλῆθος,* also *ὁ στρατιώτης ὅμιλος* militärische Masse. Gr. 57, 1 A. 2. Doch will Dobree *καί* tilgen und *στρατιώτης* mit *οἴσειν* verbinden zu Ar. Plut. 314. — *προσκτήσασθαι.* Gr. 53, 6 A. 9. — *ἀργύριον,* als *μισθὸς* und *σιτηρέσιον.* — *ὅθεν ὑπάρξειν,* wie 8, 72, 2. Gr. 55, 4 A. 9.

C. 25. § 1. *τις,* Demostratos nach Plut. Nik. 12 vgl. Alk. 18. — *τῶν Ἀθηναίων* scheint müßig; *τῶν δημαγωγῶν* Kr. — *παρακαλέσας* wandte sich an. (Hl.) — *ψηφίσωνται.* Gr. 54, 7 A. 1.

§ 2. *εἶπεν ὅτι. εἶπε δ' ὅτι* Kr. Herodi. 8, 6, 2: *ἄκων μὲν ἔφερε δέ.* Eur Phön. 1421: *ἄκων μὲν ἐξέτεινε δ' εἰς ἦπαρ ξίφος.* vgl Wyttenbach z. Jul. p. 196 Sch. Das bloße *ἄκων μέν* Plut. Alk. 18 war hier nicht zu vergleichen. Nach dem Sch. entspräche dem *μέν* erst *μέντοι.* — *ὅσα δοκεῖν.* Ar. Frieden 857: *ὅσα γ' ὧδ' ἰδεῖν, τὰ νῦν τάδε*

οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι — αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσαι ἂν δοκῶσιν καὶ ἄλλας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι — ὁπλίταις δὲ τοῖς ξύμπασιν 3
Ἀθηναίων καὶ τῶν ξυμμάχων πεντακισχιλίων μὲν οὐκ ἐλάσσοσιν, ἢν δέ τι δύνωνται, καὶ πλείοσιν· τὴν δὲ ἄλλην παρασκευὴν ὡς κατὰ λόγον καὶ τοξοτῶν τῶν αὐτόθεν καὶ ἐκ Κρήτης καὶ σφενδονητῶν καὶ ἤν τι ἄλλο πρέπον δοκῇ εἶναι ἑτοιμασάμενοι ἄξειν. ἀκούσαντες δ' οἱ Ἀθηναῖοι ἐψηφίσαντο 26
εὐθὺς αὐτοκράτορας εἶναι καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ τοῦ παντὸς πλοῦ τοὺς στρατηγοὺς πράσσειν ᾗ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι Ἀθηναίοις. καὶ μετὰ ταῦτα ἡ παρασκευὴ 2
ἐγίγνετο καὶ ἔς τε τοὺς ξυμμάχους ἔπεμπον καὶ αὐτόθεν καταλόγους ἐποιοῦντο. ἄρτι δ' ἀνειλήφει ἡ πόλις ἑαυτὴν ἀπὸ τῆς νόσου καὶ τοῦ ξυνεχοῦς πολέμου ἔς τε ἡλικίας πλῆθος ἐπιγεγενημένης καὶ ἐς χρημάτων ἄθροισιν διὰ τὴν ἐκεχειρίαν, ὥστε ῥᾷον πάντα ἐπορίζετο. καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν.

Ἐν δὲ τούτῳ, ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ 27
Ἀθηναίων — εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ~~ἡ~~ τετράγωνος ἐργασία, πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς — μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. καὶ τοὺς 2

πράττει. Wolken 434: ὅσ' ἐμαυτῷ στρεψοδικῆσαι. Wespen 1288: ὅσον μόνον εἰδέναι. Zu erklären iſt der Inf. aus Gr. 55, 3 A. 5.

§ 3. τι etwa, irgend. Kr. zu Xen. An. 3, 4, 23. — καὶ πλείοσιν mit noch mehrern. Gr. 69, 32 A. 18. — ὡς wie bei Zahlwörtern. Gr. 69, 63 A. 5. — κατὰ λόγον nach Verhältniß. — ἑτοιμασάμενοι bei εἶπε wie wenn εἶπον vorherginge. vgl. 6, 64, 5. 7, 48, 1 u. Gr. 58, 4 A. 3.

C. 26. § 2. καταλόγους ἐποιοῦντο, κατέλεγον. Gr. 52, 8 A. 1. — ἀνειλήφει ἑαυτήν, wie Iſokr. 6, 40 u. 104: ἐν τῷ πολέμῳ προδυσπραγήσασαι πάλιν αὐτὰς ἀνέλαβον. — ἡλικίας junger, dienſtfähiger Mannſchaft, wie oft. vgl. 3, 67, 2. 7, 64, 2. 8, 1, 2. — ἐπιγεγενημένης, αὐξηθείσης. (Sch.) Richtiger Hl.: wieder herangewachſen. — ἄθροισις hat auch Thuk. ſonſt nicht gebraucht.

C. 27. § 1. κατὰ τὸ ἐπιχώριον nach Landesbrauch kann wegen der Stellung nicht mit ἡ τετράγωνος ἐργασία verbunden werden — ἡ τετράγωνος ἐργασία eine auffallende, doch nicht zu verdächtigende Appoſition: es ſind dieſe, die bekannten viereckigen Figuren, zahlreich. — περιεκόπησαν wurden verſtümmelt. (Hl.) — τὰ πρόσωπα. ἰστέον ὅτι Παυσανίας ἐν τῇ διαπεπονημένῃ

δράσαντας ᾔδει οὐδείς, ἀλλὰ μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο καὶ προσέτι ἐψηφίσαντο, καὶ εἴ τις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν καὶ ξένων καὶ δούλων. καὶ τὸ πρᾶγμα μειζόνως ἐλάμβανον· τοῦ τε γὰρ ἔκπλου οἰωνὸς ἐδόκει εἶναι καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων καὶ δήμου καταλύσεως
28 γεγενῆσθαι. μηνύεται οὖν ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων περὶ μὲν τῶν Ἑρμῶν οὐδέν, ἄλλων δὲ ἀγαλμάτων περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς ποιεῖται ἐν οἰ-
2 κίαις ἐφ' ὕβρει· ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπῃτιῶντο. καὶ αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ Ἀλκιβιάδῃ ἀχθόμενοι, ἐμποδὼν ὄντι σφίσι μὴ αὐτοῖς τοῦ δήμου βεβαίως προεστάναι, καὶ νομίσαντες, εἰ αὐτὸν ἐξελάσειαν, πρῶτοι ἂν εἶναι, ἐμεγάλυνον καὶ ἐβόων ὡς ἐπὶ δήμου καταλύσει τά τε μυστικὰ καὶ ἡ τῶν Ἑρμῶν περικοπὴ γένοιτο καὶ οὐδὲν εἴη αὐτῶν ὅ τι οὐ μετ' ἐκείνου ἐπράχθη, ἐπιλέγοντες τεκμήρια τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴν παρανο-
29 μίαν. ὁ δ' ἔν τε τῷ παρόντι πρὸς τὰ μηνύματα ἀπελογεῖτο, καὶ ἑτοῖμος ἦν πρὶν ἐκπλεῖν κρίνεσθαι, εἴ τι τούτων εἰργασμένος ἦν — ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς ἐπεπόριστο —

αὐτῷ τῶν Ἀττικῶν ὀνομάτων συναγωγῇ τοὺς τραχήλους καὶ τὰ αἰδοῖα τοὺς Ἑρμᾶς περικοπῆναί φησι καὶ τοὺς τοῦτο δράσαντας Ἑρμοκοπίδας καλεῖσθαι. (Sch.)

§ 2. μεγάλοις, hundert Minen nach Andok. 1, 40. vgl. 27. — μηνύτροις, δώροις ἐπὶ μηνύσει. (Sch.) — μειζόνως ἐλάμβανον nahmen es als etwas Wichtiges auf. zu 3, 56, 2. — ἐπί, wie 6, 60, 1. Der vollere Ausdruck wäre ἀπὸ ξυνωμοσίας ἐπὶ νεωτέροις πράγμασι, wie Plut. Alk. 18 u. 20 spricht. Denn wegen kann ἐπί hier wohl nicht heißen.

C. 28. § 1. ἀπό. Gr. 52, 5 A. 1 u. zu 3, 36, 5. — ἀκολούθων, ἤγουν δούλων. (Sch.) θεράποντα nennt Andok. 1, 12. — μετ' οἴνου in der Trunkenheit. Lys. 4, 7: μετ' οἴνου ἐλθόντες. — μυστήρια ποιεῖν von verspottender Nachahmung, wie And. 1, 11 u. Lys. 14, 42. μυστηρίων ἀπομιμήσεις Plut. Alk. 19.

§ 2. ὑπολαμβάνοντες, προσδεχόμενοι αὐτὰ ὥστε πιστεύειν. (Sch.) ergreifend. (Pp.) — μὴ αὐτοῖς daß nicht sie, sondern er. Gr. 51, 6 A. 4. — ἐμεγάλυνον, ἤγουν εἰς μέγεθος ἦρον τὸ ἔγκλημα. (Sch.) — ἐπιλέγοντες, ἤγουν ἐπιβοῶντες ἐκείνῳ. (Sch.) Es heißt dazu, zum Beleg, sagend. — οὐ δημοτικήν, ἤγουν τὴν ἔξω τοῦ ἔθους τῆς δημοκρατίας. (Sch.) — παρανομίαν. zu 6, 15, 3.

καὶ εἰ μὲν τούτων τι εἴργαστο, δίκην δοῦναι, εἰ δ' ἀπολυθείη, ἄρχειν. καὶ ἐπεμαρτύρετο μὴ ἀπόντος περὶ αὐτοῦ διαβολὰς ἀποδέχεσθαι, ἀλλ' ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ, καὶ ὅτι σωφρονέστερον εἴη μὴ μετὰ τοιαύτης αἰτίας, πρὶν διαγνῶσι, πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι. οἱ δ' ἐχθροί, δεδιότες τό τε στράτευμα μὴ εὔνουν ἔχῃ, ἣν ἤδη ἀγωνίζηται, ὅ τε δῆμος μὴ μαλακίζηται, θεραπεύων ὅτι δι' ἐκεῖνον οἵ τ' Ἀργεῖοι ξυνεστράτευον καὶ τῶν Μαντινέων τινές, ἀπέτρεπον καὶ ἀπέσπευδον, ἄλλους ῥήτορας ἐνιέντες, οἳ ἔλεγον νῦν μὲν πλεῖν αὐτὸν καὶ μὴ κατασχεῖν τὴν ἀναγωγήν, ἐλθόντα δὲ κρίνεσθαι ἐν ἡμέραις ῥηταῖς, βουλόμενοι ἐκ μείζονος διαβολῆς, ἣν ἔμελλον ῥᾷον αὐτοῦ ἀπόντος πορεῖν, μετάπεμπτον κομισθέντα αὐτὸν ἀγωνίσασθαι. καὶ ἔδοξε πλεῖν τὸν Ἀλκιβιάδην. 2 3

Μετὰ δὲ ταῦτα θέρους μεσοῦντος ἤδη ἡ ἀναγωγὴ ἐγίγνετο ἐς τὴν Σικελίαν. τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις καὶ ταῖς σιταγωγοῖς ὁλκάσι καὶ τοῖς πλοίοις καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο πρότερον εἴρητο ἐς Κέρκυραν ξυλλέγεσθαι ὡς ἐκεῖθεν αὐτόροοις ἐπὶ ἄκραν Ἰαπυγίαν τὸν 30

C. 29. § 1. *εἴ τι εἴργαστο.* Der Ind. mit Bezug auf die positive Beſchuldigung. Lyſ. 3, 33: *τὸ παιδίον μηνῦσαι ἱκανὸν ἦν εἴ τι ἐγὼ ἐξημάρτανον.* — *ἄρχειν, στρατηγεῖν.*

§ 2. *αὐτοῦ* iſt mir verdächtig. — *ἀποδέχεσθαι, δέχεσθαι ὡς βεβαίας.* (Sch.) — *πρὶν διαγνῶσι.* Gr. 54, 17 A. 3. — *ἐπί.* Gr. 68, 41 A. 4.

§ 3. *ἔχῃ. ᾖ* der Sch. — *ὅ τε δῆμος. τόν τε δῆμον* iſt nicht geſagt (Gr. 61, 6 A. 5), um die Verbindung mit *θεραπεύων* zu verhüten. — *μαλακίζηται, ἀμβλύτερος γένηται* Plut. Alk. 19. vgl zu 3, 40, 6. (Dr.) — *θεραπεύων ὅτι* indem es ſich ihm deshalb gefällig bewieſe weil. — *ἀπέτρεπον* lehnten ſein Begehren ab. — *ἀπέσπευδον, ἤγουν ἀπερρίπτουν μετὰ σπουδῆς.* (Sch.) vgl. Her. 6, 109. 7, 17. 18. — *ἐνιέντες* anſtiftend. (Va.) „Nachgebraucht von Dio C. 203, 25" (Bl.); bei Attikern ſonſt ſchwerlich ſo vorkommend, nur ähnlich *ἐγκέλευστος* Xen. An. 1, 3, 13. — *ἔλεγον πλεῖν αὐτόν.* Gr. 55, 3 A. 13. — *ἀναγωγήν. ἀγωγήν* die beſten Hſn. doch ſ. zu 4, 29, 1. 6, 30, 1. 32, 1, Dem. 49, 6 45. 53, 5 u. Pol. 1, 46, 7. 10. — *ἐκ.* Gr. 68, 17 A. 7. — *διαβολῆς.* zu 6, 15, 1.

C. 30. § 1. *τοῖς πλοίοις, τοῖς μικροῖς, ἃ δὴ καὶ λεπτὰ ἄλλοθι εἶπεν.* (Sch.) Zu 7, 40, 5 Entgegengeſetzt den *ναυσίν* 2, 84, 1. 4, 116, 1. 6, 65, 3; den *ὁλκάσιν* 6, 30, 1. 44, 1. 7, 7, 3. 23, 2. — *ἄκραν Ἰαπυγίαν.* Gr. 50, 7 A. 2. — *τὸν Ἰόνιον.* Gr.

2 Ἰόνιον διαβαλοῦσιν· αὐτοὶ δ' Ἀθηναῖοι καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν ἐς τὸν Πειραιᾶ καταβάντες ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς ὡς ἀναξόμενοι. ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας, ὡς εἰπεῖν, ὁ ἐν τῇ πόλει, καὶ
3 ἀστῶν καὶ ξένων, οἱ μὲν ἐπιχώριοι τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μὲν ἑταίρους οἱ δὲ ξυγγενεῖς οἱ δὲ υἱεῖς, καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν ὡς κτήσοιντο, τοὺς δ' εἴ ποτε ὄψοιντο, ἐνθυμούμενοι
31 ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο. καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετὰ κινδύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ δεινὰ ἢ ὅτε ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ, διὰ τὸ πλῆθος ἑκάστων ὧν ἑώρων, τῇ ὄψει ἀνεθάρσουν. οἱ δὲ ξένοι καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἦκεν ὡς ἐπ' ἀξιόχρεων καὶ ἄπιστον διάνοιαν. παρασκευὴ γὰρ αὕτη πρώτη ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ πολυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη τῶν ἐς
2 ἐκεῖνον τῶν χρόνον ἐγένετο. ἀριθμῷ δὲ νεῶν καὶ ὁπλιτῶν

43, 3 A. 2. vgl. 6, 34, 4. 104, 2. 7, 33, 3. (Pp.) — *διαβαλοῦσιν*, *διαπεραιωσομένους*. (Sch.) vgl. 6, 44, 1.

§ 2. *ἅμα ἕῳ* ist auch mit *καταβάντες* zu verbinden. (Kist.) — *οἱ μὲν ἐπιχώριοι*. Es entspricht *οἱ δὲ ξένοι* 31, 1. — *τὰ μέν, τὰ κατὰ τὴν Σικελίαν*. (Sch.) — *ὡς* ist an *ἐλπίδος* angefügt. — *εἴ ποτε ὄψοιντο* ob sie jemals wiedersehen würden, an *ὀλοφυρμῶν* anzuschließen, was den Begriff der Ungewißheit mitenthält. (Bs.)

C. 31. § 1. *μετὰ κινδύνων* unter (bevorstehenden) Gefahren. zu 1, 18, 7. — *αὐτοὺς ἐσῄει*. Gr. 48, 11 A. 4. — *ἑκάστων* ist Neutrum. — *τῇ ὄψει ἀνεθάρσουν*, wie 4, 34, 1. vgl. 6, 49, 1. (Kr.) — *ὡς ἐπὶ — διάνοιαν* um was nur eine bedeutende und nicht ausführbare Idee schien verwirklicht zu sehen. Der Sch.: *μεῖζόν τι τῆς ὑπολήψεως*. Doch ist der Ausdruck zu kühn und ich vermuthe *διανοίᾳ*. — *παρασκευὴ αὕτη ἐγένετο, αὕτη* (*ἡ παρασκευὴ*) *ἐγένετο παρασκευή*. Gr. 61, 7 u. zu 1, 1, 2. — *πρώτη — Ἑλληνικῇ* nimmt Ps. zusammen: die zuerst aus Einem Staate mit einer griechischen Macht auszog. Besser St.: sie zuerst von allen bis auf diese Zeit zog aus Einer Stadt mit einer griechischen Macht am kostspieligsten und prächtigsten gerüstet aus. Doch bleibt *πρώτη* anstößig. Ich vermuthe *πολυτελεστάτῃ* und *ἐκπρεπεστάτῃ* als Dative und verbinde *τῶν* mit *πρώτη*: sie wurde zeigte sich, in sofern sie mit der kostspieligsten und prächtigsten Hellenmacht Eines Staates ausgezogen als die erste unter allen die bis zu dieser Zeit aufgestellt worden. Denn z. B. bei Salamis waren die Geschwader vieler Staaten vereinigt gewesen.

καὶ ἡ ἐς Ἐπίδαυρον μετὰ Περικλέους καὶ ἡ αὐτὴ ἐς Ποτίδαιαν μετὰ Ἄγνωνος οὐκ ἐλάσσων ἦν· τετράκις γὰρ χίλιοι ὁπλῖται αὐτῶν Ἀθηναίων καὶ τριακόσιοι ἱππῆς καὶ τριήρεις ἑκατὸν καὶ Λεσβίων καὶ Χίων πεντήκοντα καὶ ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν· ἀλλὰ ἐπί τε βραχεῖ πλῷ ὡρμήθησαν καὶ παρασκευῇ φαύλῃ· οὗτος δὲ ὁ στόλος ὡς χρόνιός τε 3
ἐσόμενος καὶ κατ' ἀμφότερα, οὗ ἄν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθείς, τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις τῶν τε τριηράρχων καὶ τῆς πόλεως ἐκπονηθέν, τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδόντος καὶ ναῦς παρασχόντος κενὰς ἑξήκοντα μὲν ταχείας τεσσαράκοντα δὲ ὁπλιταγωγοὺς καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας, τῶν δὲ τριηράρχων ἐπιφοράς τε πρὸς τῷ ἐκ δημοσίου μισθῷ διδόντων τοῖς θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις καὶ τἆλλα σημείοις καὶ κατασκευαῖς πολυτελέσι χρησαμένων, καὶ

---

§ 2. ἡ ἐς Ἐπίδαυρον 2, 56, 1. — ἡ αὐτή 2, 58, 1. — πολλοί. Und doch werden ſie 2, 56, 1 nicht erwähnt. Vielleicht ἄλλοι. (Kr.) — ἐπί zum Behuf. Gr. 68, 41 A. 7. — παρασκευῇ iſt nicht auch an ἐπί anzuſchließen. (Ba.)

§ 3. ὁ στόλος, ὡρμήθη denkt Hk. Dies paßt aber hier nicht recht. Die Rede ſcheint vielmehr durch Zwiſchengedanken anakoluthiſch geworden zu ſein, gewiſſermaßen aufgenommen § 6 καὶ ὁ στόλος. Zu χρόνιος heißt στόλος Expedition, zu ἐξαρτυθείς Rüſtung. Aehnlich στρατιά 1, 9, 3. — κατ' ἀμφότερα, für See- und Landunternehmungen. vgl. 7, 50, 2. — οὗ ἄν δέῃ mit Allem deſſen es bedurfte Ps.; wegen des Singulars und auch ſonſt unpaſſend; οὗ heißt hier wohl wo: je nachdem man irgendwo des Einen oder des Andern bedürfte. — τὸ μὲν ναυτικόν. Dem entſpricht τὸ δὲ πεζόν § 4. — ἐκπονηθέν, ἤγουν ἀπαρτισθέν, μετὰ πορισμοῦ συσταθέν. (Sch.) — κενάς, ohne Takelwerk u. dgl. was die Trierarchen zu beſchaffen hatten. — τῶν δέ für τῶν Hl., wie auch der Sch. las, beſtätigt von zwei Hſn. — ἐπιφοράς, ἐκ τῶν ἰδίων ἐπιδόσεις. (Sch.) — ἐκ δημοσίου, ohne Artikel wie ἐν δημοσίῳ 5, 18, 6, ἐν κοινῷ 1, 80, 3. (Pp.) vgl. zu 5, 50, 3. — οἱ θρανῖται μετὰ μακροτέρων πόνων ἐρέτιοντες πλείονα κόπον ἔχουσι τῶν ἄλλων. διὰ τοῦτο τούτοις μόνοις (?) ἐπιδόσεις ἐποιοῦντο οἱ τριήραρχοι, οὐχὶ δὲ πᾶσι τοῖς ἐρέταις. (Sch.) — τῶν ναυτῶν. Gr. 47, 9. — καὶ ταῖς und den übrigen. Gr. 69, 32 A. 2. — ὑπηρεσίαις Rudermannſchaft. zu 1, 143, 1. — σημείοις. σημεῖα λέγει τὰς ἔξωθεν καταγραφὰς τῶν τριήρων. (Sch.) Ar. Fröſche 933: ἱππαλεκτρυὼν σημεῖον ἐν ταῖς ναυσὶν ἐνεγέγραπτο. (Bl.) Von den σημείοις, παρασήμοις, ἐπισήμοις, Abbildungen von Göttern, Heroen, Thieren ꝛc., gleichſam Wappen der Schiffe, wurden dieſe benannt. Ruhnken de tutelis et ins. nav. p. 5 u. 42. — κατασκευαῖς Geräthſchaften. zu 2, 97, 3. — χρησαμένων ſchafften ſich an. zu 1, 6, 3. —

ἐς τὰ μακρότατα προθυμηθέντος ἑνὸς ἑκάστου ὅπως αὐτῷ τινὶ εὐπρεπείᾳ τε ἡ ναῦς μάλιστα προέξει καὶ τῷ ταχυναυ-
4 τεῖν, τὸ δὲ πεζὸν καταλόγοις τε χρηστοῖς ἐκκριθὲν καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶμα σκευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἁμιλληθέν. ξυνέβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, ᾧ τις ἕκαστος προσετάχθη, καὶ ἐς τοὺς ἄλλους Ἕλληνας ἐπίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ
5 ἐξουσίας ἢ ἐπὶ πολεμίους παρασκευήν. εἰ γάρ τις ἐλογίσατο τήν τε τῆς πόλεως ἀνάλωσιν δημοσίαν καὶ τῶν στρατευομένων τὴν ἰδίαν, τῆς μὲν πόλεως ὅσα τε ἤδη προσετετελέκει καὶ ἃ ἔχοντας τοὺς στρατηγοὺς ἀπέστελλεν, τῶν δὲ ἰδιωτῶν ἅ τε περὶ τὸ σῶμά τις καὶ τριήραρχος ἐς τὴν ναῦν ἀναλώκει καὶ ὅσα ἔτι ἔμελλεν ἀναλώσειν, χωρὶς δ' ἃ εἰκὸς ἦν καὶ ἄνευ τοῦ ἐκ τοῦ δημοσίου μισθοῦ πάντα τινὰ παρασκευάσασθαι ἐφόδιον ὡς ἐπὶ χρόνιον στρατείαν, καὶ ὅσα ἐπὶ μεταβολῇ

ἐς τὰ μακρότατα, ἐπὶ τὸ πλεῖστον. (Sch.) aufs äußerſte. (Pk.) — ἀντῷ τινι man (jeder) ſelbſt zu 1, 40, 4.

§ 4. καταλόγοις χρηστοῖς durch gewiſſenhafte Ausheben der Tüchtigſten. Daß es ſonſt dabei oft frevelhaft hergegangen rügt Ar. Ritter 1369 ff. u. Frieden 1179 f. Aehnlich der Sch.: ἀκριβέσιν, ἀληθέσιν, βεβασανισμένοις. — ἁμιλληθέν. Dieſer Ao. ſcheint bei den Attikern nur activ zu ſtehen, wie Plat. Geſ. 968, b, Eur. Hik. 195, Hel. 165, 387, Kykl. 628, ἐξαμιλλήσασθαι Hel. 1471. — ᾧ τις ἕκαστος προσετάχθη in jedem Dinge dem ein jeder vorgeſetzt war. (Sch.) vgl. 7, 70, 3. (Pp.) Dort ſteht ἐν ᾧ, wie ich auch hier wünſchte. Gr. 51, 13 A. 7. Daß man τις ἕκαστος wie ἕκαστός τις geſagt iſt mir nicht erinnerlich. Einſtweilen halt' ich ἕκαστος für ein Gloſſem zu τις. Nicht überſetzt hat es Va. (Kr.) — ἐς τούς vorden, mit ἐπίδειξιν zu verbinden. vgl. Gr. 68, 21 A. 6. Luc. Traum 3: πρὸς τοὺς ἡλικιώτας ἐπίδειξιν. (Fritzſche.) — εἰκάσθη ἐπίδειξις ſchien gleich einer Ausſtellung. vgl. 1, 10, 2; mit εἶναι Xen. An. 1, 6, 1. — ἐξουσία Macht. zu 3, 45, 3.

§ 5. δημοσίαν, was Va. nicht überſetzt, verdächtigt Kr. Krit. Bibl. Jan. 1828; ſo auch Pp. Doch ſ. Gr. 50, 9 A. 8. Indeß wäre dies bei Thuk. die einzige Stelle der Art. — προστετελέκει. προτετελέκει Dr. u. Reiske. Indeß könnte dies wohl heißen: auf die Sache, den Zug, verwendet hatte. So, jedoch zw., προσαναλίσκειν Xen. An. 6, 2, 8, wie hier der Sch. erklärt. — τις ein Jeder. (Va) — τριήραρχος collectiv, wie Xen. An. 7, 6, 7: δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν, λοχαγὸς δὲ τὸ διπλοῦν, στρατηγὸς δὲ τὸ τετραπλοῦν. vgl. Kr. zu 3, 5, 7 u. Gr. 44, 1 A. 2. — χωρὶς außerdem. zu 1, 61, 3. — τοῦ ἐκ τοῦ für τοῦ ἐκ die beſten Hſn. — στρατείαν. στρατιάν viele und einige gute Hſn. — μεταβολῇ, ὠνήσεως δή. (Sch.) Um-

τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει, πολλὰ ἂν τάλαντα εὑρέθη ἐκ τῆς πόλεως τὰ πάντα ἐξαγόμενα. καὶ ὁ στόλος 6
οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως λαμπρότητι περι-
βόητος ἐγένετο ἢ στρατιᾶς πρὸς οὓς ἐπῄεσαν ὑπερβολῇ, καὶ
ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας καὶ ἐπὶ μεγίστῃ
ἐλπίδι τῶν μελλόντων πρὸς τὰ ὑπάρχοντα ἐπεχειρήθη.

Ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν καὶ ἐσέκειτο πάντα ἤδη 32
ὅσα ἔχοντες ἔμελλον ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ
ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς
οὐ κατὰ ναῦν ἑκάστην, ξύμπαντες δὲ ὑπὸ κήρυκος ἐποιοῦντο,
κρατῆράς τε κεράσαντες παρ' ἅπαν τὸ στράτευμα καὶ ἐκπώ-
μασι χρυσοῖς τε καὶ ἀργυροῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες
σπένδοντες. ξυνεπεύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς 2

---

satz. „Sauppe zu Xen. Mem. 3, 7, 6." (Pp.) — *τὰ πάντα* im Ganzen. Gr. 50, 11 A. 13.

§ 6. *τόλμης θάμβει, ἔκπληξιν παρασχὼν διὰ τὴν τόλμαν.* (Sch.) durch die staunenswürdige Kühnheit des Wagnisses, Unternehmens. *Θάμβος* von Thuk. nur hier, von Platon in dem poetischen Phädr. 254, c gebraucht, ist dichterisch. — *στρατιᾶς — ὑπερβολῇ, στρατιᾶς ὑπερβολῇ τούτων τρὸς οὓς ἐπῄεσαν.* zu 2, 65, 7. Gr. 51, 13 A. 4. vgl. Dem. 22, 52: *τοσαύτην ὑπερβολὴν ἐποιήσατο ἐκείνων τῆς αὑτοῦ βδελυρίας.* vgl. zu 3, 12, 2. — *μέγιστος, οὐ χρόνου, ἀλλὰ τόπου.* (Sch.) — *ἤδη. δή* Ba. u. Bk. vgl. jedoch 7, 55, 2. — *ἐλπίδι τῶν μ.*, wie 8, 81, 2. vgl. 2, 89, 8. — *πρὸς τὰ ὑπάρχοντα* in Vergleich gegen das Gegenwärtige, nach Maßgabe des Gegenwärtigen, mit Bezug entweder auf die Größe der jetzigen Herrschaft der Athener oder auf die Zurüstungen die sie damals vor Augen hatten. (Hl.) Letzteres meinen Dr. u. A. Mir scheint *ὑπάρχοντα* nur die erstere Deutung zu gestatten, auch 6, 33, 3; *μείζονα ἐλπίσαντες τῆς ὑπαρχούσης δυνάμεως* Sch. „Ueber *πρός* vgl. 5, 9, 3. u. 4, 39, 2." (Dr.) Gr. 68, 39 A. 5.

C. 32. § 1. *ἐσέκειτο, ἐπετέθειτο.* (Sch.) Ppf. Pf. zu *ἐστίθεσθαι.* Gr. 38, 5 A. 3. vgl. 52, 10 A. 11. Ueblicher ist freilich *ἐντίθεσθαι*, wiewohl bei Thuk. keiner dieser Ausdrücke weiter vorkommt. Doch findet sich *ἐσπίθεσθαι* auch bei Xen. Hell. 1, 6, 20, wo Brodäus auch *ἐνθ.* vermuthet, was Schneidern ohne Grund grundlos schien. — *ὑπεσημάνθη. ὑπ-* fast so v. a. *προ-*. (Abr.) — *ὑπὸ κήρυκος*, indem ein Herold die Worte vorsagte. (Hf.) vgl. Wesseling z Her. 9, 98, Pflugk z. Eur. Alc. 737, Matth. § 592, *β*. (Pp.) vgl. Gr. 68, 43 A. 1. — *οἱ ἄρχοντες* die Officiere. Kr. Ind. zu Xen. An. in v. Diese Nominative bilden eine Apposition. Gr. 56, 9 A. 1 u. zu 1, 49, 3.

§ 2. *ὁ ἐκ τῆς γῆς* wegen der Beziehung auf die Flotte, den Standpunct des Betrachtenden. vgl. 7, 71, 1 u. Gr. 50, 8 A. 17. —

γῆς τῶν τε πολιτῶν καὶ εἴ τις ἄλλος εὔνους παρῆν σφίσιν. παιωνίσαντες δὲ καὶ τελεώσαντες τὰς σπονδὰς ἀνήγοντο, καὶ ἐπὶ κέρως τὸ πρῶτον ἐκπλεύσαντες ἅμιλλαν ἤδη μέχρι Αἰγίνης ἐποιοῦντο. καὶ οἱ μὲν ἐς τὴν Κέρκυραν, ἔνθα περ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμμάχων ξυνελέγετο, ἠπείγοντο ἀφικέσθαι.

3 Ἐς δὲ τὰς Συρακούσας ἠγγέλλετο μὲν πολλαχόθεν τὰ περὶ τοῦ ἐπίπλου, οὐ μέντοι ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν, ἀλλὰ καὶ γενομένης ἐκκλησίας ἐλέχθησαν τοιοίδε λόγοι ἀπό τε ἄλλων, τῶν μὲν πιστευόντων τὰ περὶ τῆς στρατείας τῆς τῶν Ἀθηναίων, τῶν δὲ τὰ ἐναντία λεγόντων, καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος παρελθὼν αὐτοῖς, ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεγε καὶ παρῄνει τοιάδε.

33 "Ἄπιστα μὲν ἴσως, ὥσπερ καὶ ἄλλοι τινές, δόξω ὑμῖν περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν, καὶ γιγνώσκω ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες ἢ ἀπαγγέλλοντες οὐ μόνον οὐ πείθουσιν ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν εἶναι· ὅμως δὲ οὐ καταφοβηθεὶς ἐπισχήσω κινδυνευούσης τῆς πόλεως,
2 πεισθων γε ἐμαυτὸν σαφέστερόν τι ἑτέρου εἰδὼς λέγειν. Ἀθηναῖοι γὰρ ἐφ' ἡμᾶς, ὃ πάνυ θαυμάζετε, πολλῇ στρατιᾷ ὥρμηνται καὶ ναυτικῇ καὶ πεζῇ, πρόφασιν μὲν Ἐγεσταίων ξυμ-

---

καὶ εἴ τις. Gr. 60, 10 A. 1. — ἐπὶ κέρως in langem Zuge. zu 2, 90, 3. vgl. 6, 32, 2 u. 8, 104, 1. — ἅμιλλαν ἐποιοῦντο wetteiferten im Segeln. (Ba.) τριήρων ἅμιλλαι Isokr. 9, 1, ἀνθαμιλλᾶσθαι ἐς τὴν γῆν Xen. Hell. 6, 2, 28. (Bl.) — ἤδη demnächst. zu 2, 35, 3. vgl. 6, 51, 2.

§ 3. ἐπί. Gr. 68, 42 A. 1. — καί gehört nur zu γενομένης ἐκκλησίας: nachdem auch eine Volksversammlung gehalten worden. — τοιοίδε wie die des Hermokrates und Athenagoras. (Hk.) — ἀπό. Gr. 52, 5 A. 1 u. vgl. zu 3, 36, 5. — στρατιᾶς für στρατείας die besten Hsn. zu 1, 3, 4. — παρελθὼν αὐτοῖς. zu 6, 15, 3. — ὡς οἰόμενος verbindet Pp. vgl. 7, 40, 2, Plat. Apol. 35, a. u. Luc. Todtengespr. 14, 1. Es heißt das ὡς dann eig. wie, mit der Haltung eines Mannes der.

C. 33. § 1. περὶ — τῆς ἀληθείας. Gr. 47, 9 A. 19. — ὅτι. Gr. 56, 7 A. 12. — οὐ καταφοβηθεὶς ἐπισχήσω. Gr. 67, 8 A. 4. Der Sinn: ich werde nicht aus Furcht vor dem Vorwurfe der Unvernunft zurückhalten, schweigen. (Sch.) — πείθω ἐμαυτόν ist häufig, wie Andok. 1, 70, Isokr. 5, 22, Dem. 5, 3. 19, 99. 23, 19. 24, 6, Aesch. 1, 45, Xen. Dek. 20, 15. Gr. 52, 10 A. 9.

§ 2. πεζῇ Bk. aus einer Hs. für πεζικῇ was Thom. M. für ποιητικώτερον erklärt und Thuk. sonst nirgends gebraucht hat. — πρόφασιν

μαχίμ καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ ἀληθὲς Σικελίας ἐπιθυμίᾳ, μάλισια δὲ τῆς ἡμετέρας πόλεως, ἡγούμενοι, εἰ ταύτην σχοῖεν, ῥᾳδίως καὶ τἆλλα ἕξειν. ὡς οὖν ἐν τάχει 3
παρεσομένων, ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόντων ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτούς, καὶ μήτε καταφρονήσαντες ἄφρακτοι ληφθήσεσθε μήτε ἀπιστήσαντες τοῦ ξύμπαντος ἀμελήσετε. εἰ 4
δέ τῳ καὶ πιστά, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν μὴ ἐκπλαγῇ. οὔτε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τ' ἔσονται ἢ πάσχειν, οὔθ' ὅτι μεγάλῳ σιόλῳ ἐπέρχονται, ἀνωφελεῖς, ἀλλὰ πρός τε τοὺς ἄλλους Σικελιώτας πολὺ ἄμεινον — μᾶλλον γὰρ ἐθελήσουσιν ἐκπλαγέντες ἡμῖν ξυμμαχεῖν — καὶ ἢν ἄρα ἢ 5
κατεργασώμεθα αὐτοὺς ἢ ἀπράκτους ὧν ἐφίενται ἀπώσωμεν — οὐ γὰρ δὴ μὴ τύχωσί γε ὧν προσδέχονται φοβοῦμαι — κάλλιστον δὴ ἔργων ἡμῖν ξυμβήσεται καὶ οὐκ ἀνέλπιστον ἔμοιγε. ὀλίγοι γὰρ δὴ στόλοι μεγάλοι ἢ Ἑλλήνων ἢ βαρβάρων πολὺ ἀπὸ τῆς ἑαυτῶν ἀπάραντες κατώρθωσαν. οὔτε 6
γὰρ πλείους τῶν ἐνοικούντων καὶ ἀστυγειτόνων ἔρχονται — πάντα γὰρ ὑπὸ δέους ξυνίσταται — ἢν τε δι' ἀπορίαν τῶν ἐπιτηδείων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσιν, τοῖς ἐπιβουλευθεῖσιν ὄνομα, κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίσωσιν, ὅμως

---

vorgeblich. Gr. 46, 3 A. 5. zu 3, 111, 1. — *ξυμμαχίᾳ* wegen der Verbindung, *κατοικίσει* zur Wiederherstellung. (Ba.) — *τὸ δ' ἀληθές* in Wahrheit, auch Dio C. 40, 32 u. 41, 26. (Pp.)

§ 3. *ἀπὸ τῶν ὑπαρχόντων* ist mit *ἀμυνεῖσθε* zu verbinden: wie ihr mit den vorhandenen Mitteln. vgl. zu 7, 76, 1. — *κάλλιστα, ἤγουν ἀνδρικώτατα καὶ φρονιμώτατα.* (Sch.) — *ἄφρακτοι* ungerüstet. vgl. 3, 39, 2.

§ 4. *πιστά, τὰ τῆς ἐφόδου τῶν Ἀθηναίων.* (Sch.) *δόξῳ λέγειν* aus § 1 ergänzt Ps., zu entfernt; *ἐστίν* Ba. vgl. Gr. 43, 4 A. 13 u. 62, 1 A. 4. — *πλείω.* Gr. 46, 5 A. 5. — *ἀνωφελεῖς* wie *ξυμφορώτατοι* u. *ὠφέλουν* 8, 96, 4, *ὠφέλησαν* 8, 66, 4. Unnöthig also *ἀνωφελές.* (Dobree.) vgl. zu 6, 84, 3. Ueber die *μείωσις* zu 2, 91, 3.

§ 5. *ἢν ἄρα.* Gr. 69, 8 A. — *κατεργασώμεθα.* zu 6, 11, 1. — *ἀπράκτους* activ wie immer bei Thuk., an sechzehn Stellen. — *ὧν προσδέχονται, τοῦ ἐλεῖν ἡμᾶς.* (Sch.) — *ἔργων* für *ἔργον* mehrere gute Hss. Doch ist diese Ausdrucksweise dem Th. wohl fremd. (Hk.) Doch s. zu 2, 42, 3.

§ 6. *αὐτοῖς. αὐτοί* Kr. der Sch.: *αὐτὸς περὶ ἑαυτῷ πταίσας.* vgl. zu 1, 69, 4. — *πταίσωσιν, πταίωσιν* mehrere der besten Hss. —

καταλειπουσιν. ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι, τοῦ Μήδου παρὰ λόγον πολλὰ σφαλέντος, ἐπὶ τῷ ὀνόματι ὡς ἐπ' Ἀθήνας ἦει ηὐξήθησαν, καὶ ἡμῖν οὐκ ἀνέλπιστον τὸ τοιοῦτο ξυμβῆναι."

34 "Θαρσοῦντες οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα καὶ ἐς τοὺς Σικελοὺς πέμποντες τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα, τοῖς δὲ φιλίαν καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι, ἔς τε τὴν ἄλλην Σικελίαν πέμπωμεν πρέσβεις, δηλοῦντες ὡς κοινὸς ὁ κίνδυνος, καὶ ἐς τὴν Ἰταλίαν, ὅπως ἢ ξυμμαχίαν ποιώμεθα
2 ἡμῖν ἢ μὴ δέχωνται Ἀθηναίους. δοκεῖ δέ μοι καὶ ἐς Καρχηδόνα ἄμεινον εἶναι πέμψαι· οὐ γὰρ ἀνέλπιστον αὐτοῖς, ἀλλ' ἀεὶ διὰ φόβου εἰσὶ μή ποτε Ἀθηναῖοι αὐτοῖς ἐπὶ τὴν πόλιν ἔλθωσιν, ὥσιε τάχ' ἂν ἴσως νομίσαντες, εἰ τάδε προήσονται, κἂν σφεῖς ἐν πόνῳ εἶναι, ἐθελήσειαν ἡμῖν ἤτοι
3 κρύφα γε ἢ φανερῶς ἢ ἐξ ἑνός γέ του τρόπου ἀμῦναι. δυνατοὶ δ' εἰσὶ μάλιστα τῶν νῦν, βουληθέντες· χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται, ὅθεν ὅ τε πόλεμος καὶ τἆλλα εὐπορεῖ. πέμπωμεν δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ ἐς Κόρινθον δεόμενοι δεῦρο κατὰ τάχος βοηθεῖν καὶ τὸν ἐκεῖ πό-

---

ὅπερ als ob ἔπαθον folgen sollte. vgl. zu 4, 125, 1. — παρὰ λόγον, παρὰ δόξαν. (Sch.) wider Berechnung. vgl. 1, 65, 1. 140, 2. 2, 64, 2. 91, 3. 4, 26, 3. 55, 4. 65, 4. 7, 71, 6. Ggs. κατὰ λόγον 3, 39, 4. — ἐπὶ τῷ ὀνόματι auf den Namen, in Folge der Meinung. (Hl.) Der bloße Da. 6, 80, 4.

C. 34. § 1. τὰ αὐτοῦ, ἤγουν τὰ ἐν τῷδε τῷ τόπῳ. (Sch.) — τοῖς δέ, τοῖς αὐτονόμοις 6, 88. (Pp.) — βεβαιωσώμεθα, βεβαίους φίλους ποιήσωμεν. (Sch.) — ξυμμαχίαν ποιώμεθα für ξυμμάχους αὐτοὺς ποιώμεθα, ungewöhnlich. (Dr.) — ἡμῖν für ἡμῖν αὐτοῖς wie σφίσιν für σφίσιν αὐτοῖς. (Pp.) — δέχωνται, οἱ Ἰταλιῶται aus Ἰταλίαν. (Hk.)

§ 2. ἄμεινον. Gr. 49, 6. — ἀνέλπιστον, ἄφοβον. (Sch.) zu 1, 1, 1. — διὰ φόβου εἰσί, φοβοῦνται. (Sch.) vgl. 6, 59, 2. u. Gr. 68, 22 A. 2. — τάδε, τὰ καθ' ἡμᾶς. (Sch.) — ἤτοι — γε. zu 2, 40, 2. — κρύφα, λάθρᾳ τῶν Ἀθηναίων. (Sch.) Ueber das außer bei Thuk. seltene Wort zu 1, 67, 2. — ἐξ, wie 6, 92, 3. Das nächst vorhergehende ἤ verdächtigt Ba. und schon der Sch.: παρὰ γὰρ τὸ κρύφα ἢ φανερῶς ἀπαμῦναι τρίτον οὐδέν ἐστιν.

§ 3. ὅθεν — εὐπορεῖ, καὶ ἐν πολέμῳ δύναμιν ἔχει μεγίστην καὶ ἐν πᾶσι τοῖς ἄλλοις τὰ χρήματα. (Sch.) Eine kühne Sprechweise. — τὸν ἐκεῖ, nicht für ἐκεῖ τόν, da der Krieg dort mehr nur rastete als beendigt war. vgl. 6, 36, 3. 73 u. 88, 9.

λεμον κινεῖν. ὃ δὲ μάλιστα ἐγώ τε νομίζω ἐπίκαιρον ὑμεῖς 4
τε διὰ τὸ ξύνηθες ἥσυχον ἥκιστ' ἂν ὀξέως πείθοισθε, ὅμως
εἰρήσεται. Σικελιῶται γὰρ εἰ θέλοιμεν ξύμπαντες, εἰ δὲ
μή, ὅτι πλεῖστοι μεθ' ἡμῶν, καθελκύσαντες ἅπαν τὸ ὑπάρχον
ναυτικὸν μετὰ δυοῖν μηνοῖν τροφῆς ἀπαντῆσαι Ἀθηναίοις ἐς
Τάραντα καὶ ἄκραν Ἰαπυγίαν, καὶ δῆλον ποιῆσαι αὐτοῖς ὅτι
οὐ περὶ τῇ Σικελίᾳ πρότερον ἔσται ὁ ἀγὼν ἢ τοῦ ἐκείνους
περαιωθῆναι τὸν Ἰόνιον, μάλιστ' ἂν αὐτοὺς ἐκπλήξαιμεν καὶ
ἐς λογισμὸν κατασιήσαιμεν ὅτι ὁρμώμεθα μὲν ἐκ φιλίας
χώρας φύλακες — ὑποδέχεται γὰρ ἡμᾶς Τάρας — τὸ δὲ
πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι μετὰ πάσης τῆς παρασκευῆς,
χαλεπὸν δὲ διὰ πλοῦ μῆκος ἐν τάξει μεῖναι, καὶ ἡμῖν ἂν
εὐεπίθετος εἴη βραδεῖά τε καὶ κατ' ὀλίγον προσπίπτουσα. εἰ 5
δ' αὖ τῷ ταχυναυτοῦντι ἀθροωτέρῳ κουφίσαντες προσβά-

---

§ 4. *διὰ τὸ ξυνεχὲς ἥσυχον, διὰ τὸ σύνηθες ἡμῖν εἶναι τὸ ἡσυχάζειν.* (Sch.) vgl. 55, 4 u. zu 1, 37, 3. — *πεισθε.* Auch hiezu gehört ὅ. (Ps.) — *Σικελιῶται* wir Sikelioten, sonst mit dem Artikel. Gr. 50, 8 A. 4. — *θέλοιμεν.* vielleicht *ἐθέλοιμεν.* (Bp.) Gr. 40 unter *ἐθέλω* u. zu 2, 51, 3. — *καθελκύσαντες,* ins Meer, wie 2, 93, 2. 3. 94, 3 u. 6, 50, 3. vgl. zu 6, 44, 3. — *δυοῖν μηνοῖν.* Gr. 47, 8 A. 1. — *ὀξέως* bereitwillig. zu 2, 11, 6. — *περὶ τῇ Σικελίᾳ* um, bei S. Passender wäre *περὶ τῆς Σικελίας* (Dr.) Doch gebrauchte vielleicht auch die att. Prosa *περί* mit dem Dativ ähnlich. Plat. Prot. 314, a: *ὅρα μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς καὶ κινδυνεύῃς.* (Bp.) Allein dies ist sprüchwörtlich, aus der antiken Sprache erhalten. Aehnlich noch Ant. 2, 6: *ἀνάγκη κινδυνεύοντα περὶ αὐτῷ καί πού τι καὶ ἐξαμαρτεῖν.* vgl. zu 6, 9, 2. Indeß wird doch *τῆς Σικελίας* zu lesen sein, weil sonst *τοῦ περαιωθῆναι* nicht auch von *περί* abhängen kann. — *ὁρμώμεθα μέν.* Man könnte *ἡμεῖς* vermissen; aber dann müßte *ἐκείνοις δὲ τὸ πέλαγος* folgen. (Ba.) Anders Kr. zu Xen. An. 3, 4, 41. — *ἐκ φιλίας χώρας, τῶν Ταραντίνων.* (Dr.) — *φύλακες* als Wächter für unser Land. (Sch.) — *πολὺ περαιοῦσθαι.* Gr. 55, 3 A. 7. — *διὰ πλοῦ μῆκος* ohne Artikel, wie Plat. Rep. 444, e: *ἐς ἀρετῆς κτῆσιν.* Symp. 196, b: *περὶ ἀρετῆς ἔρωτος.* — *εὐεπίθετος, εὐεπιχείρητος.* (Sch.) *εὔκολος εἰς ἐπίθεσιν.* (Thom. M.) — *εἴη, ἡ παρασκευή,* so v. a. *ἡ δύναμις αὐτῶν.* (Sch.) — *βραδεῖα* ist prädicativ mit *προσπίπτουσα* zu verbinden: langsam anfallend. (Hl.) Gr. 57, 5 A. 2. — *καθ' ὀλίγον* für *κατὰ λόγον* einige Hss u. der Sch.: *οὐκ ἀθρόα,* einem geringen Theile nach. zu 4, 10, 4.

§ 5. *τῷ ταχυναυτοῦντι* mit dem schnellsegelnden Theile der Flotte. (Ps.) Das Wort hat auch Polyb. 1, 25, 3. — *ἀθροωτέρῳ, ὄντι, γενομένῳ.* (Bp.) Gegensätzlicher wäre *ἀθροώτεροι.* — *κουφίσαντες, ἤτοι κοῦφοι ὄντες ἢ καταλιπόντες ὀπίσω τὴν [πᾶσαν] πα-*

λοιεν, εἰ μὲν κώπαις χρήσαιντο, ἐπιθοίμεθ' ἂν κεκμηκόσιν, εἰ δὲ μὴ δοκοίη, ἔστι καὶ ὑποχωρῆσαι ἡμῖν ἐς Τάραντα· οἱ δὲ μετ' ὀλίγων ἐφοδίων ὡς ἐπὶ ναυμαχίᾳ περαιωθέντες ἀποροῖεν ἂν κατὰ χωρία ἐρῆμα, καὶ ἢ μένοντες πολιορκοῖντο ἂν ἢ πειρώμενοι παραπλεῖν τήν τε ἄλλην παρασκευὴν ἀπολιποιεν ἂν καὶ τὰ τῶν πόλεων οὐκ ἂν βέβαια ἔχοντες, εἰ ὑπο-
6 δέξοιντο, ἀθυμοῖεν. ὥστ' ἔγωγε τούτῳ τῷ λογισμῷ ἡγοῦμαι ἀποκλῃομένους αὐτοὺς οὐδ' ἂν ἀπᾶραι ἀπὸ Κερκύρας, ἀλλ' ἢ διαβουλευσαμένους καὶ κατασκοπαῖς χρωμένους, ὁπόσοι τ' ἐσμὲν καὶ ἐν ᾧ χωρίῳ, ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς χειμῶνα, ἢ καταπλαγέντας τῷ ἀδοκήτῳ καταλῦσαι ἂν τὸν πλοῦν, ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν, ὡς ἐγὼ ἀκούω, ἄκοντος ἡγουμένου καὶ ἀσμένου ἂν πρόφασιν λαβόντος, εἴ
7 τι ἀξιόχρεων ἀφ' ἡμῶν ὀφθείη. ἀγγελλοίμεθα δ' ἂν εὖ

ρασκευήν. (Sch.) Ohne gepäckartige Belaſtung, dieſe nur auf Frachtſchiffe gebracht. — εἰ μέν. Zwei Bedingungsſätze bei einem Nachſatze: wenn ſie angriffen, ſo würden wir, falls ſie. —. Gr. 54, 12 A. 8. — μὴ δοκοίη, ἐπιτίθεσθαι. (Ps.) Als Gegenſatz würde man erwarten: εἰ δὲ ἔστιους; aber dies und noch Anderes umfaßt der gewählte Ausdruck. — καὶ ὑποχωρῆσαι, wie anzugreifen ſo auch. — ὡς ἐπὶ ναυμαχίᾳ, die ſie nämlich κουφίσαντες erwarten würden. — ἀποροῖεν ἄν, τῶν ἐπιτηδείων. (Sch.) — πολιορκοῖντο ἄν würden durch unſere auflauernden Schiffe von Zufuhr abgeſchnitten werden. Pp. vermuthet πονοῖντο ἄν. — παραπλεῖν, längs der italiſchen Küſte. — τὴν ἄλλην. Gr. 50, 4 A. 11. — παρασκευήν gepäckartige Belaſtung, Werkzeuge aller Art ꝛc. wie 6, 37, 3. — τὰ τῶν — ἔχοντες, οὐκ εἰδότες βεβαίως. (Sch.) — ὑποδέξοιντο, αὐτούς. (Sch.) — ἀθυμοῖεν. Auch hiezu gehört das ἄν nach πολιορκοῖντο. Gr. 69, 7 A. 4. Denn das nach οὐκ ſtehende hieher zu ziehen geſtattet die Stellung ſchwerlich.

§ 6. τούτῳ τῷ λογισμῷ, mit Bezug auf ἐς λογισμὸν καταστήσαιμεν geſagt, iſt mit κατακλῃομένους zu verbinden: durch dieſe Berechnung zurückgehalten. (Ps.) — ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς χειμῶνα ſie würden durch den Zeitverlauf in den Winter gedrängt werden, unter den erwähnten Zögerungen würde ſie der Winter überraſchen. — τῷ ἀδοκήτῳ. zu § 8. Außer den dort angeführten Stellen hat Thuk. das Wort noch 6, 47, 2. 7, 29, 4. 43, 6, ἀδοκήτως 3, 45, 5. 4, 17, 3. Sonſt ſcheint es der att. Proſa fremd; öfter haben es die Tragiker. — ἐγώ. Gr. 51, 1 A. 2. — ἄκοντος. Gr. 57, 5 A. 2. Gemeint iſt Nikias. (Sch.) — ἀξιόχρεων, ἀξιόμαχον, βέβαιον, πιστὸν εἰς ἀξιομαχίαν. (Sch.) — ἀφ' ἡμῶν, wie 7, 13, 3. vgl. 4, 126, 5.

§ 7. ἀγγελλοίμεθα ἂν ἐπὶ τὸ πλεῖον wir, unſere Rü-

οἶδ' ὅτι ἐπὶ τὸ πλεῖον· τῶν δ' ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι ἵστανται καὶ τοὺς προεπιχειροῦντας ἢ τοῖς γε ἐπιχειροῦσι προδηλοῦντας ὅτι ἀμυνοῦνται μᾶλλον πεφόβηνται, ἰσοκινδύνους ἡγούμενοι. ὅπερ ἂν νῦν Ἀθηναῖοι πάθοιεν. ἐπέρχονται γὰρ ἡμῖν ὡς οὐκ ἀμυνουμένοις, δικαίως κατεγνωκότες ὅτι αὐτοὺς οὐ μετὰ Λακεδαιμονίων ἐφθείρομεν· εἰ δ' ἴδοιεν παρὰ γνώμην τολμήσαντας, τῷ ἀδοκήτῳ μᾶλλον 8
ἂν καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει. πείθεσθε οὖν, μάλιστα μὲν ταῦτα τολμήσαντες, εἰ δὲ μή, ὅτι τάχιστα τἆλλα ἐς τὸν πόλεμον ἑτοιμάζειν, καὶ παραστῆναι παντὶ τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δει-

---

stungen, würden vergrößert berichtet werden. So ἐπὶ τὸ πλέον διηγησάμενος 6, 54, 1. vgl. Plat. Ges. 697, b: ἐπὶ πλέον εἰπεῖν. Wie ἐπὶ πλέον an diesen Stellen den Ac., so vertritt es an unserer den Nominativ des Prädicats. Mithin ist die Construction wie Eur. Hek. 591: ἀγγελθεῖσά μοι γενναῖος. Xen. Hell. 6, 4, 21: πρότερον ὀφθεὶς ἢ ἀγγελθεὶς ὅπῃ πορεύοιτο. — εὖ οἶδ' ὅτι schließt Bk. hier u. § 8 in Parenthesen ein. vgl. Xen. Hell. 6, 1, 4. Sogar dem Satze nachgestellt findet sich diese Formel Ar. The. 12, Lys. 154, (Frö. 601), Plut. 183. 838. 889. vgl. Wo. 1175, We. 1348. — ἵστανται richten sich, wie Segel nach dem Winde. (Ba.) vgl. zu 4, 56, 4. — τοὺς — προδηλοῦντας die welche dem Angriffe zuvorkommen, wie wir es sollten, oder wenigstens doch den Angreifenden voraus zu erkennen geben. (Hl.) — ἰσοκινδύνους, ἤτοι ἐν ὁμοίῳ κινδύνῳ καταστήσοντας ἢ ἰσοπαλεῖς. (Sch.) der Gefahr gewachsen meint Ba. Eig. ist doch wohl die erste Erklärung des Sch. die richtige, d. h. nicht in größerer Gefahr schwebend als sie. Daß dies Wort sehr selten und nur von Dio C. nachgebraucht sei bemerkt Bl. — ὅπερ, τὸ πεφοβῆσθαι. (Ba.) — δικαίως wollten einige griechische Erklärer zu ἐπέρχονται ziehen, also doch wohl als Epiphonem für sich nehmen. Gr. 66, 1 A. 8. — κατεγνωκότες uns abschätzig beurtheilend. (Ps.)

§ 8. παρὰ γνώμην, παρὰ τὴν δόξαν αὐτῶν. (Sch.) — τολμήσαντας, θαρρήσαντας. (Sch.) Gr. 52, 1 A. 2 u. zu 2, 43, 1. — τῷ ἀδοκήτῳ, τῷ ἀπροσδοκήτους ἡμᾶς αὐτοῖς ἀντιτάξασθαι. (Sch.) vgl. § 6. 4, 36, 2. 5, 10, 7. τῷ οὐκ εἰκότι 2, 89, 4. — τῇ ἀπὸ τοῦ ἀληθοῦς die der Wirklichkeit gemäße. vgl. 6, 47, 2. — μάλιστα μέν. Gr. 65, 5 A. 12. — ταῦτα τὸ ἀντεξορμῆσαι ἐπὶ τοὺς Ἀθηναίους. (Sch.) Es hängt aber wohl von ἑτοιμάζειν ab. Schömann wollte ταῦτα mit πείθεσθε verbinden und τολμήσαντας epexegetisch nehmen, wobei denn auch ἑτοιμάζειν mit Pp. imperativisch zu nehmen wäre. — τἆλλα, was nöthig auch wenn sie ihnen nicht entgegen zögen. — παραστῆναι παντί es glaube Jeder. zu 4, 61, 2 u. über den Inf. Gr. 55, 1 A. 5. — καταφρονεῖν τούς, wie 8, 82, 1. Gr. 47, 24 A. 3. So noch Eur. Bacch. 503. (Matthiä.) — ἐν τῶν ἔργων τῇ ἀλκῇ in

κνυσθαι, τὸ δ' ἤδη, τὰς μετὰ φόβου παρασκευὰς ἀσφαλεστάτας νομίσαντας, ὡς ἐπὶ κινδύνου πράσσειν χρησιμώτατον ἂν ξυμβῆναι. οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται καὶ ἐν πλῷ εὖ οἶδ' ὅτι ἤδη εἰσὶ καὶ ὅσον οὔπω πάρεισιν."

35 Καὶ ὁ μὲν Ἑρμοκράτης τοσαῦτα εἶπεν, τῶν δὲ Συρακοσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν, οἱ μὲν ὡς οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι, οὐδ' ἀληθῆ ἐστιν ἃ λέγει, τοῖς δέ, εἰ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς ὅ τι οὐκ ἂν μεῖζον ἀνιπάθοιεν. ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα. ὀλίγον δ' ἦν τὸ πιστεῦον τῷ Ἑρμοκράτει καὶ φοβούμενον τὸ μέλλον. παρελθὼν δ' αὐτοῖς Ἀθηναγόρας, ὃς δήμου τε προστάτης ἦν καὶ ἐν τῷ παρόντι πιθανώτατος τοῖς πολλοῖς, ἔλεγε τοιάδε.

36 "Τοὺς μὲν Ἀθηναίους ὅστις μὴ βούλεται οὕτω κακῶς φρονῆσαι καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε ἐλθόντας, ἢ δειλός ἐστιν ἢ τῇ πόλει οὐκ εὔνους· τοὺς δ' ἀγγέλλοντας

---

der Stärke der Gegenanstalten meint Hl. vgl. 2, 41, 1. 4, 67, 1. Allein *ἀλκή* fordert die Erklärung: in der Kraft der Handlungen, der Leistungen. Ueber den Gedanken 2, 11, 3 u. Her. 7, 49. — *ἤδη* sofort (vgl. 6, 80, 5. 90, 1. 91, 1. 93, 3) gehört zu *πράσσειν*. — *ὡς ἐπὶ κινδύνου* wie bei obschwebender Gefahr. Xen. ἱππ. 4, 5: *ἐπὶ κινδύνων ἐλαύνειν*. Aehnlich *ἐφ' ἡσυχίας* Dem. 45, 14, öfter *ἐπὶ σχολῆς* u. a. — *ξυμβῆναι*. Plat. Rep. 329, d; *καὶ γῆρας καὶ νέότης χαλεπὴ τῷ τοιούτῳ ξυμβαίνοι*. Gr. 56, 4 A. 4. — *οἱ ἄνδρες* von Feinden. Kr. zu Xen. An. 3, 1, 23. — *ὅσον οὔπω*. Gr. 67, 14 A. 4.

C. 35. *οἱ μέν, ἐρίζοντες, ἐριστικῶς λέγοντες.* (Py.) Gr. 56, 9 A. 3. Noch härter Eur. Phön 1462: *ἦν δ' ἔρις στρατηλάταις, οἱ μὲν πατάξαι πρόσθε Πολυνείκην δορί.* — *τοῖς δέ. ἐδόκει* schien ergänzen A, Ps., der *οἱ δέ* vorschlägt, *ἦν ἔρις* Abr. — *ὅ τι. ὅτου?* ohne daß sie etwas Größeres dagegen erlitten. Jenes hieße: ohne daß sie dieses, dasselbe, gesteigert, in höherem Grade dagegen erlitten. — *αὐτούς, τοὺς Συρακοσίους*, also für *σφᾶς*. (Py.) zu 5, 32, 4. — *ἐς γέλωτα*. Ar. Wesp. 1260: *κἄτ' ἐς γέλων τὸ πρᾶγμ' ἔτρεψας*. Her. 7, 105: *Ξέρξης ἐς γέλωτα ἔτρεψε*. — *δήμου προστάτης* steht oft von dem bedeutendsten Staatsmanne, ohne eine Würde zu bezeichnen. — *πιθανώτατος τοῖς πολλοῖς, δυνάμενος πείθειν τοὺς πολλούς*. (Sch.) vgl. 3, 36, 5. 4, 21, 3.

C. 36. § 1. *καὶ — γενέσθαι* gibt an worin das *κακῶς φρονῆσαι* bestehe. Für *καί* wäre *ὥστε* üblicher. (Ba.) In familiärer Sprache wir ähnlich z. B. ich bin nicht so thöricht und —. (Ba.)

τὰ τοιαῦτα καὶ περιφόβους ὑμᾶς ποιοῦντας τῆς μὲν τόλμης
οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας, εἰ μὴ οἴονται ἔνδηλοι εἶναι.
οἱ γὰρ δεδιότες ἰδίᾳ τι βούλονται τὴν πόλιν ἐς ἔκπληξιν κα- 2
θιστάναι, ὅπως τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζωνται.
καὶ νῦν αὗται αἱ ἀγγελίαι τοῦτο δύνανται· οὐκ ἀπὸ ταὐτο-
μάτου, ἐκ δὲ ἀνδρῶν οἵπερ ἀεὶ τάδε κινοῦσι ξύγκεινται.
ὑμεῖς δὲ ἢν εὖ βουλεύησθε, οὐκ ἐξ ὧν οὗτοι ἀγγέλλουσι 3
σκοποῦντες λογιεῖσθε τὰ εἰκότα, ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι
δεινοὶ καὶ πολλῶν ἔμπειροι, ὥσπερ ἐγὼ Ἀθηναίους ἀξιῶ,
δράσειαν. οὐ γὰρ αὐτοὺς εἰκὸς Πελοποννησίους τε ὑπολι-
πόντας καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους
ἐπ' ἄλλον πόλεμον οὐκ ἐλάσσω ἐκόντας ἐλθεῖν, ἐπεὶ ἔγωγε
ἀγαπᾶν οἶομαι αὐτοὺς ὅτι οὐχ ἡμεῖς ἐπ' ἐκείνους ἐρχόμεθα,
πόλεις τοσαῦται καὶ οὕτω μεγάλαι. εἰ δὲ δή, ὥσπερ λέγον- 37
ται, ἔλθοιεν, ἱκανωτέραν ἡγοῦμαι Σικελίαν Πελοποννήσου
διαπολεμῆσαι ὅσῳ κατὰ πάντα ἄμεινον ἐξήρτυται, τὴν δὲ

— τόλμης. Gr. 47, 21. Der Gedanke iſt burlesk: ſie ſind nicht tapfer, aber dumm; dem plebejiſchen Redner gemäß. — ἔνδηλοι rückſichtlich ihrer ſelbſtiſchen Zwecke.

§ 2. ἐς ἔκπληξιν καθιστάναι, ἐς φόβον ἐμβαλεῖν [ἐμβάλλειν]. (Sch.) — τὸ σφέτερον ihr Intereſſe oder ihre Geſinnung. Beſſer jedoch τὸν σφέτερον der Sch., Erotian u. Ba. (Ba.) — ἐπηλυγάζωνται, ἐπικρύπτωνται. (Sch.) beſchatten, verdecken. Dr. u. Ruhnken z. Tim. p. 117. — τοῦτο δύνανται haben den Gehalt, es iſt ſo viel daran. Sonſt bezieht ſich dieſer Ausdruck regelmäßig auf die Tendenz (Ind. Plat. u. Dem.), die hier durch οἵπερ κινοῦσι beiläufig angedeutet wird. Zu τοῦτο iſt der folgende Satz Exeregem. Gr. 59, 1 A. 5. vgl. Kr. zu Xen. An. 5, 4, 34 u. Pp. z. Cyr. 1, 6, 19. — ἀπὸ ταὐτομάτου, ἐξ ἀλόγου συμπτώματος. (Sch.) Gr. 68, 16 A. 11. Aeſch. 2, 145: φήμη ἐστὶν ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινὰ ὡς γεγενημένην πρᾶξιν. (Bl.) — ἐκ. Gr. 68, 17 A. 9. Plat. Rep. 364, b: δύναμις ἐκ θεῶν ποριζομένη. — τάδε unſere Verhältniſſe. — ξύγκεινται ſind gemacht, nämlich αἱ ἀγγελίαι. vgl. zu 1, 22, 3.

§ 3. δεινοί, συνετοί, φρόνιμοι. (Sch.) — ὥσπερ ἀξιῶ, δεινοὺς καὶ πολλῶν ἐμπείρους εἶναι, wenn nicht οἵουσπερ ἀ. erg. δρᾶν zu leſen iſt. vgl. 3, 14. — πολλῶν. πολέμων Lennep z. Phal. 35. Iſokr. 12, 90: ἄνδρα δεινὸν καὶ πολλῶν ἔμπειρον. (Bl.) — καταλελυμένους ἀντὶ τοῦ καταλελυκότες. (Sch.) Ohne Object 1, 81, 2. 4, 18, 3. 5, 15, 2. 17, 3. 8, 58, 5. Her. 7, 146: καταλυσάμενοι τὰς ἔχθρας, vgl. eb. 6.

C. 37. § 1. ὥσπερ λέγονται. Gr. 55, 4 A. 2. — διαπολεμῆσαι, διενεγκεῖν τὸν πόλεμον, περιγενέσθαι διὰ τοῦ πολέμου.

ἡμετέραν πόλιν αὐτὴν τῆς νῦν στρατιᾶς, ὡς φασίν, ἐπιούσης,
2 καὶ εἰ δὶς τοσαύτη ἔλθοι, πολὺ κρείσσω εἶναι, οἷς γ' ἐπίστιμαι οὔθ' ἵππους ἀκολουθήσοντας, οὐδ' αὐτόθεν πορισθησομένους εἰ μὴ ὀλίγους τινὰς παρ' Ἐγεσταίων, οὔθ' ὁπλίτας ἰσοπλήθεις τοῖς ἡμετέροις ἐπὶ νεῶν γε ἐλθόντας· μέγα γὰρ τὸ καὶ αὐταῖς ταῖς ναυσὶ κούφαις τοσοῦτον πλοῦν δεῦρο κομισθῆναι, τήν τε ἄλλην παρασκευὴν ὅσην δεῖ ἐπὶ
3 πόλιν τοσήνδε πορισθῆναι, οὐκ ὀλίγην οὖσαν. ὥστε, παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν, εἰ πόλιν ἑτέραν τοσαύτην ὅσαι Συράκουσαί εἰσιν ἔλθοιεν ἔχοντες καὶ ὅμορον οἰκήσαντες τὸν πόλεμον ποιοῖντο, οὐκ ἂν παντάπασι διαφθαρῆναι, ἤ πού γε δὴ ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ — ξυστήσεται γάρ — στρατοπέδῳ τε ἐκ νεῶν ἱδρυθέντι καὶ ἐκ σκηνιδίων

(Sch.) — *αὐτήν* allein. Gr. 51, 6 A. 7. — *τῆς νῦν στρατιᾶς ἐπιούσης.* Ein Hyperbaton. (Ba.) zu 1, 11, 3. Der Ge. hängt von *κρείσσω* ab. (Ba.) — *δὶς τοσαύτη* noch ein Mal ſo groß, wie Iſokr. 4, 108, Plat. Geſ. 677. Nur dichteriſch iſt *δὶς τόσος*, bei Dem. 24, 217 jetzt *δὶς ὅσος*. Sonſt *ἕτερος τοσοῦτος*, das aber auch wie § 3 eben ſo groß, viel bedeuten kann. vgl. Böckh Staatsh. d. Ath. 1 S. 223. So *πολλάκις τοσοῦτος* Plat. Rep. p. 330, b.

§ 2. *οἷς* bezieht ſich auf *στρατιᾶς*. Gr. 58, 4 A. 1. — *οὔθ'* für *οὐδ'* Hk. — *αὐτόθεν, ἐκ τῆς Σικελίας.* (Sch.) — *ὁπλίτας, ἀκολουθήσοντας.* (Pp.) Das *οὐδὲ αὐτόθεν πορισθησομένους* iſt gleichſam *διὰ μέσου*. — *ἐλθόντας* wenn ſie — abgegangen. (Pp.) — *καὶ αὐταῖς* ſogar bloß mit. (Ps.) — *κούφαις* wenn ſie unbepackt ſind (Ps.), weiter nichts als die Schiffmannſchaft führen. (Ds.) — *παρασκευήν* erg. *κομισθῆναι* hier in paſſiver Bedeutung; es iſt groß, ſchwer, daß ſie transportirt werde. Abr. nahm *μέγα — κομισθῆναι* als Parentheſe und ließ *τήν τε — οὖσαν* von *ἐπίστιμαι* abhängen, wogegen wenigſtens *τε οὐκ* nicht ſpräche. vgl. zu 1, 5, 2.

§ 3. *ὥστε* iſt mit *δοκοῦσιν* zu verbinden. (Sch.) — *παρὰ τοσοῦτον γιγνώσκω, παρὰ τοσοῦτον διαφέρομαι τοῖς τὰ ἕτερα διαγγέλλουσι.* (Sch.) Arn. erklärt: ſo ſehr, ſo feſt urtheile ich, und vergleicht *παρὰ τοσοῦτον νικηθείς.* Aber in ſolchen Formeln heißt doch *παρά* eig. um. Ich zweifle an der Richtigkeit der La. — *ἑτέραν τοσαύτην.* zu § 1. — *ὅμορον.* *ὅμοροι* eine Hſ., wie ich vermuthet hatte. vgl. 6, 2, 3. — *οἰκήσαντες.* zu 6, 2, 3. — *ἤπου γε δή* geſchweige denn. zu 1, 142, 1. — *πάσῃ.* zu 21, 2. — *ξυστήσεται γάρ*, erg. *ἡ Σικελία*, nach Reiske und Ba. in Parentheſe geſetzt. — *στρατοπέδῳ τε* und in einem Lager, angeſchloſſen an *ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ*, beides dem *διαφθαρῆναι* anzufügen. (Didot.) Der Dativ iſt auch durch mit überſetzbar. Gr. 48, 15 A. 18; und ſo könnte auch *στρατοπέδῳ τε καὶ ἐξιόντες* verbunden werden. Gr. 59, 2 A. 3. — *ἐκ νεῶν ἱδρυθέντι* das von Schiffen aus errichtet; Andre: das aus

καὶ ἀναγκαίας παρασκευῆς οὐκ ἐπὶ πολὺ ὑπὸ τῶν ἡμετέρων ἱππέων ἐξιόντες. τὸ δὲ ξύμπαν οὐδ' ἂν κρατῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι· τοσούτῳ τὴν ἡμετέραν παρασκευὴν κρείσσω νομίζω."

"Ἀλλὰ ταῦτα, ὥσπερ ἐγὼ λέγω, οἵ τε Ἀθηναῖοι γι- 38
γνώσκοντες τὰ σφέτερα αὐτῶν εὖ οἶδ' ὅτι σώζουσιν καὶ ἐνθένδε ἄνδρες οὔτε ὄντα οὔτε ἂν γενόμενα λογοποιοῦσιν, οὓς ἐγὼ οὐ νῦν πρῶτον ἀλλ' ἀεὶ ἐπίσταμαι ἤτοι λόγοις γε τοιοῖσδε καὶ ἔτι τούτων κακουργοτέροις ἢ ἔργοις βουλομένους καταπλήξαντας τὸ ὑμέτερον πλῆθος αὐτοὺς τῆς πόλεως ἄρχειν. καὶ δέδοικα μέντοι μή ποτε πολλὰ πειρῶντες καὶ κατορθώ- 2
σωσιν· ἡμεῖς δὲ κακοί, πρὶν ἐν τῷ παθεῖν ὦμεν, προφυλάξασθαί τε καὶ αἰσθόμενοι ἐπεξελθεῖν. τοιγάρτοι δι' αὐτὰ ἡ πόλις ἡμῶν ὀλιγάκις μὲν ἡσυχάζει, στάσεις δὲ πολλὰς καὶ ἀγῶνας οὐ πρὸς τοὺς πολεμίους πλείονας ἢ πρὸς αὑτὴν ἀναιρεῖται, τυραννίδας δὲ ἔστιν ὅτε καὶ δυναστείας ἀδίκους. ὧν ἐγὼ πειράσομαι, ἤν γε ὑμεῖς ἐθέλητε ἕπεσθαι, μή ποτε 3
ἐφ' ἡμῶν τι περιιδεῖν γενέσθαι, ὑμᾶς μὲν τοὺς πολλοὺς πείθων, τοὺς δὲ τὰ τοιαῦτα μηχανωμένους κολάζων, μὴ μό-

---

Schiffen besteht. — καὶ ἐκ — παρασκευῆς. Daß dies mit ἐξιόντες zu verbinden sei verräth die Wiederholung des ἐκ. — ἀναγκαίας, οὐ τῆς ἐκ περιουσίας ἀλλὰ τῆς οὐδὲ αὐτάρκους. (Sch.) nothdürftig. zu 5, 8, 2. — ὑπό, εἰργόμενοι τῆς γῆς ὑπό. (Sch.) vor, wie 7, 78, 4. (Pp.) Gr. 68, 43 A. 3. — τὸ δὲ ξύμπαν. Gr. 46, 3 A. 3. vgl. 3, 92, 3. 4, 63, 2. (zw. 61, 2.) Für δέ wird Haase hier, wie 7, 77, 7, τέ vermuthen. vgl. zu 3, 82, 5. — οὐδ' ἂν — ἡγοῦμαι, οὐδ' ἂν ἀποβῆναι αὐτοὺς εἰς τὴν γῆν νομίζω δυνήσεσθαι. (Sch.)

C. 38. § 1. ἐνθένδε. zu 6, 10, 1. — οὔτε ἂν γενόμενα, οὐχ οἷά τε γενέσθαι. (Sch.) Gr. 69, 7 A. 1. — λογοποιοῦσιν. Theophr. Char. ἡ λογοποιία ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων ὧν βούλεται ὁ λογοποιῶν. (Bl.)

§ 2. καὶ — μέντοι. Gr. 69, 36 A. — κακοί, διὰ κακίαν ἀδύνατοι ἐσμεν. (Sch.) ungeschickt. So. Oed. T. 545: μανθάνειν ἐγὼ κακὸς σοῦ. Gr. 55, 3 A. 3. — πρὶν ὦμεν. Gr. 54, 17 A. 4. Andre setzen vor ἡμεῖς ein Komma und denken ὦμεν zwei Mal. Gemildert würde die Härte wenn man ἔν τῳ für ἐν τῷ läse. — ἐπεξελθεῖν, αὐτοῖς. (Sch.) verfolgen. 3, 38, 1: ὁ παθὼν τῷ δράσαντι ἐπεξέρχεται. — τυραννίδας δέ. τυραννίδας τε Kr. — δυναστείας, ὀλίγων ἀνδρῶν 3, 62, 2.

§ 3. περιιδεῖν γενέσθαι. Gr. 56, 6 A. 3 u. zu 1, 35, 3. — ἐφ' ἡμῶν zu unsrer Zeit. Gr. 68, 40 A. 4. — ὑμᾶς τοὺς πολ-

νον αὐτοφώρους, χαλεπὸν γὰρ ἐπιτυγχάνειν, ἀλλὰ καὶ ὧν βούλονται μὲν δύνανται δ' οὔ — τὸν γὰρ ἐχθρὸν οὐχ ὧν δρᾷ μόνον ἀλλὰ καὶ τῆς διανοίας προαμύνεσθαι χρή, εἴπερ καὶ μὴ προφυλαξάμενός τις προπείσεται — τοὺς δ' αὖ ὀλί-
γους τὰ μὲν ἐλέγχων τὰ δὲ φυλάσσων, τὰ δὲ καὶ διδάσκων·
4 μάλιστα γὰρ δοκῶ ἄν μοι οὕτως ἀποτρέπειν τῆς κακουργίας. καὶ δῆτα, ὃ πολλάκις ἐσκεψάμην, τί καὶ βούλεσθε, ὦ νεώ-
τεροι; πότερον ἄρχειν ἤδη; ἀλλ' οὐκ ἔννομον· ὁ δὲ νόμος ἐκ τοῦ μὴ δύνασθαι ὑμᾶς μᾶλλον ἢ δυναμένους ἐτέθη ἀτι-
μάζειν. ἀλλὰ δὴ μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι; καὶ πῶς
39 δίκαιον τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι; φήσει τις δημοκρατίαν οὔτε ξυνετὸν οὔτ' ἴσον εἶναι, τοὺς δ' ἔχοντας τὰ χρήματα καὶ ἄρχειν ἄριστα βελτίστους. ἐγὼ δέ φημι πρῶτα μὲν δῆμον ξύμπαν ὠνομάσθαι, ὀλιγαρχίαν δὲ μέρος, ἔπειτα φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βου-
λεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετούς, κρῖναι δ' ἂν ἀκούσαν-

λούς, τὸ ὑμέτερον πλῆθος. (St.) Gr. 50, 8 A. 2. — αὐτοφώρους, ἐπ' αὐτοφώρῳ λαμβάνων. χαλεπὸν γὰρ ἐπ' αὐτοφώρῳ ἔχειν αὐτούς. (Sch.) — καὶ ὧν hängt von κολάζων ab: für das was. (Sch.) Gr. 47, 21. — ὧν δρᾷ — τῆς διανοίας προαμύνεσθαι im Vor-aus von — abwehren Passow; vielmehr: sich in Rücksicht auf — vorher hüten, synonym mit προφυλάττεσθαι, wie 3, 12, 2. — εἴπερ — προπείσεται wenn anders auch wer sich nicht vor-her gehütet hat vorher zu leiden erwarten muß, also syno-nym mit ἐπείπερ καί. (Ba.) — τοὺς ὀλίγους die Oligarchen. Gr. 50, 4 A. 12. — ἐλέγχων, ἤγουν φανερῶς δεικνύων. (Sch.) Ueber den doppelten Ac. Gr. 46, 11 A. 2. Plat. Lys. 222: τοῦτό γε ᾠόμεθα ἐξελέγξαι ἡμᾶς αὐτούς. Dem. 45, 5: οὗτος πάντα ἐξελεγχθήσεται.

§ 4. ὅ. Gr. 51, 13 A. 13. — τί καί. Gr. 69, 32 A. 16. — δύνασθαι, ἄρχειν, διὰ τὴν ἡλικίαν. (Sch.) — τοῦ ἀτιμάζειν um zurückzusetzen, nicht auch von ἐκ regiert, sondern nach Gr. 47, 22 A. 2 zu erklären. (Ba.) vgl. zu 1, 4, 1. Reiske vermuthete ἀτιμάζων, wie in dem Sch. steht. — ἀλλά oder. Gr. 69, 4 A. 4. — ἰσονομεῖσθαι, ἰσότιμοι εἶναι. (Sch.) An schließt sich dies noch an τί καὶ βούλεσθε. (Sch.) — τοὺς αὐτούς, τοὺς ἴσους καὶ ὁμοίους, τοὺς ἐν ἴσῳ ὄντας. (Hf.) Nämlich Bürger.

C. 39. § 1. ἄρχειν ἄριστα βελτίστους seien am besten zu regieren die geschicktesten. (Ba.) — ξύμπαν die ganze Masse der Bürger. (Ba.) — κρῖναι. Aristot. Pol. 3, 10, 5: κρίνει ἄμεινον ὄχλος πολλὰ ἢ εἷς ὅστις οὖν. Ἔτι μᾶλλον ἀδιάφθορον τὸ πολύ, καθάπερ ὕδωρ τὸ πλεῖον. οὕτω καὶ τὸ πλῆθος τῶν ὀλίγων ἀδιαφθορώ-
τερον. τοῦ δὲ ἑνὸς ὑπ' ὀργῆς κρατηθέντος ἢ τινος ἑτέρου πάθους τοιού-

τας ἄριστα τοὺς πολλούς, καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖν. ὀλιγαρχία δὲ τῶν 2
μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσιν, τῶν δ' ὠφελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμπαν ἀφελομένη ἔχει· ἃ ὑμῶν οἵ τε δυνάμενοι καὶ οἱ νέοι προθυμοῦνται, ἀδύνατα ἐν μεγάλῃ πόλει κατασχεῖν. ἀλλ' ἔτι καὶ νῦν, ὦ πάντων ἀξυνετώτατοι, εἰ μὴ μανθάνετε κακὰ σπεύδοντες, ἢ ἀμαθέστατοί ἐστε ὧν ἐγὼ οἶδα Ἑλλήνων, ἢ ἀδικώτατοι, εἰ εἰδότες τολμᾶτε· ἀλλ' ἤτοι μαθόντες γε ἢ μεταγνόντες τὸ τῆς πό- 40
λεως ξύμπασι κοινὸν αὔξετε, ἡγησάμενοι τοῦτο μὲν ἂν καὶ ἴσον καὶ πλέον οἱ ἀγαθοὶ ὑμῶν ἥπερ τὸ τῆς πόλεως πλῆθος μετασχεῖν, εἰ δ' ἄλλα βουλήσεσθε, καὶ τοῦ παντὸς κινδυ-
νεῦσαι στερηθῆναι· καὶ τῶν τοιῶνδε ἀγγελιῶν ὡς πρὸς αἰ- 2
σθομένους καὶ μὴ ἐπιτρέψοντας ἀπαλλάγητε. ἡ γὰρ πόλις ἥδε, καὶ εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται αὐτοὺς ἀξίως αὐτῆς, καὶ στρατηγοί εἰσιν ἡμῖν οἳ σκέψονται αὐτά· καὶ εἰ μὴ

τοῦ ἀναγκαῖον διεφθάρθαι τὴν χρίσιν. — ταῦτα — ἰσομοιρεῖν und dieſe Menſchenclaſſen haben ſowohl nach den einzelnen Theilen als im Ganzen in der Demokratie Gleichheit der Rechte. (Sch.) — μέρη. τὰ μέρη einige gute Hſn.

§ 2. καὶ ξύμπαν. Gr. 69, 32 A. 18. vgl. über ἀλλά ohne zugehöriges καί 69, 4 A. 3. — ἀφελομένη ἔχει. Gr. 56, 3 A. 6. — ἅ, τὸ πλεονεκτεῖν καὶ τὸ ξύμπαν ἀφελομένους ἔχειν. Ueber den Ac. Gr. 46, 6 A. 3 u. zu 5, 17, 1. — οἱ δυνάμενοι, οἱ ὀλιγαρχικοί (Sch.) Sonſt auch οἱ δυνατοί. Kr. zu Dion. p. 270. vgl. Gr. 52, 1 A. 2. — ἀδύνατα κατασχεῖν. Gr. 55, 3 A. 7. — ἔτι καὶ νῦν bezieht ſich dem Gedanken nach auf ἤτοι — αὔξετε 40, 1. (Dobree.) Dieſem Satze iſt der nachfolgende εἰ μὴ — τολμᾶτε nach griechiſcher Weiſe (Gr. 65, 10 A. zweite Ausg. u. zu τίθεται 1, 6, 4) coordinirt, da er ihm eigentlich ſubordinirt ſein müßte: ἀλλ' ἐπειδὴ — τολμᾶτε, ἔτι καὶ νῦν ἤτοι —. — κακὰ σπεύδοντες. Gr. 56, 7 A. 5.

C. 40. § 1. τὸ κοινόν, τὸ κοινῶς ὠφέλιμον. (Sch.) — ἡγησάμενοι. Gr. 53, 5 A. 2. — τοῦτο μετασχεῖν. Gr. 47, 15 A. 1. — οἱ ἀγαθοί epithetiſch zu dem in ἡγησάμενοι liegenden ὑμεῖς (Gr. 50, 8 A. 3) als Subject des Infinitivs. Gr. 55, 2 A. 1. — τοῦ παντός, durch Verbannung. — κινδυνεῦσαι. Man denke noch ἄν aus dem Vorigen. Gr. 69, 7 A. 4.

§ 2. τοιῶνδε 36, 1 f. — ὡς πρός, indem τῶν ἀγγελιῶν ἀπαλλάγητε ein μὴ ἀπαγγείλητε, μὴ λέξητε enthält. — ἐπιτρέψοντας, die Nachrichten und was man durch ſie zu erreichen ſtrebt. — ἔρχονται. Gr. 53, 1 A. 8. — εἰ μή — ἔστιν, εἰ μὴ ἔρχονται Ἀθηναῖοι (Sch.

τι αὐτῶν ἀληθές ἐστιν, ὥσπερ οὐκ οἴομαι, οὐ πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα καὶ ἑλομένη ὑμᾶς ἄρχοντας
3 αὐθαίρετον δουλείαν ἐπιβαλεῖται, αὐτὴ δ' ἐφ' αὑτῆς σκοποῦσα τούς τε λόγους ἀφ' ὑμῶν ὡς ἔργα δυναμένους κρινεῖ καὶ τὴν ὑπάρχουσαν ἐλευθερίαν οὐχὶ ἐκ τοῦ ἀκούειν ἀφαιρεθήσεται, ἐκ δὲ τοῦ ἔργῳ φυλασσομένη μὴ ἐπιτρέπειν πειράσεται σώζειν."

41 Τοιαῦτα μὲν Ἀθηναγόρας εἶπεν, τῶν δὲ στρατηγῶν εἷς ἀναστὰς ἄλλον μὲν οὐδένα ἔτι εἴασε παρελθεῖν, αὐτὸς δὲ πρὸς τὰ παρόντα ἔλεξε τοιάδε. "διαβολὰς μὲν οὐ σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους οὔτε τοὺς ἀκούοντας ἀποδέχεσθαι, πρὸς δὲ τὰ ἐσαγγελλόμενα μᾶλλον ὁρᾶν, ὅπως εἷς τε ἕκαστος καὶ ἡ ξύμπασα πόλις καλῶς τοὺς ἐπιόντας παρα-
2 σκευασόμεθα ἀμύνεσθαι. καὶ ἢν ἄρα μηδὲν δείσῃ, οὐδεμία βλάβη τοῦ γε τὸ κοινὸν κοσμηθῆναι καὶ ἵπποις καὶ ὅπλοις καὶ τοῖς ἄλλοις οἷς ὁ πόλεμος ἀγάλλεται — τὴν δὲ ἐπιμέλειαν καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἕξομεν — καὶ τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα ἔς τε κατασκοπὴν καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. τὰ δὲ καὶ ἐπιμεμελήμεθα ἤδη καὶ ὅ τι ἂν αἰσθώμεθα ἐς ὑμᾶς οἴσομεν." καὶ οἱ μὲν Συρακόσιοι τοσαῦτα εἰπόντος τοῦ στρατηγοῦ διελύθησαν ἐκ τοῦ ξυλλόγου.

---

u. Hk.) vgl. § 3. — *οὐκ οἴομαι* ich bezweifle daß sie kommen werden; *οὔν* für *οὐκ* Franz z. Lys. p. 258.

§ 3. *αὐτή*. Gr. 51, 2 A. 12. — *ἐφ' ἑαυτῆς*. Gr. 68, 40 A. 6. — *ἀφ' ὑμῶν*. zu 1, 37, 1; über die Nichtwiederholung des *τούς* Gr. 50, 9 A. 9. — *ὡς* gehört zu *ἔργα*, Gr. 57, 3 A. 2. — *ἔργα* thatsächliche Versuche gegen eure Freiheit. — *δυναμένους, ἴσα.* (Sch.) — *ἐκ δὲ — ἐπιτρέπειν* dadurch daß sie thatsächlich sich hütend euch nicht gewähren läßt, nicht gestattet eure Bestrebungen durchzusetzen. (Ps.)

C. 41. § 1. *πρός* in Bezug auf. (Va.) — *τινάς. τινά* würde man erwarten. vgl. zu 3, 36, 4.

§ 2. *δείσῃ, ἀμύνεσθαι.* — *τοῦ τε. τοῦ γε* Abr. *τέ* ist auf *καί* vor *τῶν πρός* zu beziehen. (Ds.) — *ἀγάλλεται* prunkt, kühn vom Kriege. — *τὴν δ' — ἕξομεν* parenthetisch. (Ds.) Sonst stand nach *ἀγάλλεται* ein Punct und man verband also *τῶν διαπομπῶν* mit *ἐπιμέλειαν.* — *ἤν τι ἄλλο, ἐς ἄλλο τι ὅ ἄν.* — *ἐπιμεμελήμεθα* ein seltenes Perf. Gr. § 40 unter *μέλει.* — *ἐς ὑμᾶς οἴσομεν* werden wir vor euch bringen, zur Berathung.

Οἱ δ' Ἀθηναῖοι ἤδη ἐν τῇ Κερκύρᾳ αὐτοί τε καὶ οἱ 42
ξύμμαχοι ἅπαντες ἦσαν. καὶ πρῶτον μὲν ἐπεξέτασιν τοῦ στρατεύματος καὶ ξύνταξιν, ὥσπερ ἔμελλον ὁρμιεῖσθαί τε καὶ στρατοπεδεύεσθαι, οἱ στρατηγοὶ ἐποιήσαντο, καὶ τρία μέρη νείμαντες ἓν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε ἅμα πλέοντες ἀπορῶσιν ὕδατος καὶ λιμένων καὶ τῶν ἐπιτηδείων ἐν ταῖς καταγωγαῖς, πρός τε τἆλλα εὐκοσμότεροι καὶ ῥᾴους ἄρχειν ὦσι, κατὰ τέλη στρατηγῷ προσιεταγμένοι· ἔπειτα δὲ προὔπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς ναῦς, εἰσομένας αἵτινες σφᾶς τῶν πόλεων δέξονται. καὶ εἴρητο αὐταῖς προαπαντᾶν, ὅπως ἐπιστάμενοι καταπλέωσιν. μετὰ δὲ ταῦτα 43
τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἄραντες ἐκ τῆς Κερκύρας ἐς τὴν Σικελίαν ἐπεραιοῦντο, τριήρεσι μὲν ταῖς πάσαις τέσσαρσι καὶ τριάκοντα καὶ ἑκατὸν καὶ δυοῖν Ῥοδίοιν πεντηκοντόροιν — τούτων Ἀττικαὶ μὲν ἦσαν ἑκατόν, ὧν αἱ μὲν ἑξήκοντα ταχεῖαι αἱ δ' ἄλλαι στρατιώτιδες, τὸ δὲ ἄλλο ναυτικὸν Χίων καὶ τῶν ἄλλων ξυμμάχων — ὁπλίταις δὲ τοῖς ξύμπασιν ἑκατὸν καὶ πεντακισχιλίοις — καὶ τούτων Ἀθη- 2
ναίων μὲν αὐτῶν ἦσαν πεντακόσιοι μὲν καὶ χίλιοι ἐξ καταλόγου, ἑπτακόσιοι δὲ θῆτες ἐπιβάται τῶν νεῶν, ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον, οἱ μὲν τῶν ὑπηκόων, οἱ δ' Ἀρ-

---

C. **42**. ἅπαντες vereinigt beide. — ἐπεξέτασιν eine zweite Musterung. (Ps.) — ξύνταξιν Anordnung. — στρατοπεδεύεσθαι. στρατοπεδεύσεσθαι Kr. — τρία μέρη in drei Theile. Gr. 46, 14. — ἓν für ἐν Reiske u. Valckenaer zu Her. 7, 49. — ἐκλήρωσαν loosten zu. — ἅμα πλέοντες für ἀναπλέοντες St. u. Valckenaer nach Va. Eine Gl. ὁμοῦ. — καταγωγαῖς Landungen. (Kuhn z. Poll. 1, 99.) — εὐκοσμότεροι, εὐτακτότεροι. (Sch.) — κατὰ τέλη, κατὰ τάξεις. (Sch.) zu 1, 48, 2. — προστεταγμένοι zugetheilt. zu 5, 8, 3. — προαπαντᾶν; τῷ στόλῳ. (Sch.)

C. **43**. § 1. ταῖς πάσαις. Gr. 50, 11 A. 13. — Ῥοδίοιν. Ῥοδίαιν eine Hs. u. eine verbessert. Doch Ῥοδίους ναῦς Memnon bei Phot. Bibl. 2 p. 224 col. 2. (Py.) — αἱ μέν; weil der Gegensatz αἱ ἄλλαι die Bestimmung gibt. Gr. 50, 4 A. 10. — στρατιώτιδες; στρατιώτας τοὺς πεζομαχήσοντας ἄγουσαι. (Sch.) — Χίων; ἦν ναυτικὸν Χίων.

§ 2. τούτων Ἀθηναίων ἦσαν unter diesen waren von den Athenern. — ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον; οἱ δὲ ἄλλοι οἳ ξυνεστράτευον ξύμμαχοι ἦσαν. Gr. 50, 11 A. 1. — τῶν ὑπηκόων aus der Zahl der Unterthanen, von ξύμμαχοι re-

γείων, πενταχόσιοι, καὶ Μαντινέων καὶ μισθοφόρων, πενηήκοντα καὶ διακόσιοι — τοξόταις δὲ τοῖς πᾶσιν ὀγδοήκοντα καὶ τετρακοσίοις — καὶ τούτων Κρῆτες οἱ ὀγδοήκοντα ἦσαν — καὶ σφενδονήταις Ῥοδίων ἑπτακοσίοις καὶ Μεγαρεῦσι ψιλοῖς φυγάσιν εἴκοσι καὶ ἑκατὸν καὶ ἱππαγωγῷ μιᾷ, τριάκοντα ἀγούσῃ ἱππέας.

44 Τοσαύτη ἡ πρώτη παρασκευὴ πρὸς τὸν πόλεμον διέπλει, τούτοις δὲ τὰ ἐπιτήδεια ἄγουσαι ὁλκάδες μὲν τριάκοντα σιταγωγοί, καὶ τοὺς σιτοποιοὺς ἔχουσαι καὶ λιθολόγους καὶ τέκτονας καὶ ὅσα ἐς τειχισμὸν ἐργαλεῖα, πλοῖα δὲ ἑκατόν, ἃ ἐξ ἀναγκης μετὰ τῶν ὁλκάδων ξυνέπλει· πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα· ἃ τότε πάντα ἐκ τῆς Κερκύρας ξυνδιέβαλλε τὸν
2 Ἰόνιον κόλπον. καὶ προσβαλοῦσα ἡ πᾶσα παρασκευὴ πρός τε ἄκραν Ἰαπυγίαν καὶ πρὸς Τάραντα καὶ ὡς ἕκαστοι εὐπόρησαν, παρεκομίζοντο τὴν Ἰταλίαν, τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ οὐδὲ ἄστει, ὕδατι δὲ καὶ ὁρμῳ, Τάραντος δὲ καὶ Λοκρῶν οὐδὲ τούτοις, ἕως ἀφίκοντο ἐς Ῥήγιον τῆς Ἰταλίας ἀκρωτήριον. καὶ ἐνταῦθα ἤδη ἠθροίζοντο,
3 καὶ ἔξω τῆς πόλεως, ὡς αὐτοὺς εἶσω οὐκ ἐδέχοντο, στρατόπεδόν τε κατεσκευάσαντο ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ, οὗ αὖ-

---

giert. Gr. 47, 9. Eben ſo οἱ δὲ Α. die andern aus der Zahl der A. — οἱ ὀγδοήκοντα. Gr. 50, 2 A. 8.

C. 44. § 1. τούτοις, auf die in παρασκευή gedachten Menſchen bezogen. (Ba.) Gr. 58, 4 A. 1. — ὁλκάδες, διέπλεον. Sonſt ſetzt nach διέπλει ein Punct, wobei auch hier ξυνηκολούθουν als Verbum (Hſ.) oder ξυνέπλει zwei Mal zu denken wäre. — ἑκούσιος als Fe. findet ſich etwa an einem Dutzend Stellen guter Attiker; einige weniger habe ich von ἑκουσία angemerkt. vgl. 7, 57, 7 u. 8, 27, 3. — ἃ fehlt in einer Hſ. — ἐξ ἀνάγκης, wahrſcheinlich Privatleuten gehörige, von Staatswegen dazu gezwungene. (Dr.) — ξυνδιέβαλε, συνδιεπεραιώθη. (Sch.)

§ 2. ὡς ἕκαστοι εὐπόρησαν, durch καί an πρὸς Τάραντα angefügt, und andere anderswohin wie jegliche es bewerkſtelligen konnten. (Ba. u. St.) — εὐπόρησαν, προσβάλλειν. (Pp.) — παρεκομίζοντο, παραπλέοντες ἐκομίζοντο. (Sch.) — ἀγορᾷ, ἀγορὰν παρεχουσῶν. (Jacobs.) vgl. 6, 50, 1. 2. — ἕως ἀφίκοντο iſt auf οὐ δεχομένων zu beziehen.

§ 3. ἤδη ſodann, demnächſt, nach ἐνταῦθα 4, 35, 1. 7, 44 1; nach οὕτως 5, 38, 2. 76, 2. 6, 48, 2. 49, 3, nach ἔπειτα 8, 46, 4 vgl. I 118, 1. 5, 81, 2 u. zu 6, 32, 2. — ἱερῷ. zu 4, 90, 2. —

τοῖς καὶ ἀγορὰν παρεῖχον καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν. καὶ πρός τε τοὺς Ῥηγίνους λόγους ἐποιήσαντο, ἀξιοῦντες Χαλκιδέας ὄντας Χαλκιδεῦσιν οὖσι Λεοντίνοις βοηθεῖν· οἱ δὲ οὐδὲ μεθ' ἑτέρων ἔφασαν ἔσεσθαι, ἀλλ' ὅ τι 4
ἂν καὶ τοῖς ἄλλοις Ἰταλιώταις ξυνδοκῇ, τοῦτο ποιήσειν. οἱ δὲ πρὸς τὰ ἐν τῇ Σικελίᾳ πράγματα ἐσκόπουν ὅτῳ τρόπῳ ἄριστα προσοίσονται· καὶ τὰς πρόπλους ναῦς ἐκ τῆς Ἐγέστης ἅμα προσέμενον, βουλόμενοι εἰδέναι περὶ τῶν χρημάτων εἰ ἔστιν ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι.

Τοῖς δὲ Συρακοσίοις ἐν τούτῳ πολλαχόθεν τε ἤδη καὶ 45
ἀπὸ τῶν κατασκόπων σαφῆ ἠγγέλλετο ὅτι ἐν Ῥηγίῳ αἱ νῆες εἰσιν καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ καὶ οὐκέτι ἠπίστουν. καὶ ἔς τε τοὺς Σικελοὺς περιέπεμπον, ἔνθα 2
μὲν φύλακας, πρὸς δὲ τοὺς πρέσβεις, καὶ ἐς τὰ περιπόλια τὰ ἐν τῇ χώρᾳ φρουρὰς ἐσεκόμιζον, τά τε ἐν τῇ πόλει ὅπλων ἐξετάσει καὶ ἵππων ἐσκόπουν εἰ ἐντελῆ ἔστιν, καὶ τἆλλα ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὅσον οὐ παρόντι καθίσταντο.

παρεῖχον, οἱ Ῥηγῖνοι δηλονότι. (Sch.) — ἀνελκύσαντες, ἤγουν ἐκ τῆς θαλασσης εἰς τὴν ξηράν. (Sch.) vgl. 3, 89, 3. 6, 104, 3. 7, 1, 3 :c u. zu 6, 34, 4. — πρός τε. Thuk., meint Arn., habe angefangen als solle § 4 folgen καὶ πρὸς τὰ πράγματα ἐσκόπουν.

§ 4. οὐδὲ μεθ' ἑτέρων, οὔτε μετὰ τῶν Ἀθηναίων οὔτε μετὰ τῶν Συρακουσίων. (Sch.) Gr. 24, 2 A. 2 u. zu 2, 67, 5 u. 4, 18, 2. — πρὸς τὰ — προσοίσονται sich in Bezug auf die — benehmen sollten. vgl. 5,'105, 3. — πρόπλους vorausgeschickte. vgl. Mor. zu Isokr. Paneg. 26 § 92. (Py.) Das Wort ist auch Xen. Hell. 5, 1, 27 wieder herzustellen. Gemeint sind die 6, 42 erwähnten. vgl. 6, 46, 1. (Bl.) App. Bürg. 5, 85. 87. 98. ναῦς ἐπίπλους Pol. 1, 50, 6. — Ἰταλιώταις. Gr. 41, 9 A. 5. — τῶν χρημάτων 6, 6, 4. 8, 2.

C. 45. § 1. ἀπό. zu 6, 28, 1. — ὡς ἐπὶ τούτοις wie auf den Grund, in Folge dieser Thatsachen, in der Voraussetzung daß dieselben eingetreten seien. Aehnlich § 2. vgl. 7, 73, 3 u. zu 1, 65, 1. — γνώμῃ Eifer. (Va.)

§ 2. ἔνθα, εἰς τινας. (Sch.) ἐς τά Kr. Wenigstens wird jenes sonst so nicht leicht vorkommen. — περιπόλια für περίπλοια nur einige schlechte Hss., doch richtig zu 3, 99. — ἐντελῆ im gehörigen Zustande. — ὡς ἐπὶ ταχεῖ, ὡς ἐν συντόμῳ ἐσομένῳ. (Sch.)

46 Αἱ δ' ἐκ τῆς Ἐγέστης τρεῖς νῆες αἱ πρόπλοι παραγίγνονται τοῖς Ἀθηναίοις ἐς τὸ Ῥήγιον, ἀγγέλλουσαι ὅτι τἆλλα μὲν οὐκ ἔστι χρήματα ἃ ὑπέσχοντο, τριάκοντα δὲ τάλαντα μόνα φαίνεται. καὶ οἱ στρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό τε πρῶτον ἀντεκεκρούκει καὶ οἱ Ῥηγῖνοι οὐκ ἐθελήσαντες ξυστρατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν καὶ εἰκὸς ἦν μάλιστα, Λεοντίνων τε ξυγγενεῖς ὄντας καὶ
2 σφίσιν ἀεὶ ἐπιτηδείους. καὶ τῷ μὲν Νικίᾳ προσδεχομένῳ ἦν τὰ παρὰ τῶν Ἐγεσταίων, τοῖν δὲ ἑτέροιν καὶ ἀλογώτερα. οἱ δὲ Ἐγεσταῖοι τοιόνδε τι ἐξετεχνήσαντο τότε ὅτε οἱ πρῶτοι πρέσβεις τῶν Ἀθηναίων ἦλθον αὐτοῖς ἐς τὴν κατασκοπὴν τῶν χρημάτων. ἔς τε τὸ ἐν Ἔρυκι ἱερὸν τῆς Ἀφροδίτης ἀγαγόντες αὐτοὺς ἐπέδειξαν τὰ ἀναθήματα, φιάλας τε καὶ οἰνοχόας καὶ θυμιατήρια καὶ ἄλλην κατασκευὴν οὐκ ὀλίγην, ἃ ὄντα ἀργυρᾶ πολλῷ πλείω τὴν ὄψιν ἀπ' ὀλίγης δυνάμεως
3 χρημάτων παρείχετο· καὶ ἰδίᾳ ξενίσεις ποιούμενοι τῶν τριηριτῶν τά τε ἐξ αὐτῆς Ἐγέστης ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες καὶ τὰ ἐκ τῶν ἐγγὺς πόλεων καὶ Φοινικικῶν καὶ Ἑλληνίδων αἰτησάμενοι ἐσέφερον ἐς τὰς ἑστιάσεις ὡς οἰκεῖα ἕκαστοι. καὶ πάντων ὡς ἐπὶ τὸ πολὺ τοῖς αὐτοῖς χρωμένων καὶ πανταχοῦ πολλῶν φαινομένων μεγάλην

C. 46. § 1. *ἀντεκεκρούκει, παρὰ γνώμην ἀπηντήκει, ἀποβεβήκει.* (Sch.) Das uns hart klingende Perf. haben auch Plat. Phädr. 228, e, Dem. 21, 206. 33, 7. 37, 15. — *καὶ οἱ Ῥηγῖνοι, ἀντεκεκρούκεσαν.* (Ba.) — *οὐκ ἐθελήσαντες.* Gr. 50, 11 A. 3 u. 56, 10 A. 2. vgl. 6, 80, 2 u. zu 1, 2, 2. — *ἤρξαντο* unternommen hatten. (Ba.) — *εἰκὸς ἦν, ξυστρατεύειν δηλονότι τοῖς Ἀθηναίοις.* (Sch.)

§ 2. *Νικίᾳ* 6, 22, 3. (Ds.) — *προσδεχομένῳ ἦν.* Gr. 48, 6 A. 4. vgl. 2, 60, 1. — *τοῖν ἑτέροιν, Νικίᾳ καὶ Ἀλκιβιάδῃ* (Sch.) — *τὰ παρὰ τῶν* das von Egesta her über das dort Befundene Gemeldete. zu 6, 22, 3. — *καὶ ἀλογώτερα, ἔτι μᾶλλον παρὰ γνώμην.* (Jacobs.) Ueber *καί* Gr. 69, 32 A. 18. — *τότε* 6, 8, 1. (Ds.) — *κατασκευή* Geräthe. zu 2, 97, 3. — *πολλῷ — παρείχετο, ὀλίγα τῇ δυνάμει ὄντα μεγάλην φαντασίαν παρεῖχε.* (Sch.) — *πλείω, τῆς δυνάμεως.* (Jacobs.) — *ἀπό.* Gr. 68, 16 A. 7. — *δυνάμεως* Betrag. zu 5, 20, 3.

§ 3. *ξένισις.* τραχύ nach Poll. 6, 7 u. ein dem Thuk. eigenthümliches Wort. Lobeck z. Phryn. p. 351. — *αἰτησάμενοι, χρησάμενοι* (liehen). *τὸ δὲ αἰτήσαντες ἀντὶ τοῦ λαβόντες ἄνευ τοῦ μέλλειν ἀποδώσειν.* (Sch.) — *τοῖς ἐκ.* Gr. 50, 8 A. 16. — *παρεῖχε, ταῦτα.* Gr. 47, 4 A. 2. (Ds.)

τὴν ἔκπληξιν τοῖς ἐκ τῶν ἱερῶν Ἀθηναίοις παρεῖχεν, καὶ 4
ἀφικόμενοι ἐς τὰς Ἀθήνας διεθρόησαν ὡς χρήματα πολλὰ
ἴδοιεν.

Καὶ οἱ μὲν αὐτοί τε ἀπατηθέντες καὶ τοὺς ἄλλους τότε
πείσανιες, ἐπειδὴ διῆλθεν ὁ λόγος ὅτι οὐκ εἴη ἐν τῇ Ἐγέστῃ
τὰ χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν·
οἱ δὲ στρατηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο, καὶ Νικίου 47
μὲν ἦν γνώμη πλεῖν ἐπὶ Σελινοῦντα πάσῃ τῇ στρατιᾷ,
ἐφ' ὅπερ μάλιστα ἐπέμφθησαν, καὶ ἢν μὲν παρέχωσι χρή-
ματα παντὶ τῷ στρατεύματι Ἐγεσταῖοι, πρὸς ταῦτα βουλεύ-
εσθαι, εἰ δὲ μή, ταῖς ἑξήκοντα ναυσίν, ὅσας περ ἠτήσαντο,
ἀξιοῦν διδόναι αὐτοὺς τροφήν, καὶ παραμείναντας Σελινουν- 2
τίους ἢ βίᾳ ἢ ξυμβάσει διαλλάξαι αὐτοῖς, καὶ οὕτω, παρα-
πλεύσαντας τὰς ἄλλας πόλεις καὶ ἐπιδείξαντας μὲν τὴν δύ-
ναμιν τῆς Ἀθηναίων πόλεως, δηλώσαντας δὲ τὴν ἐς τοὺς
φίλους καὶ ξυμμάχους προθυμίαν, ἀποπλεῖν οἴκαδε, ἢν μή
τι δι' ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου ἢ Λεοντίνους οἷοί τε
ὦσιν ὠφελῆσαι ἢ τῶν ἄλλων τινὰ πόλεων προσαγαγέσθαι,
καὶ τῇ πόλει δαπανῶντας τὰ οἰκεῖα μὴ κινδυνεύειν. Ἀλκι- 48
βιάδης δὲ οὐκ ἔφη χρῆναι τοσαύτῃ δυνάμει ἐκπλεύσαντας
αἰσχρῶς καὶ ἀπράκτως ἀπελθεῖν, ἀλλ' ἔς τε τὰς πόλεις ἐπι-
κηρυκεύεσθαι πλὴν Σελινοῦντος καὶ Συρακουσῶν τὰς ἄλλας,
καὶ πειρᾶσθαι καὶ τοὺς Σικελοὺς τοὺς μὲν ἀφιστάναι ἀπὸ
τῶν Συρακοσίων τοὺς δὲ φίλους ποιεῖσθαι, ἵνα σῖτον καὶ

---

§ 4. διεθρόησαν verbreiteten das Gerücht, bei Thuk. nur noch 8, 91, 1, bei Xen. nur Hell. 1, 6, 4. Auch θροῦς ist nicht allgemein üblich, bei Thuk. 4, 66, 2. 5, 7, 1. 29, 2. 30, 1. 8, 79, 1. vgl. Lex. Xen. — ὑπό. Plat. Apol. 38, c: ὄνομα ἔξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων λαιδορεῖν τὴν πόλιν. (Jacobs.) Gr. 52, 3 A. 3. — πρός, wie 6, 47, 1. vgl. Gr. 68, 39 A. 5.

C. 47. § 1. ἐφ' ὅπερ wozu zu 1, 59. — ὅσασπερ 6, 8, 1. (Ds.)

§ 2. παραμείναντας, τοὺς Ἀθηναίους. (Sch.) — παραπλεῖν, mit dem Ac. wie 62, 2. 104, 3. 7, 56, 1. Gr. 46, 6 A. 8. — αὐτοῖς den Egestäern. (Ps.) — ἐπιδείξαντες. vgl. 6, 11, 3. (Ds.) — δι' ὀλίγου, διὰ ταχέων. (Sch.) zu 1, 77, 4. u. 4, 95, 1. — ἀπό. zu 6, 34, 8. — τῇ πόλει hängt von κινδυνεύειν ab. (Kr.) zu 6, 9, 3. — οἰκεῖα, im Gegensatze zu dem Vermögen der Egestäer.

C. 48. § 1. ἀπράκτως. ἀπράκτους Kr. vgl. 1, 111, 1. 3, 113, 3. 4, 22, 3. 61, 5. 99. 5, 38, 5. 56, 5. 6, 85, 3. 86, 4. Gr.

2 στρατιὰν ἔχωσιν, πρῶτον δὲ πείθειν Μεσσηνίους — ἐν πόρῳ γὰρ μάλισια καὶ προσβολῇ εἶναι αὐτοὺς τῆς Σικελίας, καὶ λιμένα καὶ ἐφόρμησιν τῇ στρατιᾷ ἱκανωτάτην ἔσεσθαι — · προσαγαγομένους δὲ τὰς πόλεις, εἰδότας μεθ' ὧν τις πολε-
μήσει, οὕτως ἤδη Συρακούσαις καὶ Σελινοῦντι ἐπιχειρεῖν, ἢν μὴ οἱ μὲν Ἐγεσταίοις ξυμβαίνωσιν, οἱ δὲ Λεοντίνους ἐῶσι
49 κατοικίζειν. Λάμαχος δὲ ἄντικρυς ἔφη χρῆναι πλεῖν ἐπὶ Συρακούσας καὶ πρὸς τῇ πόλει ὡς τάχιστα τὴν μάχην ποιεῖσθαι, ἕως ἔτι ἀπαράσκευοί τ' εἰσὶ καὶ μάλιστα ἐκπεπλη-
γμένοι. τὸ γὰρ πρῶτον πᾶν στράτευμα δεινότατον εἶναι· ἢν δὲ χρονίσῃ πρὶν ἐς ὄψιν ἐλθεῖν, τῇ γνώμῃ ἀναθαρσοῦν-
2 τας ἀνθρώπους καὶ τῇ ὄψει καταφρονεῖν μᾶλλον. αἰφνίδιοι δὲ ἢν προσπέσωσιν, ἕως ἔτι περιδεεῖς προσδέχονται, μά-
λισι' ἂν σφᾶς περιγενέσθαι καὶ κατὰ πάντα ἂν αὐτοὺς ἐκ-
φοβῆσαι, τῇ τε ὄψει — πλεῖστοι γὰρ· ἂν νῦν φανῆναι — καὶ τῇ προσδοκίᾳ ὧν πείσονται, μάλισια δ' ἂν τῷ αὐτίκα κιν-
δύνῳ τῆς μάχης. εἰκὸς δὲ εἶναι καὶ ἐν τοῖς ἀγροῖς πολλοὺς

57, 5. vgl. Gr. 59, 2 A. 3. Das Adv. gebraucht Thuk. sonst weder so noch überhaupt irgendwie. — *ἔχωσι, οἱ Ἀθηναῖοι.*

§ 2. *πόρῳ, περαιώσει.* (Sch.) zu 1, 120, 2. — *προσβολῇ.* zu 4, 1, 1. — *ἐφόρμησιν. ἐφόρμισιν* einige Hsn.; dieses: Ankerplatz dabei, jenes: Standort um von demselben aus Angriffe gegen die Feinde zu unternehmen. — *τις.* Gr. 51, 16 A. 8. — *ἤδη.* zu 44, 3. — *οἱ μέν*, die Selinuntier. Gr. 50, 1 A. 2. — *Ἐγεσταίοις ξυμβαίνωσιν* sich mit den E. aussöhnten. vgl. 3, 52, 1. 4, 128, 4. 5, 80, 1. 81, 1. 8, 98, 2. — *κατοικίζειν, τοὺς Ἀθηναίους* als Subject.

C. 49. § 1. *ἄντικρυς* geradezu, zu *πλεῖν* gehörig. (Hl.) vgl. zu 2, 4, 3. — *τὴν μάχην* den Entscheidungskampf, wie Xen. An. 2, 1, 4. — *ἀνθρώπους* würde ich lieber entbehren. Gr. 55, 2 A. 6. — *καὶ τῇ ὄψει* auch beim Anblick Va. u. A. Allein dabei vermißt man *ἔν.* (Pv.) Es wird also *τῇ γνώμῃ καὶ τῇ ὄψει ἀναθαρσοῦντας* zu verbinden sein. vgl. zu 4, 34, 1. (Kr.) Indeß könnte man *τῇ ὄψει* allenfalls dynamisch fassen: durch den Anblick verachten.

§ 2. *αἰφνίδιοι. αἰφνίδιον* die besten Hsn.; gegen den Sprachgebrauch. zu 4, 75, 3. Vielleicht verführte die falsche La. dieser Stelle Spätere *αἰφνίδιον* adverbial zu gebrauchen. zu 4, 112, 1. vgl. Apv. Pun. 8, 97, Mak. 9, 9, 5, Syr. 19, Stob. 105, 62. — *σφᾶς. σφεῖς* Bk. So steht *σφᾶς* auf ein singulares Subject bezogen öfter. zu 3, 111, 2. — *αὐτούς, τοὺς Συρακουσίους.* (Sch.) — *μάλιστα — μάχης. ἀπὸ κοινοῦ τὸ ἐκφοβῆσαι αὐτοὺς τῷ προσδοκῆσαι αὐτίκα ἐν κινδύνῳ δι-*

ἀπολῃφθῆναι ἔξω διὰ τὸ ἀπισιεῖν σφᾶς μὴ ἥξειν, καὶ ἐσκομιζομένων αὐτῶν τὴν στρατιὰν οὐκ ἀπορήσειν χρημάτων, ἣν πρὸς τῇ πόλει κρατοῦσα καθέζηται. τούς τε ἄλλους Σικε- 3
λιώτας οὕτως ἤδη μᾶλλον καὶ ἐκείνοις οὐ ξυμμαχήσειν καὶ σφίσι προσιέναι καὶ οὐ διαμελλήσειν περισκοποῦντας ὁπότεροι κρατήσουσιν. ναύσταθμον δὲ ἐπαναχωρήσαντας καὶ ἐφορμηθέντας Μέγαρα ἔφη χρῆναι ποιεῖσθαι, ἃ ἦν ἐρῆμα, ἀπέχοντα Συρακουσῶν οὔτε πλοῦν πολὺν οὔτε ὁδόν.

Λάμαχος μὲν ταῦτα εἰπὼν ὅμως προσέθετο καὶ αὐτὸς 50
τῇ Ἀλκιβιάδου γνώμῃ. μετὰ δὲ τοῦτο Ἀλκιβιάδης τῇ αὑτοῦ
νηῒ διαπλεύσας ἐς Μεσσήνην καὶ λόγους ποιησάμενος περὶ
ξυμμαχίας πρὸς αὐτούς, ὡς οὐκ ἔπειθεν ἀλλ' ἀπεκρίναντο
πόλει μὲν ἂν οὐ δέξασθαι, ἀγορὰν δ' ἔξω παρέξειν, ἀπέπλει
ἐς τὸ Ῥήγιον. καὶ εὐθὺς ξυμπληρώσαντες ἑξήκοντα ναῦς ἐκ 2
πασῶν οἱ στρατηγοὶ καὶ τὰ ἐπιτήδεια λαβόντες παρέπλεον ἐς
Νάξον, τὴν ἄλλην στρατιὰν ἐν Ῥηγίῳ καταλιπόντες καὶ ἕνα
σφῶν αὐτῶν. Ναξίων δὲ δεξαμένων τῇ πόλει παρέπλεον ἐς
Κατάνην. καὶ ὡς αὐτοὺς οἱ Καταναῖοι οὐκ ἐδέχοντο — ἐνῆ- 3
σαν γὰρ αὐτόθι ἄνδρες τὰ Συρακοσίων βουλόμενοι —, ἐκο-

αμαχήσεσθαι. (Sch) — ἀπολῃφθῆναι. ἀπολειφθῆναι einige Hsn., wofür eher ὑπολειφθῆναι zu erwarten wäre. (Pp.) Ueber jenes zu 2, 4, 4. Nicht nöthig ist κἂν ἐν für καὶ ἔν. vgl. zu 6, 11, 2. — μή. Gr. 67, 12 A. 3 u. zu 1, 10, 1. — ἔξω verdächtigt Kr. — ἐσκομιζομένων αὐτῶν während (wenn gleich Hl.) sie ihre Habe hinein brächten. vgl. 2, 18, 3. (Arn.) Ich verbinde dies als dem καὶ ἐν τοῖς ἀγροῖς entsprechend mit dem Vorhergehenden (vgl. über die Verbindung Gr. 59, 2 A. 3), setze nach αὐτῶν ein Kolon und lese dann: τὴν στρατιὰν δ' οὐκ —.

§ 3. περισκοποῦντας. vgl. 4, 73, 3. — ἐφορμηθέντας nachdem sie sich dorthin, nach Megara, gewendet; ἐφορμισθέντας Schäfer, dem auch Pp. folgt, obschon er bemerkt daß Thuk. nur den Ao. ὁρμίσασθαι gebraucht. — ἀπέχοντα — ὁδόν, οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης πολὺ ἀπέχοντα. (Sch.) zu 6, 2, 6.

C. 50. § 1. ὅμως. Gr. 56, 13 A. 3. — προσέθετο stimmte bei. zu 1, 20, 4. — καί vor αὐτός fehlt in den besten Hsn. — ἄν οὐ. Gr. 69, 7 A. 5. vgl. Aesch. Hik. 363, Soph Oed. K. 951, Eur. Med. 575, Or. 691, Tro. 416, Ar. Frö. 96, Ly. 825, Plut. 501, Wo. 1384, Dem. 19, 9, Xen. An. 2, 3, 18.

§ 2. ξυμπληρώσαντες bezieht Bl. auf das Zusammenbringen aus den drei Abtheilungen 6, 42; aus der ganzen Zahl Ba.

§ 3. βουλόμενοι, φρονοῦντες. (Sch.) Ungewöhnlich. vgl zu 6,

μίσθησαν ἐπὶ τὸν Τηρίαν ποταμόν, καὶ αὐλισάμενοι τῇ ὑστεραίᾳ ἐπὶ Συρακούσας ἔπλεον ἐπὶ κέρως, ἔχοντες τὰς ἄλλας ναῦς. δέκα δὲ τῶν νεῶν προὔπεμψαν ἐς τὸν μέγαν λιμένα πλεῦσαί τε καὶ κατασκέψασθαι εἴ τι ναυτικόν ἐστι καθειλκυσμένον, καὶ κηρῦξαι ἀπὸ τῶν νεῶν προσπλεύσαντας ὅτι Ἀθηναῖοι ἥκουσι Λεοντίνους ἐς τὴν ἑαυτῶν κατοικιοῦντες
4 κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν· τοὺς οὖν ὄντας ἐν Συρακούσαις Λεοντίνων ὡς παρὰ φίλους καὶ εὐεργέτας Ἀθηναίους ἀδεῶς ἀπιέναι. ἐπεὶ δ' ἐκηρύχθη καὶ κατεσκέψαντο τήν τε πόλιν καὶ τοὺς λιμένας καὶ τὰ περὶ τὴν χώραν ἐξ ἧς αὐτοῖς ὁρμωμένοις πολεμητέα ἦν, ἀπέπλευσαν πάλιν ἐς Κατάνην.
51 καὶ ἐκκλησίας γενομένης τὴν μὲν στρατιὰν οὐκ ἐδέχοντο οἱ Καταναῖοι, τοὺς δὲ στρατηγοὺς ἐσελθόντας ἐκέλευον εἴ τι βούλονται εἰπεῖν. καὶ λέγοντος τοῦ Ἀλκιβιάδου καὶ τῶν ἐν τῇ πόλει πρὸς τὴν ἐκκλησίαν τετραμμένων οἱ στρατιῶται πυλίδα τινὰ ἐνῳκοδομημένην κακῶς ἔλαθον διελόντες καὶ ἐσελ-
2 θόντες ἠγόραζον ἐς τὴν πόλιν. τῶν δὲ Καταναίων οἱ μὲν τὰ τῶν Συρακοσίων φρονοῦντες, ὡς εἶδον τὸ στράτευμα ἔνδον, εὐθὺς περιδεεῖς γενόμενοι ὑπεξῆλθον οὐ πολλοί τινες, οἱ δὲ ἄλλοι ἐψηφίσαντό τε ξυμμαχίαν τοῖς Ἀθηναίοις καὶ τὸ ἄλλο στράτευμα ἐκέλευον ἐκ Ῥηγίου κομίζειν. μετὰ δὲ τοῦτο διαπλεύσαντες οἱ Ἀθηναῖοι ἐς τὸ Ῥήγιον πάσῃ ἤδη τῇ στρατιᾷ ἄραντες ἐς τὴν Κατάνην, ἐπειδὴ ἀφίκοντο, κατεσκευάζοντο τὸ στρατόπεδον.

74, 2. — ἐπὶ κέρως. zu 6, 32, 2. Hk. u. Bk. verbinden es mit ἔπλεον. Aber dann iſt ἔχοντες nicht recht erklärlich; hingegen ἐπὶ κέρως ἔχοντες hat ſeinen Gegenſatz in προὔπεμψαν. — τὰς ἄλλας, πλὴν τῶν δέκα. (Sch.) Gr. 50, 4 A. 10. — τὸν μέγαν λιμένα, τῶν Συρακουσῶν δηλονότι. (Sch.) — πλεῦσαι. Gr. 55, 3 A. 20.

§ 4. Ἀθηναίους für Ἀθηναίων eine ſchlechte Hſ. u. Va. vgl. Kr. z. Dion. p. 259. (Pp.) Gr. 68, 8. — πολεμητέα. Gr. 44, 4 A. 2.

C. 51. § 1. ἐνῳκοδομημένην, τῷ τείχει, eingeſetzt. (Hl.) — κακῶς, ἀτέχνως, σαθρῶς. (Sch.) — ἠγόραζον, ἐν τῇ ἀγορᾷ διέτριβον. (Sch.) Andere: kauften. vgl. Luc. Tox. 57. — ἐς τὴν πόλιν gehört zu ἐσελθόντες. Kr. z. Dion. p. 319.

§ 2. πάσῃ ἤδη ſchon mit dem ganzen, nicht, wie 6, 50, 2, bloß mit einem Theile.

Ἐσηγγέλλετο δὲ αὐτοῖς ἔκ τε Καμαρίνης ὡς εἰ ἔλθοιεν, 52
προσχωροῖεν ἂν καὶ ὅτι Συρακόσιοι πληροῦσι ναυτικόν.
ἀπάσῃ οὖν τῇ στρατιᾷ παρέπλευσαν πρῶτον μὲν ἐπὶ Συρα-
κούσας· καὶ ὡς οὐδὲν εὗρον ναυτικὸν πληρούμενον, παρεκο-
μίζοντο αὖθις ἐπὶ Καμαρίνης καὶ σχόντες ἐς τὸν αἰγιαλὸν
ἐπεκηρυκεύοντο. οἱ δ' οὐκ ἐδέχοντο, λέγοντες σφίσι τὰ ὅρκια 2
εἶναι μιᾷ νηὶ καταπλεόντων Ἀθηναίων δέχεσθαι, ἢν μὴ αὐ-
τοὶ πλείους μεταπέμπωσιν. ἄπρακτοι δὲ γενόμενοι ἀπέπλεον·
καὶ ἀποβάντες κατά τι τῆς Συρακοσίας καὶ ἁρπαγὴν ποιησά-
μενοι καὶ τῶν Συρακοσίων ἱππέων βοηθησάντων καὶ τῶν
ψιλῶν τινὰς ἐσκεδασμένους διαφθειράντων ἀπεκομίσθησαν
ἐς Κατάνην. καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν ἐκ 53
τῶν Ἀθηνῶν ἥκουσαν ἔπί τε Ἀλκιβιάδην, ὡς κελεύσοντας
ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει, καὶ ἐπ' ἄλλους
τινὰς τῶν στρατιωτῶν τῶν μετ' αὐτοῦ, μεμηνυμένων περὶ
τῶν μυστηρίων ὡς ἀσεβούντων, τῶν δὲ καὶ περὶ τῶν Ἑρμῶν.
οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ ἡ στρατιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον 2
ζήτησιν ἐποιοῦντο τῶν περὶ τὰ μυστήρια καὶ τῶν περὶ τοὺς
Ἑρμᾶς δρασθέντων, καὶ οὐ δοκιμάζοντες τοὺς μηνυτὰς ἀλλὰ
πάντα ὑπόπτως ἀποδεχόμενοι, διὰ πονηρῶν ἀνθρώπων πί-

C. 52. § 1. *ἔκ τε Καμαρίνης.* Es folgt *καὶ ὅτι Συρακόσιοι* statt *καὶ ἐκ Συρακουσῶν ὅτι.* (Py.?) — *πληροῦσι, ναυτῶν.* (Sch.) — *παρεκομίζοντο αὖθις* ſchifften ſie wiederum, wie auf dem Wege bis dahin, längs der Küſte hin. (Hk.)

§ 2. *τὰ ὅρκια* der geſchloſſene Vertrag beſtimme, wohl mit Bezug auf 4, 65, 2. — *μιᾷ* nur wenn ſie mit Einem. (Ps.) vgl. 2, 7, 2. — *καταπλεόντων.* Gr. 47, 4 A. 2. — *ἢν μή, πλείοσι δέ μή, ἢν μή.* — *μεταπέμπωσι.* Gr. 52, 10 A. 6 u. zu 1, 112, 1. — *γενόμενοι, οἱ Ἀθηναῖοι.* (Sch.) — *ἁρπαγὴν ποιησάμενοι,* wie 7, 29, 2. — *ποιησάμενοι καὶ βοηθησάντων.* Gr. 56, 14 A. 2.

C. 53. § 1. *ναῦν* möchte man mit einer (ſchlechten) Hſ. entfernt wünſchen, da ſonſt in der Regel bloß *ἡ Σαλαμινία* geſagt wird. (Dr.) vgl. 61, 4. — *κελεύσοντας, τοὺς Σαλαμινίους.* (A. Ps.) Gr. 58, 4 A. 1. — *μεμηνυμένων περὶ τῶν μυστηρίων* da ſie wegen der Myſterien angegeben waren. (Abr.) Eine Art Prolepſis. Gr. 61, 6 A. 4. — *μεμηνυμένων, αὐτῶν,* auf *τινάς* bezogen. — *ἀσεβούντων* mit einer Art Perfectbedeutung wie *ἀδικεῖν.* Gr. 53, 1 A. 3. — *τῶν δέ.* Gr. 50, 1 A. 12. — *καὶ.* Gr. 69, 32 A. 15.

§ 2. *οὐ δοκιμάζοντες, οὐ διακρίνοντες πότερον ψεύδονται ἢ ἀληθεύουσιν.* (Sch.) — *πάντα* für *πάντας* die beſten Hſn. — *ἀποδεχόμενοι* aufnehmend, deutend. (Py.) — *ἀνθρώπων πίστιν.* Plat. Phädr. 275, a: *διὰ πίστιν γραφῆς.* Gr. 47, 7 A. 5.

στιν πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμβάνοντες κατέδουν,
3 χρησιμώτερον ἡγούμενοι εἶναι βασανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν ἢ διὰ μηνυτοῦ πονηρίαν τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι αἰτιαθέντα ἀνέλεγκτον διαφυγεῖν. ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην καὶ προσέτι οὐδ' ὑφ' ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν ἀλλ' ὑπὸ Λακεδαιμονίων, ἐφοβεῖτο ἀεὶ καὶ πάντα ὑπόπτως ἐλάμβανεν.

54 Τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι' ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη, ἣν ἐγὼ ἐπὶ πλέον διηγησάμενος ἀποφανῶ οὔτε τοὺς ἄλλους οὔτε αὐτοὺς Ἀθηναίους περὶ τῶν σφετέρων τυράννων οὐδὲ περὶ τοῦ γενομένου ἀκριβὲς οὐδὲν
2 λέγοντας. Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι οὐχ Ἵππαρχος, ὥσπερ οἱ πολλοὶ οἴονται, ἀλλ' Ἱππίας πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν. γενομένου δὲ Ἁρμοδίου ὥρᾳ ἡλικίας λαμπροῦ Ἀριστογείτων, ἀνὴρ τῶν ἀστῶν,
3 μέσος πολίτης, ἐραστὴς ὢν εἶχεν αὐτόν. πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου καὶ οὐ πεισθεὶς

---

§ 3. *βασανίσαι* genau zu unterſuchen. (Va.) — *ἀνέλεγκτον* ohne Unterſuchung. (Ps.) ungeprüft: *διὰ τὸ μὴ πιστεῦσαι τοῖς πονηροῖς μηνυταῖς τοὺς ἐν αἰτίᾳ γενομένους ἀπολύσαι ἀνεξετάστως.* (Sch.) — *ἀκοῇ, ἐξ ἀκοῆς.* (Sch.) vgl. 60, 1. 4, 126, 3. *ἀκοῇ εἰδέναι* 1, 4, 1. 6, 55, 1. 7, 87, 5, Ant. 5, 74. vgl. 75, *νομίσαι* Th. 4, 81, 2. — *ὑφ' ἑαυτῶν, ὑπ' Ἀθηναίων κοινῇ.* (Sch.) Gr. 58, 4 A. 1. — *τελευτῶσαν* zuletzt. Gr. 56, 8 A. 5. — *ἐλάμβανεν, ἀπεδέχετο* § 2. vgl. zu 3, 56, 2.

C. 54. § 1. *δι' ἐρωτικὴν ξυντυχίαν, δι' ἔρωτος σύμβασιν.* (Sch.) vgl. zu 1, 33, 1. — *ἐπὶ πλέον διηγησάμενος, μακροτέρᾳ διηγήσει χρησάμενος.* (Sch.) Plat. Geſ. 697, b: *ἐπὶ πλέον εἰπεῖν.*

§ 2. *γηραιοῦ* aus *γηραιὸς ἐτελεύτησεν.* Gr. 57, 3. — *ἔσχε* erhielt. Gr. 53, 5 A, 2. — *ὥρᾳ* gemäß der Zeit. — *λαμπροῦ, ἐπιφανεστάτου.* (Sch.) — *ἀνὴρ τῶν ἀστῶν.* Gr. 47, 9. vgl. 7, 43, 3. — *μέσος, οὔτε ἐπιφανὴς οὔτε ἄδοξος.* (Sch.) Mit Bezug auf Vermögen verſteht den Ausdruck Dr. vgl. Ariſtot. Pol. 4, 9, 10. 10, 4 u. Plut. Sol. 1: *οὐσίᾳ καὶ δυνάμει μέσος τῶν πολιτῶν*, wo doch mit auch politiſche Bedeutſamkeit in Anſchlag kommt. *Μέσος ἀνὴρ Μῆδος* Her. 1, 107. — *εἶχεν.* Diog. L. 2, 75: *ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι.* Ter. Andr. 1, 1, 58: quis Chrysidem habuit. (Waſſe.) vgl. dort Ruhnken.

§ 3. *πειραθείς, ἐρωτικὴν πεῖραν δεξάμενος.* (Sch.) So *πειρᾶν γυναῖκα, τὸ λόγους περὶ συνουσίας προσφέρειν, καὶ πειραθῆναι τὸ ἀκοῦ-*

καταγορεύει τῷ Ἀριστογείτονι. ὁ δὲ ἐρωτικῶς περιαλγήσας καὶ φοβηθεὶς τὴν Ἱππάρχου δύναμιν μὴ βίᾳ προσαγάγηται αὐτὸν ἐπιβουλεύει εὐθὺς ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως κατάλυσιν τῇ τυραννίδι. καὶ ἐν τούτῳ ὁ Ἵππαρχος ὡς αὖθις 4
πειράσας οὐδὲν μᾶλλον ἔπειθε τὸν Ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾶν, ἐν τόπῳ δέ τινι ἀφανεῖ ὡς οὐ διὰ τοῦτο δὴ παρεσκευάζετο προπηλακιῶν αὐτόν. οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλούς, ἀλλ' ἀνεπιφθόνως κατεστήσατο· καὶ ἐπετήδευσαν ἐπὶ πλεῖστον δὴ τύραννοι οὗ- 5
τοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων τήν τε πόλιν αὐτῶν καλῶς διεκόσμησαν καὶ τοὺς πολέμους διέφερον καὶ ἐς τὰ ἱερὰ ἔθυον.

σαι λόγους τοιούτους. Suid. vgl. Ruhnken zu Tim. p. 210. — ἐρωτικῶς nach der Weise verliebter. (Ps.) — περιαλγήσας, περιπαθὴς γεγονώς. (Sch.) von heftigem Schmerze ergriffen. (Ps.) — ἐπιβουλεύειν mit dem Ac. auch 3, 109, 3. 7, 51, 1. 8, 60, 1; τινὶ θάνατον Her. 3, 122. 8, 132. vgl. Wyttenbach z. Jul. p. 185. — ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως, ὡς κατὰ τὴν ὑπάρχουσαν αὐτῷ δύναμιν· ἦν γὰρ μέσος πολίτης. (Sch.) so weit er es seinem Range nach vermochte; über ὡς Gr. 69, 63 A. 6; über ἀπό 68, 16 A. 8; über ἀξίωσις zu 1, 69, 2.

§ 4. τόπῳ. τρόπῳ Levesque, da die Sache öffentlich geschah 56, 1. — ὡς οὐ διὰ τοῦτο, ὡς δι' ἄλλην τινὰ αἰτίαν καὶ οὐ διὰ τὸ μὴ τυχεῖν αὐτοῦ. (Sch.) — δή angeblich. Gr. 69, 17 A. 2. — προπηλακιῶν. zu 2, 18, 1. Sonst mit ὡς. Jacobs z. Ach. T. p. 413. — οὐδὲ γάρ denn auch hier wollte er nicht offenbar ungerecht handeln, wie er auch nicht. — ἀνεπιφθόνως, οὐ μεμπτῶς. (Sch.) — κατεστήσατο, τὴν ἀρχήν. (Hl.)

§ 5. ἐπὶ πλεῖστον hier von der Zeit. (Sch.) Gr. 43, 4 A. 8. — τύραννοι οὗτοι als Tyrannen, von Tyrannen haben diese. Der Sinn: keine andere Tyrannen haben so lange als diese. Doch gebrauchte man τύραννος wohl auch, wie βασιλεύς, ohne Artikel. vgl. Xen. Hier. 8, 10 u. Plat. Rep. 569, b? — ἀρετήν, δικαιοσύνην (Sch.) Diese kommt hier freilich vorzugsweise, aber doch nicht allein in Betracht. — τῶν γιγνομένων vom Ertrage, z. B. des Ackerbaues. Dem. 18, 145: ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδέν. Xen. Mem. 2, 9, 4: σῖτον ἢ ἔλαιον ἢ οἶνον ἢ ἔρια ἢ ἄλλο τι τῶν ἐν ἀγρῷ γινομένων χρησίμων (l. χρήσιμον) πρὸς τὸν βίον. — αὐτῶν von πόλεως regiert wäre nichtig, allenfalls passend nur αὐτοῖς; ich nehme es als Ge. des Preises: dafür, für diese gesteuerten Gelder. Gr. 47, 17 A. 3. — διέφερον, διήνυον. (Sch.) zu 1, 11, 2. — ἐς τὰ ἱερά, weil dabei ein vorhergehendes Hinzubewegen zu den Tempeln vorschwebt. Lys. 6, 5: θύειν εἰς ταύτην τὴν πανήγυριν. (Abr.) vgl Schömann z. Isä. p. 314.

6 τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθ' ὅσον ἀεί τινα ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι. καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαυσίαν Ἀθηναίοις ἀρχὴν καὶ Πεισίστρατος ὁ Ἵππίου τοῦ τυραννεύσαντος υἱός, τοῦ πάππου ἔχων τοὔνομα, ὃς τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ ἄρχων ἀνέθηκε καὶ τὸν τοῦ Ἀπόλ-
7 λωνος ἐν Πυθίου. καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον ὁ δῆμος Ἀθηναίων μεῖζον μῆκος τοῦ βωμοῦ ἠφάνισε τοὐπίγραμμα· τοῦ δ' ἐν Πυθίου ἔτι καὶ νῦν δῆλόν ἐστιν ἀμυδροῖς γράμμασι λέγον τάδε·

μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἵππίου υἱός
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

55 ὅτι δὲ πρεσβύτατος ὢν Ἵππίας ἦρξεν, εἰδὼς μὲν καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων ἰσχυρίζομαι, γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται τῶν γνησίων ἀδελ-
φῶν γενόμενοι, ὡς ὅ τε βωμὸς σημαίνει καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀδικίας, ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει
2 σταθεῖσα, ἐν ᾗ Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται, Ἵππίου δὲ πέντε, οἳ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλ-
λίου τοῦ Ὑπερεχίδου θυγατρὸς ἐγένοντο· εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον γῆμαι. καὶ ἐν τῇ αὐτῇ στήλῃ πρῶτος

---

§ 6. *αὐτή* im Gegenſatze zu den Tyrannen: nicht dieſe ſondern die Stadt ſelbſt handhabte die Geſetze. — *κειμένοις*. Gr. 38, 5 A. 3. — *τινὰ ἐπεμέλοντο εἶναι*. Xen. Mem. 4, 7, 1: *αὐτάρκεις αὐτοὺς εἶναι ἐπεμελεῖτο*. (Pp.) — *ἐνιαυσίαν* für *ἐνιαύσιον* die beſten Hſn., obſchon dies Adj. zweier Endungen iſt 4, 117, 1. 5, 1, 1. 15, 2; dreier Her. 4, 180, Eur. Hipp. 37, Hik. 407, Plat. Geſ. 779, e u. Xen. Ag. 2, 1. — *Ἀθηναίοις*. Gr. 47, 20 A. 2 u. zu 1, 93, 2. — *ὅς* verdächtigt Bk. — *τῶν. τὸν τῶν* Ba. — *Πύθιος* hieß auch der im Pythion verehrte Gott und daher *ἐν Πυθίου*. Gr. 43, 3 A. 6. Plat. Gorg. 472, a: *οὗ ἐστιν ἐν Πυθίου τοῦτο τὸ καλὸν ἀνάθημα*. Schömann z. Iſä. p. 311.

§ 7. *τῷ μέν* iſt mit *προσοικοδομήσας* zu verbinden. — *τοῦ βωμοῦ* würde man nicht vermiſſen; nach Abr. es mit *τοὐπίγραμμα* zu verbinden widerſtrebt die Stellung. (Kr.) — *δῆλόν ἐστι, τοὐπίγραμμα*.

C. 55. § 1. *πρεσβύτατος* von den Söhnen des Peiſiſtratos. — *ἰσχυρίζομαι* verſichere, ſonſt gew. *διισχυρίζομαι*. Plat. Rep. 533, a: *ὅτι τοιοῦτόν τι ἰδεῖν ἰσχυριστέον*. vgl. dort Schneider. — *αὐτῷ τούτῳ, τῷ ῥηθησομένῳ*. (Sch.) — *μόνῳ. μόνον* die beſten Hſn., hier ſchwerlich zu rechtfertigen. — *περί. ἢ περί* Bk. gut. — *οὐδέ*. Gr. 69, 50 A. E.

§ 2. *ἦν*. Gr. 53, 2 A. 4. — *αὐτῇ* für *πρώτῃ* eine Variante u.

γέγραπται μετὰ τὸν πατέρα, οὐδὲ τοῦτο ἀπεοικότως διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. οὐ μὴν οὐδ' ἂν 3
κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας τὸ παραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο· ἀλλὰ καὶ διὰ τὸ πρότερον ξύνηθες 4
τοῖς μὲν πολίταις φοβερόν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβές, πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησεν, καὶ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν ἐν ᾧ οὐ πρότερον ξυνεχῶς ὡμιλήκει, τῇ ἀρχῇ. Ἱππάρχῳ δὲ ξυνέβη τοῦ πάθους τῇ δυσστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.

Τὸν δ' οὖν Ἁρμόδιον ἀπαρνηθέντα τὴν πειρασιν, ὥσπερ 56
διενοεῖτο, προὐπηλάκισεν· ἀδελφὴν γὰρ αὐτοῦ κόρην, ἐπαγγελλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινί, ἀπήλασαν, λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν διὰ τὸ μὴ ἀξίαν εἶναι.

Va. — *πρεσβεύειν*, *πρεσβύτατος εἶναι*. (Sch.) — *ἀπεοικότως*. *ἀπεικότως* ist doch wohl nach Thom. M. u. Phav. zu lesen. vgl. 1, 73, 1. 2, 8, 1 u. 8, 68, 4. Ueber die Redeweise Gr. 66, 1 A. 8. — *ἀπ' αὐτοῦ* nächst ihm, dem Peisistratos. (Hl.) — *τυραννεῦσαι* Tyrann geworden sein. Gr. 53, 5 A. 2.

§ 3. *καθίστατο*, *ἄρχων* (Hk.) vgl. 8, 90, 2.

§ 4. *καί* vor *διά* entspricht dem *καὶ* vor *οὐκ*. (Hk.) — *διὰ τὸ — ἀκριβές*, *διὰ τὸ ἐκ μακροῦ χρόνου τοῖς μὲν πολίταις συνήθειαν ἐμπεποιηκέναι τοῦ φοβεῖσθαι αὐτόν, τοῖς δὲ δορυφόροις τοῦ φυλάττειν ἐπιμελῶς αὐτόν*. (Sch.) Ueber das auch zu *ἀκριβές* gehörige *σύνηθες* zu 34, 4. — *ἀκριβές* versteht Ba. von sorgsamer Haltung und Pflege; besser Hl. von strenger Zucht zu pünktlicher Subordination. — *τῷ περιόντι τοῦ ἀσφαλοῦς*, *τῇ περιουσίᾳ τῆς ἀσφαλείας*. (Ba.) über den Artikel *τῷ* Gr. 50, 11 A. 1. — *ἐν ᾧ*, *ἐν πράγματι ᾧ*, das *ἐν* an *ἠπόρησεν*, *ᾧ* an *ὡμιλήκει* angefügt: er bewies sich nicht unentschieden und unsicher in der Herrschaft, wie in einer Sache mit der er nicht früher vertraut geworden. (Ps.) Gr. 51, 13 A. 7. — *τοῦ πάθους τῇ δυστυχίᾳ*, *διὰ τὴν συμπεσοῦσαν αὐτῷ δυστυχίαν*. (Sch.) — *ὀνομασθέντα*, *ὀνομαστὸν γενόμενον*. (Sch.) Ueber den Ac. Gr. 55, 2 A. 7. vgl. 7, 57, 9. — *τὴν δόξαν τῆς τυραννίδος* den Ruf der von ihm geführten Tyrannis, *ὑπολη-φθῆναι ὅτι ἐτυράννησεν*. (Sch.)

C. 56. § 1. *δ' οὖν*, zurückweisend auf 6, 54, 4. — *ἀπαρνηθέντα*, *ἀρνησάμενον ὁμιλῆσαι τῷ πειρῶντι*. (Sch.) Den medialen Aorist hat von attischen Prosaikern nur Aesch. 2, 69. 3, 224. — *ἐπαγγειλαντες*, *προστάξαντες*. (Sch.) Subject ist *Ἱππίας καὶ Ἵππαρχος*. (Ba.) — *τὴν ἀρχήν*. Gr. 46, 3 A. 2.

2 χαλεπῶς δὲ ἐνεγκόντος τοῦ Ἁρμοδίου πολλῷ δὴ μᾶλλον δι' ἐκεῖνον καὶ ὁ Ἀριστογείτων παρωξύνετο. καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνεπιθησομένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον δὲ Παναθήναια τὰ μεγάλα, ἐν ᾗ μόνον ἡμέρᾳ οὐχ ὕποπτον ἐγίγνετο ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν πομ-
3 πὴν πέμψαντας ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι μὲν αὐτούς, ξυνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς δορυφόρους ἐκεί-
νους. ἦσαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες ἀσφαλείας ἕ-
νεκα· ἤλπιζον γὰρ καὶ τοὺς μὴ προειδότας, εἰ καὶ ὁποσοιοῦν τολμήσειαν, ἐκ τοῦ παραχρῆμα ἔχοντάς γε ὅπλα ἐθελήσειν
57 σφᾶς αὐτοὺς ξυνελευθεροῦν. καὶ ὡς ἐπῆλθεν ἡ ἑορτή, Ἵπ-
πίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δορυ-
φόρων διεκόσμει ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι, ὁ δὲ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων ἔχοντες ἤδη τὰ ἐγχειρίδια
2 ἐς τὸ ἔργον προῆσαν. καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ, ἦν δὲ πᾶσιν εὐπρό-
σοδος ὁ Ἱππίας, ἔδεισαν καὶ ἐνόμισαν μεμηνῦσθαί τε καὶ ὅσον οὐκ ἤδη ξυλληφθήσεσθαι. τὸν λυπήσαντα οὖν σφᾶς καὶ δι' ὅνπερ πάντα ἐκινδύνευον ἐβούλοντο πρότερον, εἰ δύ-
3 ναιντο, προτιμωρήσεσθαι, καὶ ὥσπερ εἶχον ὥρμησαν εἴσω τῶν πυλῶν, καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόριον

---

§ 2. ἐν ὅπλοις, μετ' ἀσπίδος καὶ δόρατος 58. (Hudson.) — πέμψαντας für πέμψαντας einige Hſn.

§ 3. αὐτούς, Harmodios und Ariſtogeiton, betont wegen des Gegenſatzes. Gr. 51, 6 A. 3. — τὰ πρός die Angriffe gegen; der Ac. τά hängt von ξυνεπαμύνειν ab. Gr. 46, 5 A. 4. — ἐκείνους, τοὺς ξυνεπιθησομένους τῷ ἔργῳ. (Ba.) — ἕνεκα für οὕνεκα einige Hſn. Daß Thuk. gerade an dieſer einen Stelle οὕνεκα geſchrieben iſt doch nicht wahrſcheinlich, wenn gleich es jetzt noch an einzelnen Stellen attiſcher Proſaiker aufgenommen iſt. — καὶ ὁποσοιοῦν wie viele, d. h. wie wenige, auch immer. Gr. 51, 15 A. 3 u. zu 1, 77, 2. — τολμήσειαν das Unternehmen angefangen hätten.

C. 57. § 1. ἔξω, τῆς πόλεως. (Sch.)

§ 2. σφίσι. Gr. 48, 12 A 5. — οἰκείως, φιλικῶς. (Sch.) — ὁ Ἱππίας iſt wiederholt, damit man nicht auch hier τινά als Subject denke. — τὸν λυπήσαντα, τὸν Ἵππαρχον. (Sch.) — πρότερον προ- pleonaſtiſch, wie Aehnliches öfter. zu 1, 23, 4. — προτιμωρήσεσθαι für προτιμωρήσασθαι die beſten Hſn. Gr. 53, 7 A. 10 u. zu 1, 27, 2.

§ 3. ὥσπερ εἶχον ſtehendes Fußes. Kr. zu Xen. An. 4, 1, 19. — παρά. περί Arn. vgl. jedoch 8, 102, 2 u. Gr. 68, 36 A. 1.

καλούμενον, καὶ εὐθὺς ἀπερισκέπτως προσπεσόντες καὶ ὡς ἂν μάλισια δι' ὀργῆς ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος, ἔτυπτον καὶ ἀποκτείνουσιν αὐτόν. καὶ ὁ μὲν τοὺς δορυφόρους τὸ αὐτίκα διαφεύγει, ὁ Ἀριστογείτων, ξυνδραμόντος τοῦ ὄχλου καὶ ὕστερον ληφθεὶς οὐ ῥᾳδίως διετέθη· Ἁρμόδιος δὲ αὐτοῦ παραχρῆμα ἀπόλλυται. ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς 53
τὸν Κεραμεικόν, οὐκ ἐπὶ τὸ γενόμενον ἀλλ' ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας πρότερον ἢ αἰσθέσθαι αὐτούς, ἄποθεν ὄντας, εὐθὺς ἐχώρησεν, καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν ξυμφορὰν ἐκέλευσεν αὐτούς, δείξας τὸ χωρίον, ἀπελθεῖν ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. καὶ οἱ μὲν ἀνεχώρησαν οἰόμενοί τι ἐρεῖν αὐτόν, ὁ δὲ τοῖς ἐπικούροις φράσας τὰ ὅπλα ὑπολαβεῖν ἐξελέγετο εὐθὺς οὓς ἐπῃτιᾶτο καὶ εἴ τις εὑρέθη ἐγχειρίδιον ἔχων· μετὰ γὰρ ἀσπίδος καὶ δόρατος εἰώθεσαν τὰς πομπὰς ποιεῖν.

Τοιούτῳ μὲν τρόπῳ δι' ἐρωτικὴν λύπην ἥ τε ἀρχὴ τῆς 59
ἐπιβουλῆς καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο. τοῖς δ' Ἀθη- 2
ναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς κατέστη, καὶ ὁ Ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὢν τῶν τε πολιτῶν πολλοὺς ἔκτεινε καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο, εἴ ποθεν ἀσφά-

---

— καὶ εὐθύς für εὐθύς eine Hſn., εὐθύς δ' F. Ps. — ὡς ἄν, περιπέσοιεν. Gr. 69, 7 A. 2. — ὁ δέ fügt das Particip dem Ge. an. Gr. 59, 2 A. 3. — ὁ μέν — ὁ Ἀριστογείτων. Gr. 50, 1 A. 11. — οὐ ῥᾳδίως, χαλεπῶς. (Sch.) κακῶς Heſych. u. Phot. Aehnlich Diod. Excerpt Peiresc. p 557 Weſſ. u. Exc. Vat. p. 36, 25 Dind. vgl. Dion Chryſ. 1 p. 468 R.: μηδὲ ῥᾳδίου γε θανάτου τυχεῖν. (Hertlein Ms.) — διετέθη, ἀνηρέθη. (Sch.) wurde zugerichtet.

C. 58. § 1. ἀγγελθέντος. Gr. 47, 4 A. 4. — τὸ γενόμενον, τὸν γενόμενον φόνον. (Sch.) — πρότερον ἢ αἰσθέσθαι. zu 1, 69, 4. vgl. 7, 63, 1. 8, 45, 5. — ἀδήλως, ὥστε ἄδηλος εἶναι. (Ba.) Gr. 66, 1 A. 9. — τῇ ὄψει gehört zu ἀδήλως. — πρὸς τὴν ξυμφοράν gehört nicht bloß zu πλασάμενος, ſondern zu ἀδήλως πλασάμενος: unbemerkbar in ſeinen Zügen verſtellte er ſich bezüglich des Vorfalles, ἀσύγχυτον τὴν ἑαυτοῦ ὄψιν τηρήσας καὶ μὴ ἐπεμφαίνουσαν τεκμήριον τοῦ πάθους. (Sch.)

§ 2. ἀνεχώρησαν gingen zurück von den Waffen — ὑπολαβεῖν, ὑφαρπάσαι. (Sch.) — μετὰ γάρ denn nur mit. (Hl.)

C. 59. § 1. ἐκ τοῦ παραχρῆμα περιδεοῦς wegen der plötzlich entſtandenen Beſorgniß daß ſie verrathen ſeien.

§ 2. διὰ φόβου ὤν. zu 34, 2. — ἀσφάλειαν Sicherung,

3 λειάν τινα ὁρῶσι μεταβολῆς γενομένης ὑπάρχουσάν οἱ. Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην, Ἀθηναῖος ὢν Λαμψακηνῷ, ἔδωκεν, αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν ἐπίγραμμα ἔχον τόδε·

4 ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις,
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ' οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

5 τυραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων καὶ παυθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκμαιωνιδῶν τῶν φευγόντων ἐχώρει ὑπόσπονδος ἔς τε Σίγειον καὶ παρ' Αἰαντίδην ἐς Λάμψακον, ἐκεῖθεν δὲ ὡς βασιλέα Δαρεῖον, ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα ὕστερον ἔτει εἰκοσιῷ, ἤδη γέρων ὤν, μετὰ Μήδων ἐστράτευσεν.

60 Ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων καὶ μιμνησκόμενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο χαλεπὸς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν την αἰτίαν λαβόντας, καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυ-

---

Schutzmittel. (St.) Sicherheitsort. (Sch. u. Hl.) — μεταβολῆς γενομένης bei eingetretener Umwälzung. (St.)

§ 3. γοῦν. δ' οὖν Kr. Hertlein Ms. erklärt: dies, τὸ πρὸς τὰ ἔξω διασκοπεῖσθαι ꝛc., läßt sich wenigstens daraus schließen daß er ꝛc. — παιδί. Gr. 47, 5 A. 4. — Ἀθηναῖος ὤν. So spricht der atheniſche Stolz ſich öfter aus. Valckenaer z. Her. 7, 161. — αὐτούς er und die Seinigen. Gr. 58, 4 A. 3. — μέγα. Gr. 46, 5 A. 6. — ἐπίγραμμα, des Simonides nach Ariſtot. Rhet. 1, 9, 31. (Hudſon.)

§ 4. τῶν ἐφ' ἑαυτοῦ unter ſeinen Zeitgenoſſen. Gr. 47, 28 A. 13 u. 68, 40 A. 4. — Ἱππίου einer Tochter des Hippias. Gr. 47, 5 A. 2. — Ἀρχιδίκη wird der Name Dem. 44, 9 geſchrieben. — ἀδελφῶν. Bekannt iſt nur Einer, Peiſiſtratos 54, 6. (Hk.) — ἤρθη. Aeſch. Ag. 575: ἦ κάρτα πρὸς γυναικὸς αἵρεσθαι κέαρ. (Bl.)

§ 5. ἔτι, ἤγουν μετὰ τὸν φόνον τοῦ Ἱππάρχου. (Sch.) — ὑπόσπονδος, τοῖς Ἀθηναίοις δηλονότι. (Sch.)

C. 60. § 1. ὤν. zu 1, 42, 1. Hier wird 6, 53, 3 wieder aufgenommen. (Pp.) — μιμνησκόμενος auch [Plat.] Axioch. p. 368, a. Oefter findet ſich das Präſens u. Impf. in Compoſiten. — ὑπόπτης. Ael. v. G. 4, 18: ὑπόπτης ὢν ἐς πάντας ὁ Διονύσιος. (Dr.) Das Wort iſt ſelten, im Chor Soph. Phil. 136; bei Xen. von Pferden. — ἐπί. zu 28, 2.

ραννικῇ πεπρᾶχθαι. καὶ ὡς αὐτῶν διὰ τὸ τοιοῦτον ἀργι- 2
ζομένων πολλοί τε καὶ ἀξιόλογοι ἄνθρωποι ἤδη ἐν τῷ δε-
σμωτηρίῳ ἦσαν καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο, ἀλλὰ καθ' ἡμέ-
ραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερόν τε καὶ πλείους ἔτι
ξυλλαμβάνειν, ἐνταῦθα ἀναπείθεται εἷς τῶν δεδεμένων,
ὅσπερ ἐδόκει αἰτιώτατος εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν τινος
εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι εἴτε καὶ οὔ· ἐπ' ἀμφότερα
γὰρ εἰκάζεται, τὸ δὲ σαφὲς οὐδεὶς οὔτε τότε οὔτε ὕστερον
ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον. λέγων δὲ ἔπεισεν
αὐτὸν ὡς χρή, εἰ μὴ καὶ δέδρακεν, αὐτόν τε ἄδειαν ποιησά-
μενον σῶσαι καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι·
βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολογήσαντι μετ' ἀ- 3
δείας ἢ ἁρνηθέντι διὰ δίκης ἐλθεῖν. καὶ ὁ μὲν αὐτός τε
καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν Ἑρμῶν· ὁ δὲ
δῆμος ὁ τῶν Ἀθηναίων ἄσμενος λαβών, ὡς ᾤετο, τὸ σαφὲς
καὶ δεινὸν ποιούμενοι πρότερον, εἰ τοὺς ἐπιβουλεύοντας σφῶν
τῷ πλήθει μὴ εἴσονται, τὸν μὲν μηνυτὴν εὐθὺς καὶ τοὺς ἄλ-
λους μετ' αὐτοῦ ὅσων μὴ κατηγορήκει ἔλυσαν, τοὺς δὲ κατα- 4
γνόντας κρίσεις ποιήσαντες τοὺς μὲν ἀπέκτειναν, ὅσοι ξυν-
ελήφθησαν, τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες ἐπα-

---

§ 2. *οὐκ ἐν παύλῃ, οὐδεμίαν ἀπόπαυσιν τοῦ συλλαμβάνειν τοὺς ἄνδρας καὶ ζήτησιν ποιεῖσθαι τῶν γενομένων.* (Sch.) Die Ausdrucksweise ist mir sonstwoher nicht erinnerlich. — *ἐφαίνετο, τὸ πρᾶγμα.* Gr. 61, 5 A. 6 u. zu 1, 6, 4. 137, 4. — *εἷς*, der Redner Andokides. — *ἐνταῦθα.* Gr. 65, 9 A. 1. — *τινός*, Namens Charmides. — *εἴτε ἄρα.* Plat. Phäd. 70, c: *σκεψώμεθα αὐτὸ τῇδε πῇ, εἴτε ἄρα ἐν Ἅιδου εἰσὶν αἱ ψυχαὶ εἴτε καὶ οὔ.* — *καί.* Gr. 69, 32 A. 13. vgl. 5, 65, 3. — *τά* ist mir verdächtig. — *οὔ, οὐκ ὄντα.* — *ἐπ' ἀμφότερα εἰκάζεται* für beide Meinungen werden Vermuthungen aufgestellt. vgl. zu 1, 83, 2. — *οὔτε τότε, εἶχεν εἰπεῖν.* Gr. 62, 4 A. 2. — *λέγων δὲ, ὁ συνδεσμώτης.* (Sch.) durch die Vorstellung aber. — *εἰ μὴ καί*, ungewöhnliche Stellung für *εἰ καὶ μή*. vgl. zu 2, 11, 4. — *ἄδειαν ποιησάμενον* nachdem er sich Straflosigkeit verschafft hätte (Ps.), die dem Angeber wenn er nicht trog, gewährt wurde. Sluiter Lectt. And. p. 57.

§ 3. *μετ' ἀδείας, ἄδειαν ποιησαμένῳ.* — *διά.* Gr. 68, 22 A. 2. — *ἐλθεῖν* für *ἐλθόντι* als ob *ἀσφαλέστερον* vorherginge. Gr. 69, 30 A. 2 u. zu 4, 66, 2. — *τὸ τῶν Ἑ.* die Verstümmelung der H., wie 6, 61, 1. — *ἄσμενος. ἀσμένως?* zu 3, 56, 2. — *ὡς ᾤετο* gehört zu *τὸ σαφές*. (Ba.) vgl. 6, 61, 1 u. Kr. zu Xen. An. 1, 6, 7. — *ποιούμενοι, ἡγούμενοι.*

§ 4. *ἐπανεῖπον. τουτέστιν ὑπέσχοντο καὶ ἐκήρυξαν.* (Sch.)

νεῖπον ἀργύριον τῷ ἀποκτείναντι. κἂν τούτῳ οἱ μὲν παθόντες ἄδηλον ἦν εἰ ἀδίκως ἐτετιμώρηντο, ἡ μέντοι ἄλλη πόλις ἐν τῷ παρόντι περιφανῶς ὠφέλητο.

61 Περὶ δὲ τοῦ Ἀλκιβιάδου ἐναγόντων τῶν ἐχθρῶν, οἵπερ καὶ πρὶν ἐκπλεῖν αὐτὸν ἐπέθεντο, χαλεπῶς οἱ Ἀθηναῖοι ἐλάμβανον· καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ᾤοντο σαφὲς ἔχειν, πολὺ δὴ μᾶλλον καὶ τὰ μυστικά, ὧν ἐπαίτιος ἦν, μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ τῷ δήμῳ ἀπ' ἐκείνου
2 ἐδόκει πραχθῆναι. καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολλὴ ἔτυχε καιὰ τὸν καιρὸν τοῦτον, ἐν ᾧ περὶ ταῦτα ἐθορυβοῦντο, μέχρι Ἰσθμοῦ παρελθοῦσα, πρὸς Βοιωτούς τι πράσσοντες. ἐδόκει οὖν ἐκείνου πράξαντος καὶ οὐ Βοιωτῶν ἕνεκα ἀπὸ ξυνθήματος ἥκειν, καὶ εἰ μὴ ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ μήνυμα ξυλλαβόντες τοὺς ἄνδρας, προδοθῆναι ἂν ἡ
3 πόλις. καί τινα μίαν νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν ὅπλοις. οἵ τε ξένοι τοῦ Ἀλκιβιάδου οἱ ἐν Ἄργει κατὰ τὸν αὐτὸν χρόνον ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιβουλεύεσθαι, καὶ τοὺς ὁμήρους τῶν Ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους οἱ Ἀθηναῖοι τότε παρέδοσαν τῷ Ἀργείων δήμῳ διὰ ταῦτα διαχρήσασθαι. πανταχόθεν τε περιεστήκει ὑποψία

Sonstwo habe ich das Wort nicht gefunden. (Bl.) — ἀργύριον, ein Talent. — εἰ ἀδίκως ob sie nicht mit Unrecht. Gr. 65, 1 A. 8. — ὡφέλητο. οὐ γὰρ ὑπώπτευον ἔτι ἀλλήλους. (Sch.)

C. 61. § 1. χαλεπῶς ἐλάμβανον nahmen es mit Gehässigkeit auf. zu 3, 56, 2. — μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας unter denselben Beweggründen und unter, wegen, der Verschwörung; über λόγος zu 1, 102, 3; über μετά zu 1, 18, 7. — ἐπὶ τῷ δήμῳ, ἐπὶ δήμου καταλύσει 6, 28, 2. (Gb.) Ar. Ri. 236: ἐπὶ τῷ δήμῳ ξυνόμνυτον. (Hertlein Ms.)

§ 2. καὶ γὰρ καί auch 6, 103, 4. 8, 64, 2, Lys. 29, 9. 11, Plat. Prot. 314, a, 317, b, Xen. An. 2, 2, 15, Mem. 2, 1, 3, wo es zw., u Dem. 19, 267. vgl. Gr. 69, 32 A. 21. — πρὸς Βοιωτούς τι πράσσοντες mit den Böotern irgend etwas betreibend. (Va.) Aber was? und wie mit einem Heere? — ἀπὸ ξυνθήματος nach einer Verabredung, wie 7, 22, 1. vgl. zu 2, 90, 3.

§ 3. κατέδαρθον sie schliefen dort wie in einem Allarmhause, um sogleich auf Erfordern versammelt und bewaffnet ausrücken zu können. — ἐπιτίθεσθαι Angriffe zu betreiben. Gr. 53, 1 A. 6. — τοὺς ὁμήρους 5, 84, 1. — διαχρήσεσθαι die besten Hsn. — πανταχόθεν, wegen des zu Athen verübten Unfuges, wegen Erscheinung der Lakedämonier, wegen der Nachrichten von Argos. (Ds.) — ἐς ist an ὑποψία anzuschließen. vgl. 6, 60, 1.

ἐς τὸν Ἀλκιβιάδην. ὥστε βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγα- 4
γόντες ἀποκτεῖναι πέμπουσιν οὕτω τὴν Σαλαμινίαν ναῦν ἐς
τὴν Σικελίαν ἐπί τε ἐκεῖνον καὶ ὧν πέρι ἄλλων ἐμεμήνυτο.
εἴρητο δὲ προειπεῖν αὐτῷ ἀπολογησομένῳ ἀκολουθεῖν, ξυλ-
λαμβάνειν δὲ μή, θεραπεύοντες τό τε πρὸς τοὺς ἐν τῇ Σι-
κελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν,
καὶ οὐχ ἥκιστα τοὺς Μαντινέας καὶ Ἀργείους βουλόμενοι
παραμεῖναι, δι' ἐκείνου νομίζοντες πεισθῆναι σφᾶς ξυστρα-
τεύειν. καὶ ὁ μὲν ἔχων τὴν ἑαυτοῦ ναῦν καὶ οἱ ξυνδιαβε- 5
βλημένοι ἀπέπλεον μετὰ τῆς Σαλαμινίας ἐκ τῆς Σικελίας ὡς
ἐς τὰς Ἀθήνας· καὶ ἐπειδὴ ἐγένοντο ἐν Θουρίοις, οὐκέτι
ξυνείποντο, ἀλλ' ἀπελθόντες ἀπὸ τῆς νεὼς οὐ φανεροὶ ἦσαν,
δείσαντες τὸ ἐπὶ διαβολῇ ἐς δίκην καταπλεῦσαι. οἱ δ' ἐκ 6
τῆς Σαλαμινίας τέως μὲν ἐζήτουν τὸν Ἀλκιβιάδην καὶ τοὺς
μετ' αὐτοῦ, ὡς δ' οὐδαμοῦ φανεροὶ ἦσαν, ᾤχοντο ἀποπλέ-
οντες. ὁ δὲ Ἀλκιβιάδης ἤδη φυγὰς ὢν οὐ πολὺ ὕστερον
ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον ἐκ τῆς Θουρίας· οἱ
δ' Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ
τῶν μεθ' ἐκείνου.

---

§ 4. *οὕτω*. Gr. 56, 12 A. 4. — *ἐπὶ ἐκεῖνον*. Gr. 68, 42 A. 2. — *ὧν πέρι, ἐπὶ τούτους περὶ ὧν*. Gr. 51, 13 A. 7. — *θεραπεύοντες* Sorge tragend für (vgl. 1, 19 u. 7, 70, 3); der No. als ob *εἰρήκεσαν* vorherginge. Gr. 56, 9 A. 4. — *τό τε*. Py. zweifelt ob zu construiren sei *θεραπεύοντες τὸ μὴ θορυβεῖν πρὸς* — oder *θεραπεύοντες μὴ θορυβεῖν τὸ πρὸς* —. Im letzteren Falle wäre *τὸ πρὸς τούς* für *τὰ ἐν τοῖς* kaum erträglich; aber auch im erstern ist es unpassend. Also ist *τὸ πρὸς τοὺς ἐν Σ.* mit dem Sch. (?) für sich zu nehmen, das *τό* von *θεραπεύοντες* regiert: sie schonten das Verhältniß zu denen in S.; *τέ* steht hier als sollte *βουλόμενοι* nicht folgen. zu 5, 11, 2. — *στρατιώτας τε* nehme ich als Apposition zu *τοὺς ἐν τῇ Σ.* — *μὴ θορυβεῖν, ὥστε μηδένα θόρυβον συλληφθέντος τοῦ Ἀλκιβιάδου μήτε ἀπὸ τῶν Ἀττικῶν στρατιωτῶν ἀγαναχτούντων γενέσθαι μήτε ἀπὸ τῶν πολεμίων καταφρονησάντων*. (Sch.) Gr. 61, 6 A. 9. — *σφᾶς. σφίσι* Lindau, Kr. Rec. 1828 u. Dobree. Es fehlt in zwei Hsn. Gö. verdächtigt *πεισθῆναι σφᾶς*.

§ 5. *ἐπὶ διαβολῇ, προδεδιαβεβλημένοι*. (Sch.) Py. meint *ἐπί* könne hier nicht nach heißen. Warum nicht wie unser auf? Andok. 1, 30: *σωθῆναι ἐπὶ τοιαύτῃ αἰτίᾳ*.

§ 6. *πλοίου, φορτηγικοῦ* 6, 88, 10. — *ἐρήμη δίκη ἐστὶν ὅταν μὴ παρόντων ἀμφοτέρων τῶν προσόντων ὁ δικαστὴς τὴν ψῆφον ἐνέγκῃ κατὰ τοῦ ἀπόντος*. Bekker Anecd. 1 p. 215. Contumacialverfahren.

62 Μετὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν Ἀθηναίων στρατηγοὶ ἐν
τῇ Σικελίᾳ, δύο μέρη ποιήσαντες τοῦ στρατεύματος καὶ λαχὼν
ἑκάτερος, ἔπλεον ξὺν παντὶ (ἐπὶ Σελινοῦντος καὶ) Ἐγέστης,
βουλόμενοι μὲν εἰδέναι τὰ χρήματα εἰ δώσουσιν οἱ Ἐγε-
σιαῖοι, καταισχέψασθαι δὲ καὶ τῶν Σελινουντίων τὰ πρά-
2 γματα καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς Ἐγεσταίους. παρα-
πλέοντες δ' ἐν ἀριστερᾷ τὴν Σικελίαν, τὸ μέρος τὸ πρὸς τὸν
Τυρσηνικὸν κόλπον, ἔσχον ἐς Ἱμέραν, ἥπερ μόνη ἐν τούτῳ
τῷ μέρει τῆς Σικελίας Ἑλλὰς πόλις ἐστίν· καὶ ὡς οὐκ ἐδέ-
3 χοντο αὐτούς, παρεκομίζοντο. καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν
Ὕκκαρα πόλισμα Σικανικὸν μὲν Ἐγεσταίοις δὲ πολέμιον·
ἦν δὲ παραθαλασσίδιον. καὶ ἀνδραποδίσαντες τὴν πόλιν
παρέδοσαν Ἐγεσταίοις, παρεγένοντο γὰρ αὐτῶν ἱππῆς, αὐτοὶ
δὲ πάλιν τῷ μὲν πεζῷ ἐχώρουν διὰ τῶν Σικελῶν ἕως ἀφι-
κοντο ἐς Κατάνην, αἱ δὲ νῆες περιέπλευσαν τὰ ἀνδράποδα
4 ἄγουσαι. Νικίας δὲ εὐθὺς ἐξ Ὑκκάρων ἐπὶ Ἐγέστης παρα-
πλεύσας καὶ τἆλλα χρηματίσας καὶ λαβὼν τάλαντα τριάκοντα
παρῆν ἐς τὸ στράτευμα· καὶ τἀνδράποδα ἀπέδοσαν καὶ ἐγέ-
νοντο ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα. καὶ ἐς τῶν Σι-
κελῶν τοὺς ξυμμάχους περιέπλευσαν, στρατιὰν κελεύοντες
πέμπειν· τῇ τε ἡμισείᾳ τῆς ἑαυτῶν ἦλθον ἐπὶ Ὕβλαν τὴν
Γελεᾶτιν, πολεμίαν οὖσαν, καὶ οὐχ εἷλον. καὶ τὸ θέρος
ἐτελεύτα.

63 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς τὴν ἔφοδον οἱ
Ἀθηναῖοι ἐπὶ Συρακούσας παρεσκευάζοντο, οἱ δὲ Συρακό-
σιοι καὶ αὐτοὶ ὡς ἐπ' ἐκείνους ἰόντες. ἐπειδὴ γὰρ αὐτοῖς

C. 62. § 1. *ἑκάτερος.* Gr. 56, 9 A. 2. — *παντί. τῷ παντί* Hertlein Ms. vgl. Xen. Cyr. 5, 4, 49.

§ 2. *τὴν Σικελίαν. τῆς Σικελίας* Reiske, was mit *μέρος* zu verbinden wäre, dies noch von *παραπλεῖν* regiert. — *Ἑλλὰς πόλις* auch Her. 5, 93. 7, 22, *Ἑλλὰς γλῶσσα* eb. 6, 98. (Arn.) — *ἐδέχοντο, οἱ Ἱμεραῖοι.* (Sch.) Gr. 58, 4 A. 1. vgl. 50, 5 A. 3.

§ 3. *αὐτῶν.* Gr. 47, 9.

§ 4. *χρηματίζειν* verhandeln. zu 1, 87, 4. — *ἀπέδοσαν. ἀπέδοντο* Bk. Gr. 52, 10 A. 6. — *ἐγένοντο* es kamen heraus als Ertrag. Kr. zu Xen. An. 5, 3, 4. — *ἐς τῶν Σικελῶν τούς* für *ἐς τοὺς τῶν Σικελῶν* Kr. Rec. 1828 vgl. 7, 32, 1. u. Gr. 47, 9 A. 19. — *τῇ ἡμισείᾳ τῆς.* Gr. 47, 28 A. 9.

πρὸς τὸν πρῶτον φόβον καὶ τὴν προσδοκίαν οἱ Ἀθηναῖοι οὐκ εὐθὺς ἐπέκειντο, κατά τε τὴν ἡμέραν ἑκάστην προϊοῦσαν ἀνεθάρσουν μᾶλλον, καὶ ἐπειδὴ πλέοντες τά τε ἐπέκεινα τῆς 2
Σικελίας πολὺ ἀπὸ σφῶν ἐφαίνοντο καὶ πρὸς τὴν Ὕβλαν ἐλθόντες καὶ πειράσαντες οὐχ εἷλον βίᾳ, ἔτι πλέον κατεφρόνησαν καὶ ἠξίουν τοὺς στρατηγούς, οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας ποιεῖν, ἄγειν σφᾶς ἐπὶ Κατάνην, ἐπειδὴ οὐκ ἐκεῖνοι ἐφ' ἑαυτοὺς ἔρχονται. ἱππῆς τε προσελαύνοντες ἀεὶ κατά- 3
σκοποι τῶν Συρακοσίων πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων ἐφύβριζον ἄλλα τε καὶ εἰ ξυνοικήσοντες σφίσιν αὐτοῖς μᾶλλον ἤκοιεν ἐν τῇ ἀλλοτρίᾳ ἢ Λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες. ἃ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων 64
καὶ βουλόμενοι αὐτοὺς ἄγειν πανδημεὶ ἐκ τῆς πόλεως ὅτι πλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες στρατόπεδον καταλαβεῖν ἐν ἐπιηδείῳ καθ' ἡσυχίαν, εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες [καὶ] εἰ ἐκ τῶν 2
νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν ἢ κατὰ γῆν ἰόντες γνωσθείησαν — τοὺς γὰρ ἂν ψιλοὺς τοὺς σφῶν καὶ τὸν ὄχλον τῶν Συρακοσίων τοὺς ἱππέας, πολλοὺς ὄντας, σφίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν μεγάλα, οὕτω δὲ λή-

---

C. 63. § 1. *πρός, κατά.* (Ba.) Diese Erklärung paßt nur zu *προσδοκίαν*; *πρὸς τὸν πρῶτον φόβον* wird wohl heißen: auf die erste Furcht, d. h. mit Benutzung derselben. vgl. 49, 1.

§ 2. *πλέοντες τά* wie *πλεῖν τὴν θάλασσαν*. Gr. 46, 6 A. 3. — *οὐκ ἐκεῖνοι*. Gr. 67, 10 A. 1. — *ἐπειδή* für *ἐπειδή γε* die besten Hsn.

§ 3. *καὶ εἰ. καὶ ἐφύβριζον εἰ* d. h. *ἐφυβρίζοντες ἔλεγον, ἠρώτων εἰ.* — *αὐτοῖς. αὐτοί* Bk. doch s. Kr. z. Dion. p. 340. (Pp.) Gr. 51, 2 A. 7.

C. 64. § 1. *ἄγειν, ποιῆσαι προελθεῖν.* (Sch.) — *ἐν τοσούτῳ*, nicht *ἐν τούτῳ*, weil angedeutet wird: hinreichende Zeit zu gewinnen um in derselben.

§ 2. *δυνηθέντες, στρατόπεδον καταλαβεῖν.* (Sch.) — *καὶ εἰ ἐκ. εἰ ἐκ* oder *ἢ εἰ ἐκ* Reiske; *καί* ignoriren der Sch. und Ba. — *γνωσθείησαν*. Gr. 30, 9 A. 2 u. zu 1, 38, 1. — *τοὺς ψιλοὺς καὶ τὸν ὄχλον* sind die Objectsac. (Sch.) — *τούς* vor *σφῶν* ist hier gegen den sonstigen Gebrauch des Thuk. hinzugefügt. zu 1, 25, 2. Auch paßt es nicht recht. Gr. 50, 8 A. 11 zweite Ausg. — *Συρακοσίων* hängt von *τοὺς ἱππέας* ab. (Sch.) — *δ' οὐ παρόντων*. Gr. 56, 14 A. 2. — *βλάπτειν*. Gr. 65, 11 A. 7. — *ἄν*. Gr. 69, 7 A. 3. — *οὕτω δέ* auf die § 1 angegebene Weise aber glaubten sie. (Hl.) —

ψεσθαι χωρίον ὅθεν ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξια
3 λόγου· ἐδίδασκον δ' αὐτοὺς περὶ τοῦ πρὸς τῷ Ὀλυμπιείῳ
χωρίου, ὅπερ καὶ κατέλαβον, Συρακοσίων φυγάδες οἳ ξυνεί-
ποντο — τοιόνδε τι οὖν πρὸς ἃ ἐβούλοντο οἱ στρατηγοὶ
4 μηχανῶνται. πέμπουσιν ἄνδρα σφίσι μὲν πιστόν, τοῖς δὲ
τῶν Συρακοσίων στρατηγοῖς τῇ δοκήσει οὐχ ἧσσον ἐπιτήδειον·
ἦν δὲ Καταναῖος ὁ ἀνὴρ καὶ ἀπ' ἀνδρῶν ἐκ τῆς Κατάνης
ἥκειν ἔφη ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον καὶ ἠπίσταντο
5 ἐν τῇ πολει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὐνόων. ἔλεγε
δὲ τοὺς Ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει,
καὶ εἰ βούλονται ἐκεῖνοι πανδημεὶ ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ
ἐπὶ τὸ στράτευμα ἐλθεῖν, αὐτοὶ μὲν ἀποκλήσειν αὐτοὺς παρὰ
σφίσι καὶ τὰς ναῦς ἐμπρήσειν, ἐκείνους δὲ ῥᾳδίως τὸ στρά-
τευμα προσβαλόντας τῷ σταυρώματι αἱρήσειν· εἶναι δὲ ταῦτα
τοὺς ξυνδράσοντας πολλοὺς Καταναίων, καὶ ἡτοιμάσθαι ἤδη,
ἀφ' ὧν αὐτὸς ἥκειν.

65 Οἱ δὲ στρατηγοὶ τῶν Συρακοσίων, μετὰ τοῦ καὶ ἐς τὰ
ἄλλα θαρσεῖν καὶ εἶναι ἐν διανοίᾳ καὶ ἄνευ τούτων ἰέναι
[παρεσκευάσθαι] ἐπὶ Κατάνην, ἐπίστευσάν τε τῷ ἀνθρώπῳ

ὅθεν kurz für ὅθεν ἐπιχειροῦντες. — βλάψονται passiv, wie 1, 81, 2. Gr. 39, 11 A.

§ 3. αὐτούς, τοὺς στρατηγούς. (Sch.) — οὖν. Gr. 69, 52 A. 3, wo „es" nach „steht" einzuschalten ist, u. zu 39 5, 1. — πρὸς ἃ, πρὸς ταῦτα ἃ in Bezug auf das was, πρὸς τὸ καταλαβεῖν στρατόπεδον. (Sch.) vgl. zu 11 4. — οἱ στρατηγοί schon § 1, der Zwischensätze wegen wiederholt. — τῇ δοκήσει dem Anschein nach; ein der gew. Prosa fremdes Wort. zu 2, 35, 2.

§ 4. ἠπίσταντο, αὐτούς, nach griechischer Weise für οὕς aus ὧν. Gr. 60, 6 A. 2. — εὐνόων für ἔνων. Die aufgelösten Formen sind auch in der att. Prosa nicht selten. Lob. z. Phryn. p. 142.

§ 5. ἀπὸ τῶν ὅπλων entfernt von den Waffen, dem Lager. zu 1, 111, 1. — ἐκεῖνοι, οἱ Συρακόσιοι. (Sch.) — αὐτοί sie, die Katanäer; über den No. zu 6, 25, 3. — σταυρώματι. στρατεύμασι andere Hsn. — αἱρήσειν würden überwältigen. — ταῦτα τούς. Gr. 50, 10 A. 1 und hier Vp. — ἡτοιμάσθαι, ταῦτα vgl. 7, 62, 1. — ἀφ' ὧν auf τοὺς ξυνδράσοντας bezogen. Der Satz vorher steht διὰ μέσου. vgl. zu 1, 102, 2 u. 6, 68, 4.

C. 65. § 1. μετὰ τοῦ außerdem daß, wie Dem. 5, 5. — εἶναι ἐν διανοίᾳ, διανοεῖσθαι. (Sch.) — παρεσκευάσθαι verdächtigen Acacius u. Dobree, wie auch ich es schon längst als Glossem von

πολλῷ ἀπερισκεπτότερον καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι ἧ παρέσονται ἀπέστειλαν αὐτόν, καὶ αὐτοί — ἤδη γὰρ καὶ τῶν 2
ξυμμάχων Σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν — προεῖπον πανδημεὶ πᾶσιν ἐξιέναι Συρακοσίοις. ἐπεὶ δὲ ἑτοῖμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν καὶ αἱ ἡμέραι ἐν αἷς ξυνέθεντο ἥξειν ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ Κατάνης ηὐλίσαντο ἐπὶ τῷ Συμαίθῳ ποταμῷ ἐν τῇ Λεοντίνῃ. οἱ δ' Ἀθηναῖοι ὡς 3
ἤσθοντο αὐτοὺς προσιόντας, ἀναλαβόντες τό τε στράτευμα ἅπαν τὸ ἑαυτῶν καὶ ὅσοι Σικελῶν αὐτοῖς ἦ ἄλλος τις προσεληλύθει καὶ ἐπιβιβάσαντες ἐπὶ τὰς ναῦς καὶ τὰ πλοῖα, ὑπὸ νύκτα ἔπλεον ἐπὶ τὰς Συρακούσας. καὶ οἵ τε Ἀθηναῖοι 4
ἅμα ἕῳ ἐξέβαινον ἐς τὸ κατὰ τὸ Ὀλυμπιεῖον ὡς τὸ στρατόπεδον καταληψόμενοι, καὶ οἱ ἱππῆς οἱ Συρακοσίων πρῶτοι προσελάσαντες ἐς τὴν Κατάνην καὶ αἰσθόμενοι ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται ἀποστρέψαντες ἀγγέλλουσι τοῖς πεζοῖς, καὶ ξύμπαντες ἤδη ἀποτρεπόμενοι ἐβοήθουν ἐπὶ τὴν πόλιν.
ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι, μακρᾶς οὔσης τῆς ὁδοῦ αὐτοῖς, 66
καθ' ἡσυχίαν καθῖσαν τὸ στράτευμα ἐς χωρίον ἐπιτήδειον, καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον ὁπότε βούλοιντο καὶ οἱ ἱππῆς τῶν Συρακοσίων ἥκιστ' ἂν αὐτοὺς καὶ ἐν τῷ ἔργῳ καὶ

ἑτοιμάσθαι 64, 5 angemerkt. — ἀπερισκεπτότερον als es ohne die Zuversicht und das Vorhaben der Fall gewesen wäre. (Hl. u. Ba.)

§ 2. ἤδη γάρ gibt den Grund an warum alle Syrakosier ausziehen konnten, indem die Selinuntier als Besatzung zurückblieben. — αἱ ἡμέραι, weil den Marsch mitgerechnet mehrere Tage erfordert wurden. (Gö.)

§ 3. ὅσοι, πάντας ὅσοι. Gr. 51, 13 A. 2. — ἦ ἄλλος τις. η εἰ ἄλλος τις würden wir erwarten.

§ 4. ἐς τό für ἐς τόν eine Hs. Zu diesem τόπον zu ergänzen verbietet der Sprachgebrauch; μέγαν λιμένα mit einigen Hsn. u. Ba. hinzugefügt würde mit ἐκβαίνειν nicht stimmen. (Dr.) — τό vor στρατόπεδον ist aus den besten Hsn. hinzugefügt. Es weist auf 6, 64, 1 zurück. (Benedict.) vgl. jedoch zu 2, 81, 3. — ἀνῆκται, ἀνέπλευσαν. (Sch.) — ἤδη zu 6, 41, 3.

C. 66 § 1. αὐτοῖς, τοῖς Συρακοσίοις. (Hl.) — καθῖσαν. καθεῖσαν vermuthet hier u. 7, 82, 3 Göttling Accentl. S. 48, was ich so nicht gebraucht wüßte. vgl. Gr. § 39 unter ἵζω. — ἐπιτήδειον, ἁρμόδιον ἐνστρατοπεδεύσασθαι. (Sch.) — ἄρξειν ἔμελλον anfangen konnten. (Ba.) — ἂν λυπήσειν. vgl. 8, 25 4 u. Kr. zu Xen.

πρὸ αὐτοῦ λυπήσειν· τῇ μὲν γὰρ τειχία τε καὶ οἰκίαι εἶργον
2 καὶ δένδρα καὶ λίμνη, παρὰ δὲ τὸ κρημνοί. καὶ τὰ ἐγγὺς δένδρα κόψαντες καὶ κατενεγκόντες ἐπὶ τὴν θάλασσαν παράτε τὰς ναῦς σταύρωμα ἔπηξαν καὶ ἐπὶ τῷ Λάσκωνι ἔρυμά τε, ᾗ εὐεφοδώτατον ἦν τοῖς πολεμίοις, λίθοις λογάδην καὶ ξύλοις διὰ ταχέων ὤρθωσαν καὶ τὴν τοῦ Ἀνάπου γέφυραν
3 ἔλυσαν. παρασκευαζομένων δὲ ἐκ μὲν τῆς πόλεως οὐδεὶς ἐξιὼν ἐκώλυεν, πρῶτοι δὲ οἱ ἱππῆς τῶν Συρακοσίων προσεβοήθησαν, ἔπειτα δὲ ὕστερον καὶ τὸ πεζὸν ἅπαν ξυνελέγη. καὶ προσῆλθον μὲν ἐγγὺς τοῦ στρατεύματος τῶν Ἀθηναίων τὸ πρῶτον, ἔπειτα δέ, ὡς οὐκ ἀντιπροήεσαν αὐτοῖς, ἀναχωρήσαντες καὶ διαβάντες τὴν Ἑλωρινὴν ὁδὸν ηὐλίσαντο.

67 Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι παρεσκευάζοντο ὡς ἐς μάχην καὶ ξυνετάξαντο ὧδε. δεξιὸν μὲν
2 κέρας Ἀργεῖοι εἶχον καὶ Μαντινῆς, Ἀθηναῖοι δὲ τὸ μέσον, τὸ δὲ ἄλλο οἱ ξύμμαχοι οἱ ἄλλοι. καὶ τὸ μὲν ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν, τεταγμένον ἐπὶ ὀκτώ, τὸ δὲ ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ, ἐπὶ ὀκτὼ καὶ τοῦτο

An. 2, 3, 18. — *τῇ μέν.* Gr. 50, 1 A. 16. — *παρὰ δὲ τό* neben einer andern Strecke; über die Stellung Gr. 50, 1 A. 14.

§ 2. *ἔρυμα τε. ἔρυμα τι.* (Kr.) — *εὐεφοδώτατον. ἐφοδώτατον* die beſten Hſn. Aber jenes kann wohl ſo wenig als *ἄνοδος, κάθοδος, πάροδος* Adjectiv ſein (Didot); daher vermuthet Bk. *εὐοδώτατον.* Daß dies oder *εὐεφοδώτατον* keineswegs widerſinnig ſei, wie Abreſch meint, zeigt Xen. Heli. 6, 5, 24, wo ebenfalls dem *δυσεμβολώτατος* das folgende *εὐπροσοδώτατος* nicht widerſpricht. Der Superlativ ſagt hier viel weniger als der Poſitiv: noch am leichteſten zugänglich. (Hertlein Ms) — *λογάδην, ἐπιλέκτοις.* (Sch.) zu 4, 4, 1. vgl. Gr. 50, 8 A. 19.

§ 3. *παρασκευαζομένων, αὐτῶν.* Gr. 47, 4 A. 3. — *οὐδεὶς* für *οὐθεὶς* nur einige ſchlechte Hſn. — *ἐκώλυεν. ἐκώλυε τὸ πρῶτον?* Wenigſtens iſt ſo etwas zu denken. — *προσεβοήθησαν* zogen dagegen aus. vgl. 2, 25, 3. 4. 8, 24, 3. 55, 1. — *ἔπειτα δ' ὕστερον* ſodann ſpäter. zu 2, 9, 1.

C. 67. § 1. *δεξιὸν κέρας* ſteht gewöhnlicher mit dem Artikel als ohne ihn, wie noch 2, 90, 1. 4, 93, 4. 5, 67, 3. vgl. Gr. 50, 2 A. 13. Nie ohne ihn erſcheint bei Thuk. *εὐώνυμον κέρας*, außer prädicativ 5, 67, 1. — *τὸ ἄλλο* die übrige Schlachtlinie. zu 3, 107, 4.

§ 2. *ἦν.* Hier iſt ein Komma geſetzt nach Fritzſche Quaestt. Luc. p. 85. — *ἐπὶ ταῖς εὐναῖς* am Lager Va., bei dem Schifflager Hl. — *ἐν πλαισίῳ. ἐν σχήματι τετραγώνῳ.* (Sch.) vgl. Kr. zu Xen. An. 3, 2, 36 gr. A. — *καὶ τοῦτο* gleichfalls. (Va.) vgl. 7, 57, 8

τεταγμένον· οἷς εἴρητο, ᾗ ἂν τοῦ στρατεύματός τι πονῇ μάλιστα, ἐφορῶντας παραγίγνεσθαι. καὶ τοὺς σκευοφίρους ἐντὸς τούτων τῶν ἐπιτάκτων ἐποιήσαντο. οἱ δὲ Συρακόσιοι 3
ἔταξαν τοὺς μὲν ὁπλίτας ἐφ' ἑκκαίδεκα, ὄντας πανδημεὶ Συρακοσίους καὶ ὅσοι ξύμμαχοι παρῆσαν — ἐβοήθησαν δὲ αὐτοῖς Σελινούντιοι μὲν μάλιστα, ἔπειτα δὲ καὶ Γελῴων ἱππῆς, τὸ ξύμπαν ἐς διακοσίους, καὶ Καμαριναίων ἱππῆς ὅσον εἴκοσι καὶ τοξόται ὡς πεντήκοντα — τοὺς δὲ ἱππέας ἐπετάξαντο ἐπὶ τῷ δεξιῷ, οὐχ ἔλασσον ὄντας ἢ διακοσίους καὶ 4
χιλίους, παρὰ δ' αὐτοὺς καὶ τοὺς ἀκοντιστάς. μέλλουσι δὲ τοῖς Ἀθηναίοις προτέροις ἐπιχειρήσειν ὁ Νικίας κατά τε ἔθνη, ἐπιπαριὼν ἕκαστα, καὶ ξύμπασι τοιάδε παρεκελεύετο.

"Πολλῇ μὲν παραινέσει ὦ ἄνδρες τί δεῖ χρῆσθαι, οἳ 68
πάρεσμεν ἐπὶ τὸν αὐτὸν ἀγῶνα; αὐτὴ γὰρ ἡ παρασκευὴ ἱκανωτέρα μοι δοκεῖ εἶναι θάρσος παρασχεῖν ἢ καλῶς λεχθέντες λόγοι μετὰ ἀσθενοῦς στρατοπέδου. ὅπου γὰρ Ἀργεῖοι καὶ 2
Μαντινῆς καὶ Ἀθηναῖοι καὶ νησιωτῶν οἱ πρῶτοι ἐσμεν, πῶς οὐ χρὴ μετὰ τοιῶνδε καὶ τοσῶνδε ξυμμάχων πάντα τινὰ μεγάλην τὴν ἐλπίδα τῆς νίκης ἔχειν, ἄλλως τε καὶ πρὸς ἄνδρας πανδημεί τε ἀμυνομένους καὶ οὐκ ἀπολέκτους ὥσπερ καὶ ἡμᾶς, καὶ προσέτι Σικελιώτας, οἳ ὑπερφρονοῦσι μὲν ἡμῶν ὑπομενοῦσι δ' οὔ, διὰ τὸ τὴν ἐπιστήμην τῆς τόλμης ἧσσω

---

u. Gr. 51, 7 A. 12. — *μάλιστα* verband ſchon Va. mit *πονῇ*, nicht mit *ἐφορῶντας*. — *ἐφορῶντας* im Auge habend. zu Xen. An. 6, 1, 14. — *ἐντὸς ἐποιήσαντο* ſtellten ſie in die Mitte des *πλαισιον*. vgl. zu 2, 83, 4. — *τῶν ἐπιτάκτων, τῶν ὄπισθεν ἐπιτεταγμένων παρὰ ταῖς εἰναῖς.* (Sch.) Betont iſt nach einigen guten Handſchriften; die meiſten *ἐπιταχτῶν*. vgl. Lobeck Parall. p. 491.

§ 3. *μάλιστα* mit der größten Anzahl.

§ 4. *ἐπετάξαντο* ſtellten ſie nach dem andern Theile der Linie auf; nach, aber nicht hinter ſondern neben. — *προτέροις*. Gr. 57, 5 A. 3. — *κατὰ ἔθνη*. Gr. 60, 8 A. 4. — *ἐπιπαριών* zu den Abtheilungen längs denſelben gehend. zu 4, 91, 2.

C. 68. § 1. *οἳ* da wir, aber auf ein vorſchwebendes *ἡμᾶς* bezüglich. — *τὸν αὐτόν* im Gegenſatze zu den verſchiedenen Völkerſchaften. (Va.)

§ 2. *πάντα τινά*. Gr. 51, 16 A. 11. — *πανδημει*, alſo nicht mit erleſener Mannſchaft, *οὐκ ἀπολέκτους*. — *ὥσπερ καὶ ἡμᾶς*. Gr. 62, 4 A. 3. vgl. 1, 69, 4 u. über *καί* Gr. 69, 32 A. 13. — *ὑπερφρονοῦσιν ἡμᾶς*. Gr. 47, 23 A. 1. vgl. 3, 39, 5.

3 ἔχειν. παραστήτω δέ τινι καὶ τόδε, πολύ τε ἀπὸ τῆς ἡμε-
τέρας αὐτῶν εἶναι καὶ πρὸς γῇ οὐδεμιᾷ φιλίᾳ, ἤντινα μὴ
αὐτοὶ μαχόμενοι κτήσεσθε. καὶ τοὐναντίον ὑπομιμνήσκω
ὑμᾶς ἢ οἱ πολέμιοι σφίσιν αὐτοῖς εὖ οἶδ' ὅτι παρακελεύ-
4 ονται· οἱ μὲν γὰρ ὅτι περὶ πατρίδος ἔσται ὁ ἀγών, ἐγὼ δὲ
ὅτι οὐκ ἐν πατρίδι, ἐξ ἧς κρατεῖν δεῖ ἢ μὴ ῥᾳδίως ἀποχω-
ρεῖν· οἱ γὰρ ἱππῆς πολλοὶ ἐπικείσονται. τῆς τε οὖν ὑμετέρας
αὐτῶν ἀξίας μνησθέντες ἐπέλθετε τοῖς ἐναντίοις προθύμως
καὶ τὴν παροῦσαν ἀνάγκην καὶ ἀπορίαν φοβερωτέραν ἡγησά-
μενοι τῶν πολεμίων."

69 Ὁ μὲν Νικίας τοιαῦτα παρακελευσάμενος ἐπῆγε τὸ στρα-
τόπεδον εὐθύς, οἱ δὲ Συρακόσιοι ἀπροσδόκητοι μὲν ἐν τῷ
καιρῷ τούτῳ ἦσαν ὡς ἤδη μαχούμενοι, καί τινες αὐτοῖς
ἐγγὺς τῆς πόλεως οὔσης καὶ ἀπεληλύθεσαν· οἱ δὲ καὶ διὰ
σπουδῆς προσβοηθοῦντες δρόμῳ ὑστέριζον μέν, ὡς δὲ ἕκα-
2 στός πῃ τοῖς πλείοσι προσμίξειεν καθίσταντο. οὐ γὰρ δὴ
προθυμίᾳ ἐλλιπεῖς ἦσαν οὐδὲ τόλμῃ οὔτ' ἐν ταύτῃ τῇ μάχῃ
οὔτ' ἐν ταῖς ἄλλαις, ἀλλὰ τῇ μὲν ἀνδρίᾳ οὐχ ἥσσους ἐς

---

§ 3. παραστήτω, δεδόχθω. (Sch.) zu 4, 61, 2. — εἶναι, αὐτόν, ἡμᾶς. (Ba.) — πολύ τε. πολύ τι Kr. — τῆς ἡμετέρας αὐτῶν. Gr. 51, 2 A. 10. — ἤντινα μή wofern ihr nicht ein ſolches. (St.)

§ 4. οἱ μὲν γάρ, παρακελεύονται. Gr. 69, 14 A. 5. — οὐκ ἐν πατρίδι ſo viel als ἐν πολεμίᾳ. Gr. 67, 1 A. 4. ἐν οὐ πατρίδι Dobree. Indeß ähnlich findet ſich οὐκ ἐν καιρῷ, οὐκ εἰς μακράν ꝛc. — ἐξ ἧς gehört dem Gedanken nach, für den κρατεῖν δεῖ ἢ wie διὰ μέσου ſtehen, zu ἀποχωρεῖν. (St.) vgl. zu 64, 5. — πολλοί. Gr. 50, 11 A. 1. — ἡγησάμενοι iſt mit μνησθέντες verbunden und ἐπέλθετε zwiſchengeſtellt. vgl. 6, 83, 1 u. Kr. zu Xen. An. 7, 8, 16. Ueber den Ao. Gr. 53, 5 A. 2.

C. **69**. § 1. ἐπῆγε, κατὰ τῶν πολεμίων δηλονότι. (Sch.) — ἀπροσδόκητος activ auch 2, 33, 3. 93, 3. 4. 72, 2. 7, 29, 2. 39, 2; paſſiv 2, 5, 2. 61, 3. 91, 3. 3, 39, 4. 4, 103, 4. 7, 46 8, 23, 2. — καί τινες καί. Gr. 69, 32 A. 20 u. zu 1, 75, 2. — ἀπεληλύθεσαν für ἐπεληλύθεσαν P. Reiske u. zwei Hſn. — οἱ δέ beziehen der Sch. u A. auf τινές: dieſe aber, alſo, was ſchon das καί nicht geſtattet. vgl. Gr. 50, 1 A. 4 u. 69, 32 A. 15. Dieſen Gedanken gäbe οἵ δή, was Ba. vielleicht hatte. Allein es iſt gar wohl denkbar daß einige (τινές) ganz fortgegangen, Andere auch bloß weit entfernt waren, ſo daß ſie ſich zwar verſpäteten, aber doch noch eintreten konnten.

§ 2. ἐλλιπεῖς, ἧττον ἦσαν τῶν Ἀθηναίων. (Sch.) vgl. 4, 63, 1. — οὐχ ἥσσους. Wäre hier ἦσαν zu denken, ſo müßte etwa folgen

ὅσον ἡ ἐπιστήμη ἀντέχοι, τῷ δὲ ἐλλείποντι αὐτῆς καὶ τὴν βούλησιν ἄκοντες προὐδίδοσαν. ὅμως δὲ οὐκ ἂν οἰόμενοι 3
σφίσι τοὺς Ἀθηναίους προτέρους ἐπελθεῖν καὶ διὰ τάχους ἀναγκαζόμενοι ἀμύνασθαι ἀναλαβόντες τὰ ὅπλα εὐθὺς ἀντεπῆσαν. καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθοβόλοι καὶ σφενδονῆται καὶ τοξόται προὐμάχοντο καὶ τροπὰς οἵας εἰκὸς ψιλοὺς ἀλλήλων ἐποίουν· ἔπειτα δὲ μάντεις τε σφάγια προὔφερον τὰ νομιζόμενα καὶ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις, οἱ δ' ἐχώρουν, Συρακόσιοι μὲν περί τε πα- 4
τρίδος μαχούμενοι καὶ τῆς ἰδίας ἕκαστος τὸ μὲν αὐτίκα σωτηρίας τὸ δὲ μέλλον ἐλευθερίας, τῶν δ' ἐναντίων Ἀθηναῖοι μὲν περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν καὶ τὴν οἰκείαν μὴ βλάψαι ἡσσώμενοι, Ἀργεῖοι δὲ καὶ τῶν ξυμμάχων οἱ αὐτό- 5
νομοι ξυγκτήσασθαί τε ἐκείνοις ἐφ' ἃ ἦλθον καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα νικήσαντες πάλιν ἐπιδεῖν· τὸ δ' ὑπήκοον τῶν ξυμμάχων μέγιστον μὲν περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας, ἢν μὴ κρατῶσι, τὸ πρόθυμον εἶχον, ἔπειτα

ταύτης oder τῆς ἐπιστήμης δὲ τῷ ἐλλείποντι. Demnach ist zu verbinden οὐχ ἥσσους (ὄντες) — τῷ ἐλλείποντι προὐδίδοσαν; μέν aber und δέ stehen in zusammenhängender Construction. Gr. 69, 16 A. 4. — ἐπιστήμη, πολεμική. (Sch.) — τῷ ἐλλείποντι, τῇ ἐλλείψει. (Sch.) vgl. zu 5, 97. — τὴν βούλησιν προὐδίδοσαν verriethen ihren Willen, opferten ihren Muth vergebens auf, unterstützten ihn nicht mit Kriegskunde. (Ba.) Ein sehr kühner Ausdruck (παραχειρίζοντες). — ἄκοντες bei βούλησιν bildet ein Oxymoron. (Ba.)

§ 3. ὅμως δέ weist zurück auf ἀπροσδόκητοι μέν, das hier durch οὐκ ἄν — ἐπελθεῖν erneuert wird. Denn ὅμως nach Gr. 56, 13 A. 3 zu erklären dürfte das δέ nicht gestatten. — λιθοβόλοι, οἱ ἐκ χειρὸς βάλλοντες Xen. An. 3, 3, 15, die aus freier Hand Steine werfen. — εἰκός, ποιεῖν aus ἐποίουν. Gr. 55, 4 A. 11. — σφάγια προὔφερον, ἔμπροσθεν τῆς στρατιᾶς ἐσφαγιάζοντο (Sch.) — τὰ νομιζόμενα, τὰ κατ' ἔθος νόμιμον γινόμενα. (Sch.) — ξύνοδον ἐπώτρυνον, παρώρμων πρὸς τὸ ξυμμῖξαι. (Sch.) Die ganze Redensart (mit dem Da.) ist ungewöhnlich. (Ba.) Ξύνοδος eben so 3, 107, 3. 5, 71, 1.

§ 4. πατρίδος. Gr. 50, 3 A. 8. — τῆς ἰδίας. über die Stellung zu 2, 44, 1. — σχεῖν. Gr. 61, 6 A. 9. — ἡσσώμενοι, διὰ τοῦ ἡττηθῆναι. (Sch.) Gr. 53, 1 A. 3.

§ 5. ξυγκτήσασθαι ist an μαχούμενοι § 4 anzuschließen. Gr. 55, 13 A. 16. — ἐκείνοις, τοῖς Ἀθηναίοις. (Sch.) — ἐπιδεῖν. vgl. 7, 61, 1. — τὸ ὑπήκοον. Gr. 43, 4 A. 17. — ἐφ' ἃ. zu 6, 9, 3. — μέγιστον. Gr. 57, 10 A. 12. — καὶ εἰ, καὶ περὶ τούτου τὸ πρό-

δὲ ἐν παρέργῳ καὶ εἴ τι ἄλλο ξυγκαταστρεψαμένοις ῥᾴον
70 αὐτοῖς ὑπακούσεται. γενομένης δ' ἐν χερσὶ τῆς μάχης ἐπὶ πολὺ ἀντεῖχον ἀλλήλοις, καὶ ξυνέβη βροντάς τε ἅμα τινὰς γενέσθαι καὶ ἀστραπὰς καὶ ὕδωρ πολύ, ὥστε τοῖς μὲν πρῶτον μαχομένοις καὶ ἐλάχιστα πολέμῳ ὡμιληκόσι καὶ τοῦτο
2 ξυνεπιλαβέσθαι τοῦ φόβου, τοῖς δ' ἐμπειροτέροις τὰ μὲν γιγνόμενα καὶ ὥρᾳ ἔτους περαίνεσθαι δοκεῖν, τοὺς δὲ ἀνθεστῶτας πολὺ μείζω ἔκπληξιν μὴ νικωμένους παρέχειν. ὡσαμένων δὲ τῶν Ἀργείων πρῶτον τὸ εὐώνυμον κέρας τῶν Συρακοσίων καὶ μετ' αὐτοὺς τῶν Ἀθηναίων τὸ κατὰ σφᾶς αὐτοὺς παρερρήγνυτο ἤδη καὶ τὸ ἄλλο στράτευμα τῶν Συρακο-
3 σίων καὶ ἐς φυγὴν κατέστη. καὶ ἐπὶ πολὺ μὲν οὐκ ἐδίωξαν οἱ Ἀθηναῖοι — οἱ γὰρ ἱππῆς τῶν Συρακοσίων πολλοὶ ὄντες καὶ ἀήσσητοι εἶργον καὶ ἐσβαλόντες ἐς τοὺς ὁπλίτας αὐτῶν εἴ τινας προδιώκοντας ἴδοιεν, ἀνέστελλον — ἐπακολουθήσαντες δὲ ἀθρόοι ὅσον ἀσφαλῶς εἶχε πάλιν ἐπανεχώρουν
4 καὶ τροπαῖον ἔστασαν. οἱ δὲ Συρακόσιοι ἀθροισθέντες ἐς τὴν Ἑλωρινὴν ὁδὸν καὶ ὡς ἐκ τῶν παρόντων ξυνταξάμενοι ἔς τε τὸ Ὀλυμπιεῖον ὅμως σφῶν αὐτῶν παρέπεμψαν φυλα-

---

θυμον εἶχον εἰ. — ξυγκαταστρεψαμένοις wenn ſie, die Bundesgenoſſen, ihnen, den Athenern, hätten unterwerfen helfen. (Ba.) — ὑπακούσεται. τὸ ὑπήκοον als Subject zu nehmen iſt für unthunlich erklärt worden, weil vorher die Plurale κρατῶσι und εἶχον geſetzt ſeien; allein ſ. 7, 34, 2: ὁ πεζός, ἑκατέρωθεν προσβεβοηθηκότες, — παρετέταχτο. Aehnliches bei Pp. 1, 1 p. 96. (Hertlein Ms.) ὑπακουσθήσεται will Ds Der Sch.: ὅπως οἱ Ἀθηναῖοι πρᾴότερον τῶν συναγωνισαμένων ἄρχοιεν.

C. 70. § 1. ἐν χερσί, ἐκ χειρὸς μαχομένων μετὰ τὸ παύσασθαι τοὺς λιθοβόλους καὶ τοὺς σφενδονήτας. (Sch.) — ὕδωρ. Gr. 61, 4 A. 4. — ξυνεπιλαβέσθαι, αἴτιον τοῦ φόβου γενέσθαι. (Sch.) Wohl eig. Theil nehmen an, nämlich befördernd. vgl. 1, 115, 2. 3, 74, 1. 8, 26, 1. 92, 6 u. zu 3, 36, 2.

§ 2. ὥρᾳ ἔτους der Jahreszeit gemäß; anders 2, 52, 1. — δοκεῖν hängt der Fügung nach von ὥστε, dem Sinne nach von ξυνέβη ab.

§ 3. αὐτῶν, τῶν Ἀθηναίων. (Sch.) — ἀνέστελλον trieben ſie zurück. zu 3, 98, 1. — ὅσον ſo weit als, wie Xen. An. 3, 3, 15.

§ 4. ἐκ τῶν παρόντων. Gr. 68, 17 A. 10 u. zu 3, 29, 2. Mit ὡς noch 4, 17, 1. vgl. zu 2, 3, 3. — ὅμως, obgleich beſiegt. (Bl. u. Arn.) — σφῶν αὐτῶν aus ihrer eigenen Mitte. Gr. 47, 9.

κήν, δεισαντες μὴ οἱ Ἀθηναῖοι τῶν χρημάτων ἃ ἦν αὐτόθι κινήσωσιν, καὶ οἱ λοιποὶ ἐπανεχώρησαν ἐς τὴν πόλιν. οἱ δὲ 71
Ἀθηναῖοι πρὸς μὲν τὸ ἱερὸν οὐκ ἦλθον, ξυγκομισαντες δὲ τοὺς ἑαυτῶν νεκροὺς καὶ ἐπὶ πυρὰν ἐπιθέντες ηὐλίσαντο αὐτοῦ. τῇ δ' ὑστεραίᾳ τοῖς μὲν Συρακοσίοις ἀπέδοσαν ὑποσπόνδους τοὺς νεκρούς — ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων περὶ ἑξήκοντα καὶ διακοσίους — τῶν δὲ σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν — ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων ὡς πεντήκοντα — καὶ τὰ τῶν πολεμίων σκῦλα ἔχοντες ἀπέπλευσαν ἐς Κατάνην· χειμών τε γὰρ ἦν καὶ τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὔπω ἐδόκει δυνατὸν εἶναι, πρὶν ἂν ἱππέας τε μεταπέμψωσιν ἐκ τῶν Ἀθηνῶν καὶ ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν, ὅπως μὴ παντάπασιν ἱπποκρατῶνται, καὶ χρήματα δὲ ἅμα αὐτόθεν τε ξυλλέξωνται καὶ παρ' Ἀθηναίων ἔλθῃ, τῶν τε πόλεών τινας προσαγάγωνται, ἃς ἤλπιζον μετὰ τὴν μάχην μᾶλλον σφῶν ὑπακούσεσθαι, τά τε ἄλλα καὶ σῖτον καὶ ὅσων δέοι παρασκευάσωνται ὡς ἐς τὸ ἔαρ ἐπιχειρήσοντες ταῖς Συρακούσαις.

Καὶ οἱ μὲν ταύτῃ τῇ γνώμῃ ἀπέπλευσαν ἐς τὴν Νάξον 72
καὶ Κατάνην διαχειμάσοντες, Συρακόσιοι δὲ τοὺς σφετέρους αὐτῶν νεκροὺς θάψαντες ἐκκλησίαν ἐποιουν. καὶ παρελθὼν αὐτοῖς Ἑρμοκράτης ὁ Ἕρμωνος, ἀνὴρ καὶ ἐς τἆλλα ξύνεσιν οὐδενὸς λειπόμενος καὶ κατὰ τὸν πόλεμον ἐμπειρίᾳ τε ἱκανὸς γενόμενος καὶ ἀνδρία ἐπιφανής, ἐθάρσυνέ τε καὶ οὐκ εἴα τῷ γεγενημένῳ ἐνδιδόναι· τὴν μὲν γὰρ γνώμην αὐτῶν οὐχ ἡσ- 2
σῆσθαι, τὴν δὲ ἀταξίαν βλάψαι. οὐ μέντοι τοσοῦτόν γε λειφθῆναι ὅσον εἰκὸς εἶναι, ἄλλως τε τοῖς πρώτοις τῶν Ἑλ-

---

— τῶν χρημάτων. Gr. 47, 15 A. 3. — κινήσωσιν angriffen. zu 1, 143, 1.

C. 71. § 1. ξυγκομίσαντες. Eben so Plut. Ag. 19, συνενεγκεῖν Xen. An. 6, 2, 9. (Dr.) vgl. Lyk. 45. — ξυνέλεξαν damit sie nach Athen zurückgebracht (im Kerameikos) bestattet würden. (Dr.) vgl. 2, 34. (Hk.)

§ 2. αὐτόθεν (das erste): von Olympieion oder dem großen Hafen aus. (Hk.) — ἔλθῃ. Kr. zu Xen. An. 4, 8, 24.

C. 72. § 1. αὐτοῖς. zu 6, 15, 3. — οὐδενὸς λειπόμενος. Gr. 47, 19. — οὐκ εἴα. Gr. 67, 1 A. 2. — τῷ γεγενημένῳ wegen des Geschehenen. Gr. 48, 15 A. 5.

§ 2. λειφθῆναι, ἡττηθῆναι. (Sch.) — ἄλλως τε. Bei Thuk.

λήνων ἐμπειρίᾳ, ἰδιώτας, ὡς εἰπεῖν, χειροτέχναις, ἀνταγωνισαμένους. μέγα δὲ βλάψαι καὶ τὸ πλῆθος τῶν στρατηγῶν καὶ τὴν πολυαρχίαν — ἦσαν γὰρ πεντεκαίδεκα οἱ στρατηγοὶ
3 αὐτοῖς — τῶν τε πολλῶν τὴν ἀξύνταχτον ἀναρχίαν. ἦν δὲ ὀλίγοι τε στρατηγοὶ γένωνται ἔμπειροι καὶ ἐν τῷ χειμῶνι τούτῳ παρασκευάσωσι τὸ ὁπλιτικόν, οἵ τε ὅπλα μὴ ἔστιν ἐκπορίζοντες, ὅπως ὡς πλεῖστοι ἔσονται, καὶ τῇ ἄλλῃ μελέτῃ προσαναγκάζοντες, ἔφη κατὰ τὸ εἰκὸς κρατήσειν σφῶν τῶν ἐναντίων, ἀνδρίας μὲν σφίσιν ὑπαρχούσης, εὐταξίας δ' ἐς τὰ
4 ἔργα προσγενομένης· ἐπιδώσειν γὰρ ἀμφότερα αὐτά, τὴν μὲν μετὰ κινδύνων μελετωμένην, τὴν δ' εὐψυχίαν αὐτὴν ἑαυτῆς μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης θαρσαλεωτέραν ἔσεσθαι. τούς τε στρατηγοὺς καὶ ὀλίγους καὶ αὐτοκράτορας χρῆναι ἑλέσθαι καὶ ὀμόσαι αὐτοῖς τὸ ὅρκιον ἢ μὴν ἐάσειν ἄρχειν ὅπῃ ἂν ἐπίστωνται· οὕτω γὰρ ἄ τε κρύπτεσθαι δεῖ μᾶλλον ἂν σιέγεσθαι καὶ τἆλλα κατὰ κόσμον καὶ ἀπροφασίστως
73 παρασκευασθῆναι. καὶ οἱ Συρακόσιοι αὐτοῦ ἀκούσαντες ἐψηφίσαντό τε πάντα ὡς ἐκέλευεν καὶ στρατηγὸν αὐτόν τε εἵλοντο τὸν Ἑρμοκράτην καὶ Ἡρακλείδην τὸν Λυσιμάχου καὶ Σικανὸν τὸν Ἐξηκέστου, τούτους τρεῖς, καὶ ἐς τὴν Κόρινθον καὶ ἐς

---

sonst immer vollständig *ἄλλως τε καί*. (Hk.) vgl. Herm. z. Vig. 232 u. Buttm. zu Plat. Men. 20. (Pp.) *καί* hat eine Hs. u. eine unter der Zeile. — *ἐμπειρίᾳ* ist mit *πρώτοις* zu verbinden. (Sch.) — *ὡς εἰπεῖν* fast möchte man sagen, zu *χειροτέχναις* gehörig. zu 1, 1, 2. — *χειροτέχναις* für *χειροτέχνας* St. u. eine Hs. corr.: als Laien gegen Soldaten von Handwerk. — *πεντεκαίδεκα οἱ*. Gr. 50, 11 A. 1. — *ἀξύνταχτον ἀναρχίαν* der Ordnung und Subordination sich entziehende Zügellosigkeit.

§ 3. *προσαναγκάζειν* mit dem Da. ist sehr selten. (Bl.) — *ἔφη*, durch die Stellung verdächtig, möcht' ich tilgen. — *προσγενομένης* wenn sie würde hinzugekommen sein, verbunden mit *ὑπαρχούσης* da sie vorhanden sei. Gr. 56, 14 A. 1.

§ 4. *τὴν μέν, τὴν εὐταξίαν*. (Sch.) vgl. 1, 81, 3. — *μετὰ κινδύνων*. zu 1, 18, 7. — *αὐτὴν ἑαυτῆς*. Gr. 51, 2 A. 12; über den Ge. Gr. 49, 3. — *μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης, μετὰ τοῦ πεποιθέναι τῇ ἐπιστήμῃ*. (Sch.) — *ἔσεσθαι* statt *ἐσομένην* oder vielmehr *γιγνομένην* als ob nicht *ἐπιδώσειν γὰρ ἀμφότερα αὐτά* sondern *τὴν μὲν γὰρ ἐπιδώσειν* vorherginge. (Pp.) — *τοὺς στρατηγούς*. Der Artikel wie § 2 aus: *οἱ στρατηγοὶ ὀλίγοι αἱροῦνται*. — *ὅπῃ* auf welche Weise, so gut. — *δεῖ*. *δεῖν* Kr.

C. 73. *τούτους τρεῖς* nur diese drei, im Gegensatze zu den

τὴν Λακεδαίμονα πρέσβεις ἀπέστειλαν, ὅπως ξυμμαχία τε αὐτοῖς παραγένηται καὶ τὸν πρὸς Ἀθηναίους πόλεμον βεβαιότερον πείθωσι ποιεῖσθαι ἐκ τοῦ προφανοῦς ὑπὲρ σφῶν τοὺς Λακεδαιμονίους, ἵνα ἢ ἀπὸ τῆς Σικελίας ἀπαγάγωσιν αὐτοὺς ἢ πρὸς τὸ ἐν Σικελίᾳ στράτευμα ἧσσον ὠφελίαν ἄλλην ἐπιπέμπωσιν.

Τὸ δ' ἐν τῇ Κατάνῃ στράτευμα τῶν Ἀθηναίων ἔπλευσεν 74
εὐθὺς ἐπὶ Μεσσήνην ὡς προδοθησομένην. καὶ ἃ μὲν ἐπράσσετο οὐκ ἐγένετο· Ἀλκιβιάδης γὰρ ὅτ' ἀπῄει ἐκ τῆς ἀρχῆς ἤδη μετάπεμπτος, ἐπισταμένους ὅτι φεύξοιτο, μηνύει τοῖς τῶν Συρακοσίων φίλοις τοῖς ἐν τῇ Μεσσήνῃ ξυνειδὼς τὸ μέλλον· οἱ δὲ τούς τε ἄνδρας διέφθειραν πρότερον, καὶ τότε στασι- 2
άζοντες καὶ ἐν ὅπλοις ὄντες ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους οἱ ταῦτα βουλόμενοι. ἡμέρας δὲ μείναντες περὶ τρεῖς καὶ δέκα οἱ Ἀθηναῖοι ὡς ἐχειμάζοντο καὶ τὰ ἐπιτηδεια οὐκ εἶχον καὶ προὐχώρει οὐδέν, ἀπελθόντες ἐς Νάξον καὶ σταύρωμα περὶ τὸ στρατόπεδον ποιησάμενοι αὐτοῦ διεχείμαζον· καὶ τριήρη ἀπέστειλαν ἐς τὰς Ἀθήνας ἐπί τε χρήματα καὶ ἱππέας, ὅπως ἅμα τῷ ἦρι παραγένωνται.

Ἐτείχιζον δὲ καὶ οἱ Συρακόσιοι ἐν τῷ χειμῶνι πρός τε 75
τῇ πόλει, τὸν Τεμενίτην ἐντὸς ποιησάμενοι, τεῖχος παρὰ πᾶν

---

funfzehn 6, 72, 2. — ξυμμαχία Bundestruppen. (Ps.) Xen. Hell. 4, 8, 24: ξυμμαχίαν ἔπεμπον Ἐναγόρᾳ. 6, 1, 13: ἱκανὴν πέμπειν συμμαχίαν ὡς ἐμοὶ πολεμεῖν. — τὸν πόλεμον. zu 6, 34, 3. — βεβαιότερον, σαφέστερον 6, 88, 9. — ἐκ τοῦ προφανοῦς. Gr. 43, 4 A. 5 u. zu 3, 43, 2. — ἀπαγάγωσιν. So ἀποσπᾶν Xen. Hell. 1, 3, 17. — ὠφελίαν Hülfstruppen. vgl. 1, 26, 1. 6, 80, 1. 93, 2.

C. 74. § 1. ἃ μὲν ἐπράσσετο, τὰ τῆς προδοσίας δηλονότι. (Sch.) — τὸ μέλλον den Anschlag Messene durch Verrath zu erobern. (Ps.)

§ 2. τοὺς ἄνδρας, τοὺς ὑπόπτους ὡς προδιδόντας. (Sch.) — πρότερον vor der Ausführung. — οἱ ταῦτα βουλόμενοι, οἱ μὴ βουλόμενοι δέχεσθαι τοὺς Ἀθηναίους. (Sch.) Ueber den Plural ταῦτα Gr. 44, 4 A. 3. Oder auch οἱ τὰ τῶν Συρακοσίων βουλόμενοι. vgl. 6, 50, 3. Ueber die Verbindung dieses Subjects mit dem umfassenden στασιάζοντες Gr. 56, 9 A. 1. Oder ist nach στασιάζοντες ein Komma zu setzen? — Θρᾷκας vor καὶ σταύρωμα ist schon von Fr. Ps. verdächtigt.

C. 75. § 1. ποιησάμενοι. ποιησόμενοι Kr. — παρὰ — ὁρῶν längs der ganzen nach Epipolä zu gelegenen Strecke. (Ba.)

τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρῶν, ὅπως μὴ δι' ἐλάσσονος εὐαποτείχιστοι ὦσιν, ἢν ἄρα σφάλλωνται, καὶ τὰ Μέγαρα φρούριον καὶ ἐν τῷ Ὀλυμπιείῳ ἄλλο· καὶ τὴν θάλασσαν προ-
2 εσταύρωσαν πανταχῇ ᾗ ἀποβάσεις ἦσαν. καὶ τοὺς Ἀθηναίους εἰδότες ἐν τῇ Νάξῳ χειμάζοντας ἐστράτευσαν παν-δημεὶ ἐπὶ τὴν Κατάνην, καὶ τῆς τε γῆς αὐτῶν ἔτεμον καὶ τὰς τῶν Ἀθηναίων σκηνὰς καὶ τὸ στρατόπεδον ἐμπρήσαντες ἀνεχώρησαν ἐπ' οἴκου. καὶ πυνθανόμενοι τοὺς Ἀθηναίους ἐς τὴν Καμάριναν κατὰ τὴν ἐπὶ Λάχητος γενομένην ξυμμαχίαν πρεσβεύεσθαι, εἴ πως προσαγάγοιντο αὐτούς, ἀντεπρε-
3 σβεύοντο καὶ αὐτοί· ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι μὴ προθύμως σφίσι μήτ' ἐπὶ τὴν πρώτην μάχην πέμψαι ἃ ἔπεμψαν, ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν, ὁρῶντες τοὺς Ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας, προσχωρῶσι δ' αὐτοῖς κατὰ τὴν προτέραν φιλίαν πεισθέντες. ἀφικομένων οὖν ἐκ μὲν Συρακουσῶν Ἑρμοκράτους καὶ ἄλλων ἐς τὴν Καμάριναν, ἀπὸ δὲ τῶν Ἀθηναίων Εὐφήμου μεθ' ἑτέρων, ὁ Ἑρμοκράτης ξυλλόγου γενομένου τῶν Καμαριναίων βουλόμενος προδιαβαλεῖν τοὺς Ἀθηναίους ἔλεγε τοιάδε.

76 "Οὐ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων, ὦ Καμαριναῖοι μὴ αὐτὴν καταπλαγῆτε δείσαντες ἐπρεσβευσάμεθα, ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους, πρίν τι καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν. ἥκουσι γὰρ ἐς τὴν Σι-

---

vgl. 6, 97, 4. 101, 1 u. zu 2, 55, 1. — *δι' ἐλάσσονος* bei einem geringeren Raume, Umfange. vgl. 7, 4, 5. — *τὰ Μέγαρα, ἐτείχιζον.* — *φρούριον, ὥστε εἶναι φρούριον.* (Pp.) vgl. zu 2, 32. — *ἀποβάσεις* Landungsplätze. vgl. 4, 8, 5. 13, 1.

§ 2. *ἐπὶ Λάχητος, ἀντὶ τοῦ ἄρχοντος Λάχητος.* (Sch.) zu 6, 6, 3. — *cf.* Gr. 65, 1 A. 10.

§ 3. *μὴ οὐκέτι.* Gr. 54, 8 A. 9 u. 10. vgl. zu 2, 13, 1. — *ἐν τῇ μάχῃ* verdächtigt Kr. — *προσχωρῶσι. ἀπὸ κοινοῦ τὸ μή.* (Sch.) — *κατά* ist mit *προσχωρῶσι* zu verbinden.

C. 76. § 1. *δύναμιν* hängt von *δείσαντες* ab. Gr. 61, 6 A. 6. Einmal an diese Fügung gewöhnt behielt man sie auch bei wenn das Verbum nach dem abhängigen Satze folgt, wie 2, 62, 1. Ar. Plut. 56: *σὺ σαυτὸν ὅστις εἶ φράσον.* vgl. Wolken 961. 1115 u. Frösche 907. — *ἀπ' αὐτῶν* ist mit *λόγους* zu verbinden. (Ba.) *ἀπὸ κοινοῦ τὸ δείσαντες, ἵνα ᾖ δείσαντες τὴν τῶν Ἀθηναίων περὶ τοὺς λόγους δεινότητα.* (Sch.) — *καὶ ἡμῶν* auch von uns, wie von ihnen. Das *πρὶν — ἀκοῦσαι*

κελίαν προφάσει μὲν ἧ πυνθάνεσθε, διανοίᾳ δὲ ἣν πάντες ὑπονοοῦμεν· καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι 2
κατοικίσαι, ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι. οὐ γὰρ δὴ εὔλογον τὰς μὲν ἐκεῖ πόλεις ἀνασταίτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν, καὶ Λεοντίνων μὲν Χαλκιδέων ὄντων κατὰ τὸ ξυγγενὲς κήδεσθαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ, ὧν οἵδε ἄποικοί εἰσι, δουλωσαμένους ἔχειν. τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά 3
τε ἔσχον καὶ τὰ ἐνθάδε νῦν πειρῶνται· ἡγεμόνες γὰρ γενόμενοι ἑκόντων τῶν τε Ἰώνων καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι ὡς ἐπὶ τοῦ Μήδου τιμωρίᾳ, τοὺς μὲν λειποστρατίαν, τοὺς δὲ ἐπ' ἀλλήλους στρατεύειν, τοῖς δ' ὡς ἑκάστοις τινα εἶχον αἰτίαν εὐπρεπῆ ἐκενεγκόντες κατεστρέψαντο. καὶ οὐ 4
περὶ τῆς ἐλευθερίας ἄρα οὔτε οὗτοι τῶν Ἑλλήνων οὔθ' οἱ Ἕλληνες τῆς ἑαυτῶν τῷ Μήδῳ ἀντέστησαν, περὶ δὲ οἱ μὲν σφίσιν ἀλλὰ μὴ ἐκείνῳ καταδουλώσεως, οἱ δ' ἐπὶ δεσπότου

---

meint Ba. nach Ba. u. A., müſſe erſt nach *μή* gedacht werden. Indeß man kann dieſer Härte entgehen: die von ihnen noch bevor ihr auch uns angehört vorzutragenden Worte. Aber *μέλλοντας* iſt jedenfalls anſtößig; etwa *ἐλθόντας*? Denn die Sprakoſier ſprechen ja jetzt zuerſt. — *διανοίᾳ*, *νόῳ* Her. 2, 100. — *ἣν*, ohne Aſſimilation. Gr. 51, 10 A. 1.

§ 2. *τὰς ἐκεῖ πόλεις*, wie Aegina, Skione. — *δουλωσαμένους*. Gr. 52, 10 A. 1. — *ἔχειν*. Gr. 56, 3 A. 6.

§ 3. *ἰδέᾳ*, *τρόπῳ*, *διανοίᾳ*. (Sch.) — *ἐκεῖνα* die Herrſchaft im eigentlichen Hellas. vgl. zu 1, 144, 5. — *ἔσχον*. Gr. 53, 2 A. 1. — *πειρῶνται*, *ἔχειν*. Gr. 55, 4 A. 11. — *καὶ ὅσοι* und aller die. Gr. 51, 13 A. 5. — *ἀπὸ σφῶν ἦσαν*, *ἄποικοι αὐτῶν ἦσαν*. (Sch.) vgl. 7, 57, 4. Dabei aber vermißt man die Erwähnung der nicht ſtammverwandten Bundesgenoſſen; vielleicht *ἄλλοι*. (Kr.) — *σφῶν*, *τῶν Ἀθηναίων*. — *ξύμμαχοι* gehört zu *ὅσοι*: ſo viel Verbündete als. (Ps.) — *λειποστρατίαν* für *λιποστρατίαν* einige Hſn. vgl. zu 1, 99, 1. — *ὡς* ſcheinbar, angeblich. Gr. 69, 63 A. 4. — *τοὺς μέν* hängt, wie *τοὺς δέ*, von *κατεστρέψαντο* ab und zu *ἐπενεγκόντες* iſt *αὐτοῖς* zu denken. (Ps.) — *στρατεύειν* hängt von *ἐπενεγκόντες* ab, oder vielmehr von *αἰτίαν ἐπενεγκόντες*, ſo viel als *αἰτιασάμενοι*. Gr. 50, 6 A. 6. Ein ähnlicher Wechſel 6, 80, 5. — *τοῖς δ'* für *τοὺς δέ*, da hier *ὡς ἑκάστοις* einwirkt. (Abr.) vgl. 6, 77, 2. Ueber die Sache 1, 99. — *εἶχον*, *ἐπιφέρειν* aus *ἐπενεγκόντες*. Es könnte fehlen. zu 1, 3, 4. — *εὐπρεπῆ*, *πιθανήν*. (Sch.) zu 1, 37, 3.

§ 4. *ἄρα* iſt ähnlich geſtellt Lyk. 78: *ῥᾴδιον ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν*. — *περί* iſt ungewöhnlich hart von *καταδουλώσεως* getrennt. — *οἱ μέν —*, *Ἀθηναῖοι μὲν περὶ τοῦ ἑαυτοῖς ἀλλὰ μὴ τῷ Μήδῳ καταδουλωθῆναι τοὺς Ἕλληνας*. (Sch.) — *σφίσιν*. Gr. 48, 12 A. 4. — *καταδουλώσεως* paßt nur zu *σφίσιν*, bei *ἐκείνῳ* ſchwebt

77 μεταβολῇ οὐκ ἀξυνετωτέρου κακοξυνετωτέρου δέ. ἀλλ' οὐ γὰρ δὴ τὴν τῶν Ἀθηναίων εὐκατηγόρητον οὖσαν πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν ὅσα ἀδικεῖ, πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι ὅτι ἔχοντες παραδείγματα τῶν τ' ἐκεῖ Ἑλλήνων ὡς ἐδουλώθησαν, οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς, καὶ νῦν ἐφ' ἡμᾶς ταὐτὰ παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοικίσεις καὶ Ἐγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς ὅτι οὐκ Ἴωνες τάδε εἰσὶν οὐδ' Ἑλληνοπόντιοι καὶ νησιῶται, οἳ δεσπότην ἢ Μῆδον ἢ ἕνα γέ τινα ἀεὶ μεταβάλλοντες δουλοῦνται, ἀλλὰ Δωριῆς ἐλεύθεροι ἀπ' αὐτονόμου τῆς Πελο-
2 ποννήσου τὴν Σικελίαν οἰκοῦντες. ἢ μένομεν ἕως ἂν ἕκασοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες ὅτι ταύτῃ μόνον ἁλωτοί ἐσμεν καὶ ὁρῶντες αὐτοὺς ἐπὶ τοῦτο τὸ εἶδος τρεπομένους ὥστε τοὺς μὲν λόγοις ἡμῶν διιστάναι, τοὺς δὲ ξυμμάχων

καταδεδουλῶσθαι vor. — οἱ δ' —, οἱ δ' ἄλλοι Ἕλληνες ὑπὲρ τοῦ μεταλλάξαι δεσπότην. (Sch.) μεταβολή heißt hier das Erlangen durch Wechsel. vgl. zu 6, 18, 8. — οὐκ ἀξυνετωτέρου nicht unkluger für verschmitzter; eine Litotes. vgl. zu 2, 91, 3. — κακοξυνετωτέρου, πανουργοτέρου. (Sch.) schlau zum Unglück der Bundesgenossen Hl. Ein der Paronomasie und des nachhaltigen Eindrucks halber gebildetes Wort.

C. 77. § 1. ἀλλ' οὐ γὰρ δὴ ἥκομεν doch wir sind ja gewiß nicht gekommen, indem ἀλλά das Vorhergehende beseitigt, γάρ den Uebergang zu etwas Anderem begründet. Gr. 69, 14 A. 4. — ἐν εἰδόσιν. zu 2, 36, 3. — παραδείγματα τῶν als warnende Beispiele (zu 3, 39, 3) an den; eine Anticipation. Gr. 61, 6 A. 4. — ἐκεῖ. ἐκεῖσε die besten Hsn., was doch erst bei Spätern für ἐκεῖ üblich ist. Markland zu Max. Tyr. 4, 5 und dagegen Lobeck z. Phryn. p. 44. (Kr.) — ταὐτά für ταῦτά einige Hsn. — σοφίσματα Vorspiegelungen. (Hl.) — παρόντα, ungefähr als ob ὁρῶντες statt ἔχοντες παραδείγματα vorherginge. (Kr.) — κατοικίσεις, ἐπικουρίας. Der Plural weil die ganzen Gattungen von Sophismen zu bezeichnen sind. (Ba.) — Ἐγεσταίων ἐπικουρίας. Gr. 47, 7 A. 5. — ξυστραφέντες sonst in militärischem Sinne, hier allgemein von Verbindung, ἡγοῦν συνταχθέντες. (Sch.) vgl. 91, 1. Eindringlicher wird die Rede, wenn wir hier einen etwas anakoluthischen Uebergang zur Frage annehmen. — τάδε. Gr. 61, 7 A. 6. — μεταβάλλοντες δουλοῦνται durch Wechsel erhaltend sich in Knechtschaft bringen lassen. (Ba.) vgl. zu 18, 8.

§ 2. μένομεν. Gr. 53, 1 A. 9. — ταύτῃ, τῷ κατὰ πόλεις δηλονότι ληφθῆναι ἰδίᾳ ἕκαστοι. (Sch.) — εἶδος Methode, wie 8, 56, 2. vgl. zu 3, 62, 2. — διιστάναι trennen, verfeinden. zu 4,

ἐλπίδι ἐκπολεμοῦν πρὸς ἀλλήλους, τοῖς δὲ ὡς ἑκάστοις τι προσηνὲς λέγοντες δύνανται κακουργεῖν; καὶ οἰόμεθα τοῦ ἄποθεν ξυνοίκου προαπολλυμένου οὐ καὶ ἐς αὐτόν τινα ἥξειν τὸ δεινόν, πρὸ δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα καθ' αὑτὸν δυστυχεῖν."

"Καὶ εἴ τῳ ἄρα παρέστηκε τὸν μὲν Συρακόσιον, ἑαυτὸν 78
δ' οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ καὶ δεινὸν ἡγεῖται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθήτω οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ μαχούμενος, τοσούτῳ δὲ καὶ ἀσφαλέστερον ὅσῳ οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ καὶ οὐκ ἐρῆμος ἀγωνιεῖται· τόν 2
τε Ἀθηναῖον μὴ τὴν τοῦ Συρακοσίου ἔχθραν κολάσασθαι, τῇ δ' ἐμῇ προφάσει τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώ-

---

61, 1 u. 8, 96, 3. — *τοῖς δέ* für *τοὺς δέ*, dem nächsten *ὡς ἑκάστοις* assimilirt, wie dieses dem *λέγοντες* angefügt ist, wo wir *ὡς ἑκάστους* mit *κακουργεῖν* verbunden erwarten würden. Gr. 60, 5 A. 2 u. Kr. de auth. An. p. 28. — *ἄποθεν*. zu 4, 120, 2. — *ξυνοίκου*. Gr. 44, 1 A. 2 u. 6. — *ἐς* in das Gebiet. — *αὐτόν τινα*. zu 6, 31, 3. — *πρὸ αὐτοῦ* vor ihm. (Va.) Ueber die Stellung vor *τόν* Gr. 50, 10 A. 1.

C. 78. § 1. *τὸν Συρακόσιον*. Gr. 44, 1 A. 4. — *ἐν ἴσῳ* gleichmäßig. vgl. 1, 133. 2, 53, 3. 60, 4. 61, 3. 4, 65, 4. 6, 87, 3; über *δέ* Gr. 49, 2 A. 6; über die Ergänzung des *περί* Gr. 68, 9. — *ὅσῳ*. Gr. 51, 10 A. 5. — *οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ ἀγωνιεῖται* er wird ohne daß ich vorher vernichtet bin, sondern indem er mich zum Verbündeten hat kämpfen. (Va.) Ueber die Verbindung ungleichartiger Participia Gr. 56, 14 A. 2. Es ist als ob da stände *ὄντος δὲ ξυμμάχου αὐτῷ*. — *ἐμοῦ, τοῦ Συρακουσίου δηλονότι*. (Sch.) Das ich gebraucht der Gesandte als Repräsentant des Staates. — *καὶ οὐκ ἐρῆμον* und zwar einen nicht allein stehenden, sondern noch von andern Verbündeten unterstützten. (Benedict.)

§ 2. *τόν τε, ἐνθυμηθήτω τε τόν*. (Va.) — *τὴν τοῦ Συρακοσίου ἔχθραν* die Feindschaft der Syrakosier gegen die Athener und deren Verbündete unter den Sikelioten. — *κολάσασθαι*, regiert von *ἐνθυμηθήτω*, in sofern dies ein *νομιζέτω* enthält. Ein ähnlicher Uebergang vom Particip zum Inf. 4, 27, 2. Ueber das Medium Pp. zu Xen. Cyr. 1, 2, 7. (Pp.) — *τῇ ἐμῇ προφάσει* unter dem Vorwande daß es mir gelte. (Ps.) — *ἐκείνου* bezieht sich auf das in *ἐνθυμηθήτω* liegende Subject. — *φιλίαν. δουλείαν* Reiske u. Didot. — *οὐχ ἧσσον*. Gr. 67, 1 A. 2 u. zu 1, 8, 1. — *οὐχ. οὕς* eine Anzahl guter Hsn. — *βεβαιώσασθαι* sich, für sich befestigen, um ihre Symmachie zu vergrößern. Also nur egoistische Bestrebungen nicht Interesse für die verbündeten Sikelioten. Pp. u. Dobree vermuthen *βιά-*

σασθαι βούλεσθαι. εἴ τέ τις φθονεῖ μὲν ἢ καὶ φοβεῖται — ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω —, διὰ δὲ αὐτὰ τὰς Συρακούσας κακωθῆναι μέν, ἵνα σωφρονισθῶμεν, βούλεται, περιγενέσθαι δὲ ἕνεκα τῆς αὐτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπίνης δυνάμεως
3 βούλησιν ἐλπίζει· οὐ γὰρ οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι. καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὐτοῦ κακοῖς ὀλοφυρθεὶς τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτε βουληθείη αὖθις φθονῆσαι. ἀδύνατον δὲ προεμένῳ καὶ μὴ τοὺς αὐτοὺς κινδύνους, οὐ περὶ τῶν ὀνομάτων ἀλλὰ περὶ τῶν ἔργων, ἐθελήσαντι προσλαβεῖν· λόγῳ μὲν γὰρ τὴν ἡμετέραν δύναμιν σώζοι ἄν τις, ἔργῳ δὲ
4 τὴν αὐτοῦ σωτηρίαν. καὶ μάλιστα εἰκὸς ἦν ὑμᾶς, ὦ Καμαρινταῖοι, ὁμόρους ὄντας καὶ τὰ δεύτερα κινδυνεύσοντας, προορᾶσθαι αὐτὰ καὶ μὴ μαλακῶς, ὥσπερ νῦν, ξυμμαχεῖν, αὖ-

---

σασθαι. Ueber Haases Meinung s. man ihn selbst S 93 ff. — εἴ τε. Gr. 69, 25 A. 2. — φθονεῖ, τοῖς Συρακουσίοις, ὁμοῦ δὲ δέδοικεν αὐτῶν τὸ μέγεθος. (Sch.) — τάδε, beneidet und gefürchtet zu werden. (Sch.) — τὰ μείζω, οἱ μείζους. (Sch.) Gr. 43, 4 A. 16. — σωφρονισθῶμεν, ταπεινωθῶμεν. (Sch.) vgl. 3, 65, 2. (Gb.) — περιγενέσθαι, σωθῆναι. (Sch.) zu 5, 111, 2. — οὐκ ἀνθρωπείας δυνάμεως, οὐ δυνατῶν ἀνθρώποις. (Sch.) was nicht im Bereich menschlicher Macht liegt, ihr nicht erreichbar ist. — βούλησιν ἐλπίζει hofft die Erreichung eines Wunsches. vgl. Lobeck Parall. p. 535.

§ 3. τῆς τύχης, ἦγουν τῆς ἐκβάσεως τῶν πραγμάτων. (Sch.) — ταμίαν. vgl. zu 6, 18, 3; αὐτοκράτωρ 4, 64, 1. (Bl.) Nämlich die Begierde kann man auf etwas hinlenken, den Ausgang aber nicht beherrschen. — γνώμῃ. γνώμης? vgl. 1, 33, 3. 6, 92, 1. Aber so auch neben σφαλῆναι γνώμης 4, 28, 4 γνώμῃ 4, 18, 1. (Pp.) So ψευσθῆναι γνώμῃ Her. 7, 9, 10, διαψευσθῆναι τῇ προνοίᾳ Pol. 11, 17, 1, τοῖς λογισμοῖς 16, 2, 5. Der Sch.: εἰ ὧν ἐπιθυμεῖ, τούτων διαμάρτοι. — ὀλοφυρθείς nehmen Enenkel und Ba. medial, wenn gleich Thuc. 2, 46. 7, 30, 3. 8, 81, 2 ὀλοφύρασθαι formirt. (Pp.) Für die passive Bedeutung spricht wohl auch der Dativ.

§ 4. ἀδύνατον daß er mich wieder in beneidenswerthen Umständen sehe (Pp.) und vorkommenden Falls davon Vortheile ziehe. — προεμένῳ wenn er mich jetzt Preis gegeben. — οὐ περὶ — ἔργων. διὰ μέσου κεῖται, ὡς ἄξιον ὂν ἀναδέχεσθαι κινδύνους οὐ πρὸς τὰ ὀνόματα ἀποβλέποντας ἀλλὰ πρὸς τὰ ἔργα. (Sch.) Es schwebt bei περὶ wohl ein ἀγωνιζομένους, διαφερομένους vor. vgl. 4, 63, 3. — προσλαβεῖν sich zuzieh·en. zu 4, 61, 1.

§ 4. ἦν. Gr. 53, 2 A. 7. Doch kann es sich auch auf die schon früher anzustellende Erwägung beziehen, es ist recht, wie ihr bedenken

τοὺς δὲ πρὸς ἡμᾶς μᾶλλον ἰόντας, ἅπερ, εἰ ἐς τὴν Καμαριναίαν πρῶτον ἀφίκοντο οἱ Ἀθηναῖοι, δεόμενοι ἂν ἐπεκαλεῖσθε, ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν παρακελευομένους, ὅπως μηδὲν ἐνδώσομεν, φαίνεσθαι. ἀλλ' οὔθ' ὑμεῖς νῦν γέ πω οὔθ' οἱ ἄλλοι ἐπὶ ταῦτα ὥρμησθε."

"Δεινὰ δὲ ἴσως τὸ δίκαιον πρός τε ἡμᾶς καὶ πρὸς 79
τοὺς ἐπιόντας θεραπεύσετε, λέγοντες ξυμμαχίαν εἶναι ὑμῖν πρὸς Ἀθηναίους· ἦν γε οὐκ ἐπὶ τοῖς φίλοις ἐποιήσασθε, τῶν δὲ ἐχθρῶν ἦν τις ἐφ' ὑμᾶς ἴῃ, καὶ τοῖς γε Ἀθηναίοις βοηθεῖν, ὅταν ὑπ' ἄλλων καὶ μὴ αὐτοὶ ὥσπερ νῦν τοὺς πέλας ἀδικῶσιν, ἐπεὶ οὐδ' οἱ Ῥηγῖνοι ὄντες Χαλκιδῆς Χαλκιδέας ὄντας Λεοντίνους ἐθέλουσι ξυγκατοικίζειν. καὶ δεινὸν εἰ 2
ἐκεῖνοι μὲν τὸ ἔργον τοῦ καλοῦ δικαιώματος ὑποπτεύοντες ἀλόγως σωφρονοῦσιν, ὑμεῖς δ' εὐλόγῳ προφάσει τοὺς μὲν

---

mußtet. — *αὐτοὺς — φαίνεσθαι.* Die Wortfolge iſt: *αὐτοὺς δὲ (ὑμᾶς) μᾶλλον φαίνεσθαι παρακελευομένους ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν ἅπερ, εἰ οἱ Ἀθηναῖοι πρῶτον ἀφίκοντο ἐς τὴν Καμαριναίων, δεόμενοι ἂν ἐπεκαλεῖσθε.* (Fr. Vb.) — *ἅπερ* für *ἅπερ ἄν* die beſten Hſſ. Ueber den Ac. Gr. 47, 16 A. 7. — *ἐκ τοῦ ὁμοίου* gleichmäßig. vgl. 87, 5 u. zu 1, 143, 3. — *ὅπως* daß nämlich. (Vp.) — *ὅπως μηδὲν ἐνδώσομεν, μὴ μαλακίζεσθαι.* (Sch.) vgl. 7, 66, 3. — *ἐπὶ ταῦτα, τὰ εἰρημένα, τουτέστι τὸ λόγῳ μὲν βοηθεῖν καὶ συμμαχεῖν τοῖς Συρακουσίοις, ἔργῳ δὲ ἑαυτῷ.* (Sch.) — *ὥρμησθε* habt Anſtalt gemacht.

C. 79. § 1. *τὸ δίκαιον θεραπεύσετε, προβλήματι χρήσεσθε τῷ δικαίῳ δῆθεν, ἀξιοῦντες ὁμοίως ἡμῖν τε καὶ τοῖς Ἀθηναίοις προσφέρεσθαι.* (Sch.) — *ἐπὶ τοῖς φίλοις, ἤγουν κατὰ τῶν φίλων.* (Sch.) zur Benachtheilung der Freunde. Gr. 68, 41 A. 7. — *τῶν ἐχθρῶν* ſteht des Gegenſatzes wegen vor *ἤν τις.* (Vp.) Gr. 54, 17 A. 7. — *ἤν* für den Fall daß. — *βοηθεῖν* hängt von *ξυμμαχίαν ἐποιήσασθε* ab. Gr. 50, 6 A. 6. vgl. 1, 44, 1. — *ὑπ' ἄλλων λείπει τὸ ἐπιόντων ἀδικῶνται.* (Sch.) Das Paſſiv iſt aus dem Activ zu ergänzen, hier freilich hart. — *ξυγκατοικίζειν, ἤγουν τοῖς Ἀθηναίοις* (Sch.)

§ 2. *τὸ ἔργον* den Gehalt, den wirklichen Grund. vgl. Lobeck Parall. p. 526. — *δικαιώματος* Rechtsanſprüche. zu 1, 41, 1. *καλὸν δὲ δικαίωμα τὸ φάσκειν διὰ τὸ ξυγγενὲς τοῖς Χαλκιδεῦσι βοηθεῖν.* (Sch.) — *ὑποπτεύουσι* durchſchauen. — *ἀλόγως, ἀντὶ τοῦ παρὰ λόγον.* (Sch.) vgl. 2, 65, 6. 5, 104. 6, 84, 3. 8, 27, 2. Alſo anders als man es nach ihrer Abſtammung erwarten ſollte. — *εὐλόγῳ προφάσει, διὰ πρόφασιν πιθανήν.* (Sch.) Der bloß ſcheinbare Grund iſt die Berufung auf die Bundesgenoſſenſchaft mit Athen; ein Gegenſatz liegt weniger in den Gedanken als in den Worten *ἀλόγως* und

φύσει πολεμίους βούλεσθε ὠφελεῖν, τοὺς δὲ ἔτι μᾶλλον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι. ἀλλ' οὐ δίκαιον, ἀμύνειν δὲ καὶ μὴ φοβεῖσθαι τὴν παρασκευὴν αὐτῶν· οὐ γὰρ ἢν ἡμεῖς ξυστῶμεν πάντες, δεινή ἐστιν, ἀλλ' ἤν, ὅπερ οὗτοι σπεύδουσι, τἀναντία διαστῶμεν, ἐπεὶ οὐδὲ πρὸς ἡμᾶς μόνους ἐλθόντες καὶ μάχῃ περιγενόμενοι ἔπραξαν ἃ ἠβούλοντο, ἀπῆλθον δὲ διὰ τάχους. ὥστε οὐκ ἀθρόους γε ὄντας εἰκὸς ἀθυμεῖν, ἰέναι δὲ ἐς τὴν ξυμμαχίαν προθυμότερον, ἄλλως τε καὶ ἀπὸ Πελοποννήσου παρεσομένης ὠφελίας, οἳ τῶνδε κρείσσους εἰσὶ τὸ παράπαν τὰ πολέμια· καὶ μὴ ἐκείνην τὴν προμήθειαν δοκεῖν τῳ ἡμῖν μὲν ἴσην εἶναι ὑμῖν δὲ ἀσφαλῆ, τὸ μηδετέροις δὴ ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάχους βοηθεῖν. οὐ γὰρ ἔργῳ ἴσον ὥσπερ τῷ δικαιώ-
2 ματί ἐστιν. εἰ γὰρ δι' ὑμᾶς μὴ ξυμμαχήσαντας ὅ τε παθὼν σφαλήσεται καὶ ὁ κρατῶν περιέσται, τί ἄλλο ἢ τῇ αὐτῇ ἀπουσίᾳ τοῖς μὲν οὐκ ἠμύνατε σωθῆναι, τοὺς δὲ οὐκ ἐκωλύσατε κακοὺς γενέσθαι; καίτοι κάλλιον τοῖς ἀδικουμένοις καὶ ἅμα ξυγγενέσι προσθεμένους τήν τε κοινὴν ὠφελίαν τῇ Σικελίᾳ φυλάξαι καὶ τοὺς Ἀθηναίους φίλους δὴ ὄντας μὴ

εὔλογος. — ἔτι μᾶλλον, weil beide Dorier ſind und zugleich Bewohner derſelben Inſel. (Ds.) — ἀμύνειν δέ. δίκαιον δὲ ἀμύνειν. vgl. 6, 80, 1 u. zu 1, 142, 4. — ὅπερ σπεύδουσι. zu 6, 10, 2. — τἀναντία umgekehrt. vgl. 3, 67, 3. 7, 48, 4 u. Gr. 46, 3 A. 3. — ἐπεί bezeichnet den Grund des οὐ δεινή ἐστιν.

C. 80. § 1. ὄντας, ἡμᾶς. (Sch.) — οἳ, Πελοποννήσιοι. So Μέγαρα οἳ 6, 94, 1. Κύπρος οἳ Her. 5, 49. Gr. 58, 4 A. 1. — προμήθειαν oder προμηθίαν für προθυμίαν die beſten Hſn. Den Artikel verdächtigt Ba. Allein man erkläre: jene bekannte d. h. vielfach angeprieſene Vorſicht der Neutralität. — δοκεῖν τῳ für δοκεῖν, τῷ Dr. u. Reiske, regiert von εἰκός. — τὸ βοηθεῖν iſt Appoſition zu ἐκείνην τὴν προμήθειαν. zu 1, 32, 3. — δή angeblich. Gr. 69, 17 A. 2. — ὥσπερ τῷ δικαιώματι, ὥσπερ λεγόμενον δικαιοφανές ἐστιν. (Sch.) — καὶ ἀμφοτέρους. Gr. 69, 32 A. 18.

§ 2. δι' ὑμᾶς μὴ ξυμμαχήσαντας, διὰ τὸ ὑμᾶς μηδετέροις συμμαχεῖν. (Sch.) zu 6, 46, 1. — ὁ παθών, ὁ Συρακούσιος; ὁ κρατῶν, ὁ Ἀθηναῖος. (Sch.) Ueber das Präſens Gr. 53, 1 A. 3. — τί ἄλλο ἤ. Gr. 62, 3 A. 7. — τοῖς μέν. Der Plural, da ὁ παθών wie ὁ κρατῶν collectiv iſt. — προσθεμένους daß ihr verbunden mit. vgl. 5, 62, 1 u. zu 3, 11, 3. — τὴν κοινὴν ὠφελίαν, τὴν ἐλευθερίαν τῶν Σικελιωτῶν. (Sch.) — φίλους δὴ ὄντας, προφασιζομένους εἶναι φίλους. (Sch.) Richtig wenn ὑμᾶς zu προφασιζομένους als Subject gedacht wird.

ἔᾶσαι ἁμαρτεῖν. ξυνελόντες τε λέγομεν οἱ Συρακόσιοι ἐκδι- 3
δάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς οὔτε ὑμᾶς οὔτε τοὺς
ἄλλους περὶ ὧν αὐτοὶ οὐδὲν χεῖρον γιγνώσκετε· δεόμεθα δέ,
καὶ μαρτυρόμεθα ἅμα, εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευόμεθα
μὲν ὑπὸ Ἰώνων ἀεὶ πολεμίων, προδιδόμεθα δὲ ὑπὸ ὑμῶν,
Δωριῆς Δωριέων. καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, 4
ταῖς μὲν ὑμετέραις γνώμαις κρατήσουσιν, τῷ δ' αὐτῶν ὀνό-
ματι τιμηθήσονται, καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον ἢ
τὸν τὴν νίκην παρασχόντα λήψονται· καὶ εἰ αὖ ἡμεῖς περιε-
σόμεθα, τῆς αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν
ὑφέξετε. σκοπεῖτε οὖν καὶ αἱρεῖσθε ἤδη ἢ τὴν αὐτίκα ἀκιν- 5
δύνως δουλείαν ἢ κἂν περιγενόμενοι μεθ' ἡμῶν τούσδε τε
μὴ αἰσχρῶς δεσπότας λαβεῖν καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν, μὴ
ἂν βραχεῖαν γενομένην, διαφυγεῖν."

Τοιαῦτα μὲν ὁ Ἑρμοκράτης εἶπεν, ὁ δ' Εὔφημος ὁ τῶν 81
Ἀθηναίων πρεσβευτὴς μετ' αὐτὸν τοιάδε.

"Ἀφικόμεθα μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας 82
ἀνανεώσει, τοῦ δὲ Συρακοσίου καθαψαμένου ἀνάγκη καὶ
περὶ τῆς ἀρχῆς εἰπεῖν ὡς εἰκότως ἔχομεν. τὸ μὲν οὖν μέ-

---

§ 3. *ξυνελόντες* zuſammenfaſſend. zu 1, 70, 5. — *λέγομεν οἱ.* Gr. 50, 8 A 3. — *οὐδὲν ἔργον, οὐ χαλεπὸν εἶναι.* (Sch.) Arn. erklärt mit Ba. u. Ds.: nichts fördern. vgl. Her. 3, 127: *βίης ἔργον οὐδέν.* Das würde *τοῦ ἐκδιδάσκειν* erfordern. — *δεόμεθα δέ.* Concinner aber unkräftig wäre *δεῖσθαι δέ.* Als Object ſchwebt vor: zu glauben daß, *ὅτι.* (Abr.) — *εἰ μὴ πείσομεν* wenn wir euch nicht durch Gründe überzeugen ſollten. — *Δωριέων.* Um dies mit *Δωριῆς* näher zu verbinden, iſt *ὑπό* nicht wiederholt. (Bo.) Gr. 57, 10 A. 4.

§ 4. *τῷ αὐτῶν ὀνόματι τιμηθήσονται, τιμῆς καὶ δόξης αὐτοὶ μόνοι τεύξονται.* (Sch.) *τιμηθήσομαι* ſteht noch Dem. 19, 223; allgemein üblich iſt dafür bei den Attikern *τιμήσομαι;* dies auch oben 2, 87, 5. — *ἆθλον, οἷον ἐπινίκιον.* (Sch.) vgl. Kr. zu Xen. An. 3, 1, 21. — *τῶν* der beſtandenen. Gr. 50, 2 A. 1.

§ 5. *τὴν ἀκινδύνως δουλείαν* iſt um ſo eher erträglich, weil das Subſtantiv ein Verbale iſt. Gr. 50, 8 A. 8 u. zu 1, 122, 3. vgl. Lex. Plat. u. *ἀληθῶς.* — *ἢ κἂν λαβεῖν* oder wählet (*αἱρεῖσθε*) möglicher Weiſe (*ἄν*) auch nicht zu erhalten. (Arn.) — *μὴ ἄν.* Gr. 67, 8 A. 3.

C. 81. *ὁ Εὔφημος ὁ.* Gr. 50, 7 A. 8.

C. 82. § 1. *ἐπὶ τῆς.* Gr. 47, 9 A. 19. — *περὶ τῆς ἀρχῆς.*

γιστον μαρτύριον αὐτὸς εἶπεν, ὅτι οἱ Ἴωνες ἀεί ποτε πολέ-
2 μιοι τοῖς Δωριεῦσιν εἰσίν. ἔχει δὲ καὶ οὕτως· ἡμεῖς γὰρ
Ἴωνες ὄντες Πελοποννησίοις Δωριεῦσι καὶ πλείοσιν οὖσι καὶ
παροικοῦσιν ἐσκεψάμεθα ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακου-
σόμεθα, καὶ μετὰ τὰ Μηδικὰ ναῦς κτησάμενοι τῆς μὲν Λα-
κεδαιμονίων ἀρχῆς καὶ ἡγεμονίας ἀπηλλάγημεν, οὐδὲν προς-
ῆκον μᾶλλόν τι ἐκείνους ἡμῖν ἢ καὶ ἡμᾶς ἐκείνοις ἐπιτάσ-
3 σειν, πλὴν καθ' ὅσον ἐν τῷ παρόντι μεῖζον ἴσχυον, αὐτοὶ δὲ
τῶν ὑπὸ βασιλεῖ πρότερον ὄντων ἡγεμόνες καταστάντες οἰ-
κοῦμεν, νομίσαντες ἥκιστ' ἂν ὑπὸ Πελοποννησίοις οὕτως εἶ-
ναι, δύναμιν ἔχοντες ἢ ἀμυνούμεθα, καὶ ἐς τὸ ἀκριβὲς εἰ-
πεῖν οὐδὲ ἀδίκως καταστρεψάμενοι τούς τε Ἴωνας καὶ νησι-
ώτας, οὓς ξυγγενεῖς φασιν ὄντας ἡμᾶς Συρακόσιοι δεδου-
4 λῶσθαι. ἦλθον γὰρ ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς μετὰ τοῦ
Μήδου καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα φθεῖραι,
ὥσπερ ἡμεῖς ἐκλιπόντες τὴν πόλιν, δουλείαν δὲ αὐτοί τε
83 ἐβούλοντο καὶ ἡμῖν τὸ αὐτὸ ἐπενεγκεῖν. ἀνθ' ὧν ἄξιοί τε
ὄντες ἅμα ἄρχομεν, ὅτι τε ναυτικὸν πλεῖστόν τε καὶ προθυ-

Anticipation. Gr. 61, 6 A. 4. — *μέγιστον. κατὰ τὸ μέγιστον ὑποσπάσαι χρή.* (Sch.) Für die gewöhnliche Interpunction spricht 1, 73, 3: *τεκμήριον μέγιστον.* (Sch.) — *ἀεί ποτε* immerdar. zu 1, 13, 3. — *ἔχει δὲ καί* für *καὶ ἔχει δέ.* (Ba.) vgl. zu 1, 132, 4. Aufs Folgende kann es nicht füglich gehen; vielmehr: er hat es gesagt und es verhält sich auch so.

§ 2. *ἥκιστα. ἥκιστ' ἄν* mehrere u. einige der besten Hsn., vielleicht aus § 3. (Py.) — *αὐτῶν* pleonastisch, wie *αὐτῷ* 4, 93, 2. Der Ge. nach dem Dativ, da *ὑπακούειν* beide Casus regiert. (Kr.) — *οὐδὲν προσῆκον*, wie 6, 84, 1. vgl. zu 3, 40, 4 u. Gr. 56, 9 A. 5. — *μᾶλλόν τι* ist mit *ἐπιτάσσειν* zu verbinden, aber nicht als Object (Hf.), was jenes nicht sein kann (Gr 47, 15 A. 11), dieses nicht nöthig hat: Befehle geben. Gr. 53, 1 A. 2.

§ 3. *οἰκοῦμεν* leben. (Arn.) — *ὄντων, Ἑλλήνων.* (Sch.) — *ἀμυνούμεθα. ἀμυνόμεθα* die besten Hsn. Gr. 53, 7 A. 8 — *ἐς τὸ ἀκριβές, ἀκριβῶς.* (Ba.) *ὡς* für *ἐς* Kr. Der Sch.: *ὡς ἀληθῶς εἰπεῖν.* Gr. 55, 1 A. 2.

§ 4. *ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς.* Gr. 68, 6 A. u. Kr. z. Dion. p 259 — *δουλείαν. δουλεύειν* wäre üblicher. Denn nur von Substantivirungen, wie *τοῦτο, ταῦτα, ὅ, ἅ, τί*, findet sich ein Ac. bei *βούλεσθαι* öfter. — *τὸ αὐτό, τὴν δουλείαν.* Gr. 58, 3 (2) A. 6.

C. 83. § 1. *ἄξιοί τε ὄντες.* Diesem entspricht *ἅμα δὲ — δοκοῦμεν*, der zweite Grund. (Ps) Ueber *τε — δέ* Gr 69, 16 A. 6; über

μίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς Ἕλληνας, καὶ διότι καὶ τῷ Μήδῳ, ἑτοίμως τοῦτο δρῶντες, οὗτοι ἡμᾶς ἔβλαπτον, ἅμα δὲ τῆς πρὸς Πελοποννησίους ἰσχύος ὀρεγόμενοι. καὶ 2
οὐ καλλιεπούμεθα ὡς ἢ τὸν βάρβαρον μόνοι καθελόντες εἰκότως ἄρχομεν, ἢ ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε μᾶλλον ἢ τῶν ξυμπάντων τε καὶ τῇ ἡμετέρᾳ αὐτῶν κινδυνεύσαντες. πᾶσι δὲ ἀνεπίφθονον τὴν προσήκουσαν σωτηρίαν ἐκπορίζεσθαι. καὶ νῦν τῆς ἡμετέρας ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες ὁρῶμεν καὶ ὑμῖν ταῦτα ξυμφέροντα. ἀποφαίνομεν δὲ ἐξ ὧν 3
οἵδε τε διαβάλλουσι καὶ ὑμεῖς μάλιστα ἐπὶ τὸ φοβερώτερον ὑπονοεῖτε, εἰδότες τοὺς περιδεῶς ὑποπτεύοντάς τι λόγου μὲν ἡδονῇ τὸ παραυτίκα τερπομένους, τῇ δ' ἐγχειρήσει ὕστερον τὰ ξυμφέροντα πράσσοντας. τήν τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν διὰ δέος ἔχειν καὶ τὰ ἐνθάδε διὰ τὸ αὐτὸ ἥκειν μετὰ τῶν φίλων ἀσφαλῶς καταστησόμενοι, καὶ οὐ δουλωσόμενοι, μὴ παθεῖν δὲ μᾶλλον τοῦτο κωλύσοντες."

---

die Stellung des *ἄρχομεν* hier u. § 2 zu 1, 19. — *διότι καί.* Gr. 69, 32 A. 17. — *οὗτοι, οἵ τε Ἴωνες καὶ νησιῶται.*

§ 2. *οὐ καλλιεπούμεθα* für *οὐκ ἄλλῳ ἑπόμεθα* einige Hss. Jenes bei Plat. Apol. p. 17, b und Hipparch. p. 225 c.; *ὁ καλλιεπὴς Ἀγάθων* Ar. Thesm. 49. 60. (Valcken. diatr. p. 291.) *κεκαλλιεπημένοι λόγοι* Plat. Apol. 17, b. vgl. Aristot. Rhet. 3, 2. Doch steht es an unserer Stelle nicht vom Schmuck der Rede sondern von Beschönigung. vgl 5, 89, 1: *μετ' ὀνομάτων καλῶν ἐπεξερχόμεθα.* (Kr.) — *μόνοι.* Kr. Hist. phil. Stud. S. 85. (Pp.) — *εἰκότως* der Natur der Sache gemäß. — *ἐπ' ἐλευθερίᾳ.* Gr. 68, 41 A. 7. — *τῶνδε,* der Joner ꝛc. (Sch.) — *ἀνεπίφθονον.* zu 1, 75, 2. — *τὴν προσήκουσαν* seine eigene (St.), eig. die ihm zustehende, gebührende. — *ταῦτα. ταὐτά* Ba. u. eine Hs. Doch über den Plural Gr. 44, 4 A. 3. Der Sch.: *ταῦτά ἐστιν ἃ διαβολῇ καθ' ἡμῶν λέγουσι Συρακούσιοι.* Vielleicht schrieb Th. *καὶ ὑμῖν καὶ ἡμῖν ταὐτά.*

§ 3. *ἀποφαίνομεν, τοῦτο.* (St.) — *ἐπὶ τὸ φοβερώτερον* zu größern Schreckbildern als es der Wirklichkeit gemäß ist. zu 1, 10, 4 u. 6, 34, 7. — *ὑπονοεῖτε. δειλιᾶτε ἐξ ὑπονοίας.* (Sch.) — *εἰδότες* schließt sich an *ἀποφαίνομεν* an. (St.) — *τερπομένους,* wie ihr an der lockenden Darstellung des Hermokrates einstweilen Behagen finden möget. — *τῇ ἐγχειρήσει* mit der That, wenn sie zum Werke schreiten. — *ἐκεῖ,* im eigentlichen Hellas. — *εἰρήκαμεν* 82, 2 oder 83, 1. (Pp.) An der ersten Stelle. — *διὰ δέος,* vor den Peloponnesiern; doch schrieb Th. wohl *διὰ δέους.* zu 6, 34, 2. — *διὰ τὸ αὐτό* aus demselben Grunde. Der Sch. ergänzt *δέος,* was aber hier wiederholt sein würde. — *τοῦτο, τὸ δουλωθῆναι.*

84 Ὑπολάβῃ δὲ μηδεὶς ὡς οὐδὲν προσῆκον ὑμῶν κηδόμεθα, γνοὺς ὅτι σωζομένων ὑμῶν καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὑμᾶς ὄντας ἀντέχειν Συρακοσίοις ἧσσον ἂν τούτων πεμψάντων 2 τινὰ δύναμιν Πελοποννησίοις ἡμεῖς βλαπτοίμεθα. καὶ ἐν τούτῳ προσήκετε ἤδη ἡμῖν τὰ μέγιστα. διόπερ καὶ τοὺς Λεοντίνους εὔλογον κατοικίζειν, μὴ ὑπηκόους ὥσπερ τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν Εὐβοίᾳ, ἀλλ' ὡς δυνατωτάτους, ἵνα ἐκ τῆς σφετέρας ὅμοροι ὄντες τοῖσδε ὑπὲρ ἡμῶν λυπηροὶ ὦσιν. 3 τὰ μὲν γὰρ ἐκεῖ καὶ αὐτοὶ ἀρκοῦμεν πρὸς τοὺς πολεμίους, καὶ ὁ Χαλκιδεύς, ὃν ἀλόγως ἡμᾶς φησι δουλωσαμένους τοὺς ἐνθάδε ἐλευθεροῦν, ξύμφορος ἡμῖν ἀπαράσκευος ὢν καὶ χρήματα μόνον φέρων, τὰ δὲ ἐνθάδε καὶ Λεοντῖνοι καὶ οἱ 85 ἄλλοι φίλοι ὅτι μάλιστα αὐτονομούμενοι. ἀνδρὶ δὲ τυράννῳ ἢ πόλει ἀρχὴν ἐχούσῃ οὐδὲν ἄλογον ὅ τι ξυμφέρον οὐδ' οἰκεῖον ὅ τι μὴ πιστόν· πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. καὶ ἡμᾶς τοῦτο ὠφελεῖ ἐνθάδε, οὐκ ἢν τοὺς φίλους κακώσωμεν, ἀλλ' ἢν οἱ ἐχθροὶ διὰ τὴν 2 τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν. ἀπιστεῖν δὲ οὐ χρή· καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους ὡς ἕκαστοι χρήσιμοι ἐξηγού-

---

C. 84. § 1. *διὰ τὸ ἀντέχειν* wird durch *καὶ* mit *σωζομένων ὑμῶν* verbunden. Gr. 59, 2 A. 3. — *ἧσσον ἄν* denkt Ps. so wohl zu *πεμψάντων* als zu *βλαπτοίμεθα*; doch kann jenes gefaßt werden: dadurch daß sie schicken, eig. wenn sie geschickt. (Pp.) *τουτέστιν οὐ πεμψάντων οὐκ ἂν βλαπτοίμεθα.* (Sch.)

§ 2. *προσήκετε* gehöret ihr an, intereſſirt ihr. (Ps.) — *τὰ μέγιστα* aufs höchſte. Gr. 46, 5 A. 4 u. 7. vgl. zu 1, 19. Phal. Br. 68: *τὰ μέγιστα ᾤκτειρον αὐτόν.* — *μὴ ὑπηκόους, μὴ ὡς ὑπηκόους.* (Ar. Ps.) — *ὥσπερ τούς, ὥσπερ εἰσὶν οἱ.* (Ar. Ps.) Gr. 62, 4 A. 3.

§ 3. *ὁ Χαλκιδεύς.* Gr. 44, 1 A. 4. — *ἀλόγως* ohne Conſequenz, mit Bezug auf *οὐκ εὔλογον* 6, 76, 2. — *φησί.* Gr. 53, 1 A. 2. — *ξύμφορος*, perſönlich, wie *χρειττων* 3, 37, 3 u. *ὠφέλιμος* 4, 44, 1. vgl. Gr. 61, 5 A. 8 zweite Ausg. u. zu 6, 33, 4. — *αὐτονομούμενοι*, erg. *ξύμφοροι εἰσιν.*

C. 85. § 1. *οὐδὲν ἄλογον* hier wieder in Bezug auf politiſche Klugheit im Allgemeinen zu denken. — *οἰκεῖον* angehörig, mit Anſpielung auf die Verwandtſchaft der Chalkidier. (Bl.) — *πρὸς ἕκαστα*, für *πρὸς ἑκάστους* nach Ds. Allein ſo würde doch *πρός* hier befremden; alſo doch wohl: in Bezug auf jegliche Vorkommniſſe. — *τοῦτο, ἤν.* Der Satz mit *ἤν* enthält das durch *τοῦτο* angekündigte Subject des *ὠφελεῖ.* Gr. 60, 10 A. 1.

§ 2. *τοὺς ἐκεῖ ξυμμάχους. τοῖς ἐκεῖ ξυμμάχοις* die beſten Hſn., was Pp. aufgenommen, weil *ἐξηγεῖσθε* ſowohl des Da. (3, 55, 2) als

μεθα, Χίους μὲν καὶ Μηθυμναίους νεῶν παροχῇ αὐτονόμους, τοὺς δὲ πολλοὺς χρημάτων βιαιότερον φορᾷ, ἄλλους δὲ καὶ πάνυ ἐλευθέρως ξυμμαχοῦντας, καίπερ νησιώτας ὄντας καὶ εὐλήπτους, διότι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν Πελοπόννησον. ὥστε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν 3
καί, ὃ λέγομεν, ἐς Συρακοσίους δέος καθίστασθαι. ἀρχῆς γὰρ ἐφίενται ὑμῶν καὶ βούλονται ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες ὑμᾶς ὑπόπτῳ βίᾳ ἢ καὶ κατ' ἐρημίαν, ἀπράκτων ἡμῶν ἀπελθόντων, αὐτοὶ ἄρξαι τῆς Σικελίας. ἀνάγκη δέ, ἢν ξυστῆτε πρὸς αὐτούς· οὔτε γὰρ ἡμῖν ἔτι ἔσται ἰσχὺς τοσαύτη ἐς ἓν ξυστᾶσα εὐμεταχείριστος, οὔθ' οἷδ' ἀσθενεῖς ἂν ἡμῶν μὴ παρόντων πρὸς ὑμᾶς εἶεν."

"Καὶ ὅτῳ ταῦτα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγχει. τὸ 86
γὰρ πρότερον ἡμᾶς ἐπηγάγεσθε οὐκ ἄλλον τινὰ προσείοντες φόβον ἤ, εἰ περιοψόμεθα ὑμᾶς ὑπὸ Συρακοσίοις γενέσθαι, ὅτι καὶ αὐτοὶ κινδυνεύσομεν. καὶ νῦν οὐ δίκαιον, ᾧπερ καὶ ἡμᾶς ἠξιοῦτε λόγῳ πεῖθειν, τῷ αὐτῷ ἀπιστεῖν, οὐδ' ὅτι δυ-

---

des Ac. empfänglich sei. Ueber die Verbindung zu 1, 71, 4. — *ὡς ἕκαστοι χρήσιμοι, ὡς χρήσιμον ἡμῖν ἑκάστους ἐξηγεῖσθαι.* vgl. zu 84, 3. — *νεῶν παροχῇ. ναυσὶ καὶ οὐ φόρῳ ὑπήκοοι* 7, 57, 4. — *χρημάτων βιαιότερον φορᾷ, χρήματα πρασσόμενοι ἄκοντας.* (Sch.) *Βιαιότερον* gehört zu *ἐξηγούμεθα.* — *ἄλλους*, wie die Zakynthier und Kephallenier 7, 57, 6. (Hk.) wohl auch die Aegineten 2, 27 und Kytherier 4, 54. — *ἐλευθέρως* in einem freien, unabhängigen Verhältnisse.

§ 3. *ὃ λέγομεν* wie gesagt. vgl. 6, 83, 3 u. Gr. 51, 13 A. 13. — *ἐς Σ. δέος* als Schreckmittel gegen die S., welche, selbst bedroht, die Athener der 6, 83, 3 erwähnten Furcht enthoben. — *ἐπὶ τῷ ἡμετέρῳ ὑπόπτῳ* auf den Grund, unter dem Vorwande unserer Verdächtigkeit, daß unsere Absichten gefährlich seien. (Sch. u. Ba.) — *βίᾳ ἢ καὶ κατ' ἐρημίαν* verbindet Hk. mit *ἀπελθόντων.* — *ἐρημίαν* Mangel an Bundesgenossen. vgl. 1, 71, 4. — *ἄρξαι.* Gr. 53, 5 A. 2. — *ἀνάγκη, τὸ ἄρξαι τοὺς Συρακουσίους τῆς ὅλης Σικελίας.* (Sch.) — *ξυστῆτε πρός.* zu 1, 1, 1. — *ἐς ἓν ξυστᾶσα, ἀθρόα.* (Sch.) — *εὐμεταχείριστος* leicht zu behandeln und zu bewältigen. (Ac.)

C. 86. § 1. *τὸ γὰρ πρότερον* 3, 86, 1. (Ds.) — *προσείοντες, προσποιοῦντες, ἐπανατεινόμενοι.* (Sch.) An sich unbestimmt vorschütteln; ob zum Schrecken oder zum Locken ergibt der hinzugefügte Begriff oder der Zusammenhang. Belege bei Ruhnken z. Tim. p. 137 u. den Erkl. zu u. St. — *ὅτι*, weil bei *ἤ* noch *τοῦτον* vorschwebt. Ueber

νάμει μείζονι πρὸς τὴν τῶνδε ἰσχὺν πάρεσμεν ὑποπτεύεσθαι,
2 πολὺ δὲ μᾶλλον τοῖσδε ἀπιστεῖν. ἡμεῖς μέν γε οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ' ὑμῶν, εἴ τε καὶ γενόμενοι κακοὶ κατεργασαίμεθα, ἀδύνατοι κατασχεῖν διὰ μῆκός τε πλοῦ καὶ ἀπορίᾳ φυλακῆς πόλεων μεγάλων καὶ τῇ παρασκευῇ ἠπειρωτίδων· οἵδε δὲ οὐ στρατοπέδῳ πόλει δὲ μείζονι τῆς ἡμετέρας παρουσίας ἐποικοῦντες ὑμῖν ἀεί τε ἐπιβουλεύουσιν καὶ ὅταν
3 καιρὸν λάβωσιν ἑκάστου, οὐκ ἀνιᾶσιν — ἔδειξαν δὲ καὶ ἄλλα ἤδη καὶ τὰ ἐς Λεοντίνους — καὶ νῦν τολμῶσιν ἐπὶ τοὺς ταῦτα κωλύοντας καὶ ἀνέχοντας τὴν Σικελίαν μέχρι τοῦδε μὴ ὑπ' αὐτοὺς εἶναι παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους. πολὺ δὲ ἐπὶ ἀληθεστέραν γε σωτηρίαν ἡμεῖς ἀντιπαρακαλοῦμεν, δεόμενοι τὴν ὑπάρχουσιν ἀπ' ἀλλήλων ἀμφοτέροις
4 μὴ προδιδόναι, νομίσαι τε τοῖσδε μὲν καὶ ἄνευ ξυμμάχων ἀεὶ ἐφ' ὑμᾶς ἑτοίμην διὰ τὸ πλῆθος εἶναι ὁδόν, ὑμῖν δ' οὐ πολλάκις παρασχήσειν μετὰ τοσῆσδε ἐπικουρίας ἀμύνασθαι· ἢν εἰ τῷ ὑπόπτῳ ἢ ἄπρακτον ἐάσετε ἀπελθεῖν ἢ καὶ σφα-

---

die Stellung des ὅτι. Gr. 65, 1 A. 5. — μείζονι als τὸ πρότερον. Andere verbinden μείζονι πρός nach Gr. 49, 2 A. 8; gegen § 2: μείζονι τῆς ἡμετέρας παρουσίας.

§ 2. ἡμεῖς, ἐσμέν. Gr. 62, 1 A. 5. — ἐμμεῖναι, τῇ Σικελίᾳ. — μέν γε. zu 1, 40, 3. — μὴ μεθ' ὑμῶν ohne eure Hülfe. Soph. Aj. 951: οὐκ ἂν τάδ' ἔστη μὴ θεῶν μέτα. Gr. 67, 9. — εἴ τε. zu 3, 28, 1. — γενόμενοι κακοί mit Bezug auf 6, 80, 2. — ἀπορίᾳ — ἠπειρωτίδων, οὐ δυνάμενοι φυλάττειν πόλεις μεγάλας καὶ παρασκευὴν ἠπειρωτικὴν παρεσκευασμένας, τουτέστιν ἱππεῦσι καὶ πεζῷ ἰσχυούσας, αὐτοὶ ναυτικοὶ ὄντες. (Sch.) 1, 35, 4: ναυτικῆς καὶ οὐκ ἠπειρωτίδος τῆς ξυμμαχίας διδομένης. (Da.) — πόλει — παρουσίας sondern mit einer Stadt die größer ist als unsere anwesende Macht. (Sch. u. A. Ps.) Ein freilich harter Ausdruck. — ἐποικοῦντες, ἐφεδρεύοντες. (Sch.) vgl. 7, 27, 2. — ἀεί τε. Es entspricht καὶ νῦν. (Bk.) — ἑκάστου zu irgend einem Unternehmen. (Abr.)

§ 3. ἔδειξαν ἄλλα ist gesagt wie ἔδειξαν δείγματα ἄλλα. — ἀνέχοντας, κωλύοντας Bekker Anecd. p. 400. (Pp.) Wohl eig. aufrecht erhaltend. (St.) — ὑπ' αὐτοὺς εἶναι. Gr. 68, 45 A. 2. — ἀναισθήτους. zu 1, 69, 3. — πολύ. Gr. 49, 7 A. 7. — τὴν ὑπάρχουσαν ἀπ' ἀλλήλων die uns und euch von einander stattfindende, kommende, Rettung.

§ 4. παρασχήσειν es werde euch verstattet sein. zu 1, 120, 3. — ἔτι, ποτέ. (Sch.) vgl. Xen. Cyr. 4, 2, 10. (Pp.) So Thuk.

λεῖσαν, ἔτι βουλήσεσθε καὶ πολλοστὸν μόριον αὐτῆς ἰδεῖν, ὅτε οὐδὲν ἔτι περανεῖ παραγενόμενον ὑμῖν. ἀλλὰ μήτε ὑμεῖς 87
ὦ Καμαριναῖοι ταῖς τῶνδε διαβολαῖς ἀναπείθεσθε μήτε οἱ ἄλλοι· εἰρήκαμεν δ' ὑμῖν πᾶσαν τὴν ἀλήθειαν περὶ ὧν ὑποπτευόμεθα καὶ ἔτι ἐν κεφαλαίοις ὑπομνήσαντες ἀξιώσομεν πείθειν. φαμὲν γὰρ ἄρχειν μὲν τῶν ἐκεῖ, ἵνα μὴ ὑπακούω- 2
μεν ἄλλου, ἐλευθεροῦν δὲ τὰ ἐνθάδε, ὅπως μὴ ὑπ' αὐτῶν βλαπτώμεθα, πολλὰ δ' ἀναγκάζεσθαι πράσσειν, διότι καὶ πολλὰ φυλασσόμεθα, ξύμμαχοι δὲ καὶ νῦν καὶ πρότερον τοῖς ἐνθάδε ὑμῶν ἀδικουμένοις οὐκ ἄκλητοι παρακληθέντες δὲ ἥκειν. καὶ ὑμεῖς μήθ' ὡς δικασταὶ γενόμενοι τῶν ἡμῖνποι- 3
ουμένων μήθ' ὡς σωφρονισταί, ὃ χαλεπὸν ἤδη, ἀποτρέπειν πειρᾶσθε, καθ' ὅσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τούτῳ ἀπολαβόντες χρήσασθε, καὶ νομίσατε μὴ πάντας ἐν ἴσῳ βλάπτειν αὐτά, πολὺ

5, 103, 1. vgl. Seidler zu Eur. El. 636. — πολλοστὸν μόριον für πολλοστημόριον die beſten Hſn.

C. 87. § 1. πᾶσαν τὴν ἀλήθειαν. Gr. 50, 11 A. 11. Iſokr. 15, 50: ἀκηκόατε πᾶσαν τὴν ἀλήθειαν. vgl. Her. 8, 82. 9, 89, Plat. Apol. 17. 20. 33, Lyk. 32, Dem. 23, 187. 32, 26. 39, 3. 45, 4. Vereinzelt Soph. Tr. 453: εἰπὲ πᾶν τἀληθές. vgl. Plat. Symp. 217. — περὶ ὧν, περὶ τούτων ἅ. Gr. 51, 13 A. 7. - ἀξιώσομεν πείθειν wir werden den Anſpruch machen, erwarten euch dadurch zu überreden.

§ 2. πολλὰ πράσσειν deutet hier milder die den Athenern oft vorgerückte πολυπραγμοσύνη an vgl. 3; über den Ausdruck Ar. Fröſche 228. 749, Frie. 1058, Her. 5, 33 u. Valckenaer zu Eur. Hipp. 785. — πολλὰ φυλασσόμεθα vor Vielem uns hüten (müſſen). (St.) vgl. 4, 11, 3. 61, 4. 6, 11, 5. 40, 3. (Dr.) πολλοὺς φοβεῖσθαι. (Sch.) — ὑμῶν. Gr. 47, 9 A. 11. vgl. 4, 125, 3 5, 64, 2, zu 1, 126, 6 u. zu 4, 111, 2. — οὐκ ἄκλητοι παρακληθέντες δέ. Lobeck z. Soph. Aj. 289.

§ 3. σωφρονισταί. zu 3, 65, 2. — ὃ χαλεπὸν ἤδη gehört zu ἀποτρέπειν. (Sch.) — πολυπραγμοσύνης. πολυπραγμονεῖν λέγει τὸ πολλοῖς ἐπιχειρεῖν καὶ πολλαχοῦ. (Sch.) ad multas res aggressionem earumque actionem Gell. N. A. 11, 16. (Ac.) — τὸ αὐτό bezieht ſich auf τι: inſofern euch gewiſſe Richtungen unſerer Vielgeſchäftigkeit und zugleich (τὸ αὐτό, idem) unſeres Charakters, aus denen jene hervorgehen, zuträglich ſind. — ἀπολαβόντες ausheben, herausnehmen. (Ba.) Gemeint iſt die bereitwillige Unterſtützung Anderer. (Pp.) Oder vielmehr ganz unbeſtimmt, doch vorzugsweiſe das § 4 Geſagte. — αὐτά dieſe Richtungen unſrer πολυπραγμοσύνη, bezogen auf τι. Gr. 58, 4 A. 5.

4 δὲ πλείους τῶν Ἑλλήνων καὶ ὠφελεῖν· ἐν παντὶ γὰρ πᾶς χωρίῳ, καὶ ᾧ μὴ ὑπάρχομεν, ὅ τε οἰόμενος ἀδικήσεσθαι καὶ ὁ ἐπιβουλεύων διὰ τὸ ἑτοίμην ὑπεῖναι ἐλπίδα τῷ μὲν ἀντιτυχεῖν ἐπικουρίας ἀφ' ἡμῶν, τῷ δέ, εἰ ἥξομεν, μὴ ἀδεεῖς εἶναι κινδυνεύειν, ἀμφότεροι ἀναγκάζονται ὁ μὲν ἄκων σω-
5 φρονεῖν, ὁ δ' ἀπραγμόνως σώζεσθαι. ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν μὴ ἀπώσησθε, ἀλλ' ἐξισώσαντες τοῖς ἄλλοις μεθ' ἡμῶν τοῖς Συρακοσίοις, ἀντὶ τοῦ ἀεὶ φυλάσσεσθαι αὐτούς, καὶ ἀντεπιβουλεῦσαι ποτε ἐκ τοῦ ὁμοίου μεταλάβετε."

88 Τοιαῦτα δὲ ὁ Εὔφημος εἶπεν. οἱ δὲ Καμαριναῖοι ἐπεπόνθεσαν τοιόνδε. τοῖς μὲν Ἀθηναίοις εὖνοι ἦσαν, πλὴν καθ' ὅσον [εἰ] τὴν Σικελίαν ᾤοντο αὐτοὺς δουλώσεσθαι,

---

§ 4. καὶ ᾧ, καὶ ἐν ᾧ. (Gö.) κἂν ᾧ Kr. Gedacht wird dabei im Gegensatz ihre dermalige Anwesenheit in Sikelien. — ἀδικήσεσθαι. zu 5, 56, 2. — ὑπεῖναι subesse mit der Vorstellung des Verborgenen, vielleicht auch dessen worauf man sich stützt. (Ba.) — ἐλπίδα Erwartung (προσδέχεσθαι Sch.), Hoffnung zu ἀντιτυχεῖν, Furcht zu κινδυνεύειν. (Abr.) vgl. zu 1, 1, 1 u. 7, 61, 1. — ἀντιτυχεῖν. ἀντι — gegen die Feinde. An Ersatz für die Beeinträchtigung des Gegners denkt Hk. Ueber den Inf. Gr. 50, 6 A. 6. — μὴ ἀδεεῖς εἶναι κινδυνεύειν in Gefahr zu schweben nicht ohne Sorge (nicht unbedroht) zu sein, so daß εἶναι von κινδυνεύειν abhängt, nicht umgekehrt. Reiske und Dobree vermutheten ἀδεές. Dieser verglich Dem. 16, 22: οὐ γὰρ ἐγωγ' ἀδεὲς τοῦθ' ὑπολαμβάνω τῇ πόλει. Κινδυνεύειν könnte wohl ein Glossem sein. Der Plural scheint mir, wenn auch ὁ μέν, ὁ δέ sich auf ganze Classen beziehen, in einer solchen Verbindung doch etwas hart. Martins Hs. hat von neuerer Hand ἀδεῆ; ἀδεεῖ wäre leichter. — ἀναγκάζονται heißt zu σώζεσθαι finden sich veranlaßt, in die Lage versetzt. zu 4, 25, 1. — ὁ μέν der letztere. Gr. 50, 1 A. 2. — ἀπραγμόνως, χωρὶς πόνου.

§ 5. τῷ τε. Man würde τε τῷ erwarten. (Arn.) Man kann auflösen: ἡ κοινὴ τῷ τε δεομένῳ καὶ ὑμῖν πάρεστιν. Gr. 50, 12 A. 1. — ἐξισώσαντες, ἐξισωθέντες καὶ ὁμοιωθέντες. (Sch.) Soph. El. 1194: μητρὶ δ' οὐδὲν ἐξισοῖ. (Abr.) vgl. Lobeck zu Soph. Aj. 268 p. 196 u. dagegen Reisig Conjectt. p. 152. — ἀντεπιβουλεῦσαι. τὸ προεπιβουλεῦσαι fügt Kr. hinzu, so daß ἀντεπιβουλεῦσαι noch zu ἀντὶ τοῦ zu ziehen wäre. vgl. 1, 33, 4 u. 3, 12, 2. — μεταλάβετε nehmt tauschend an. Isokr. 7, 71: ἀντὶ τῆς πολιτείας τῆς οὕτω πολλὰ καὶ καλὰ διαπεπραγμένης ἑτέραν ὑμᾶς πείθω μεταλαβεῖν. Plat. Prot. 355: ἄλλο ὄνομα μετέλληφεν, ἀντὶ τῆς ἡδονῆς τὸ ἀγαθόν.

C. 88. § 1. ἐπεπόνθεσαν, κατὰ ψυχὴν διετέθησαν. (Sch.) — εἰ tilgt Reiske. vgl. 6, 54, 6. 82, 2. Verschieden ist καθ' ὅ τι εἰ

τοῖς δὲ Συρακοσίοις ἀεὶ κατὰ τὸ ὅμορον διάφοροι· δεδιότες 2
δ' οὐχ ἧσσον τοὺς Συρακοσίους, ἐγγὺς ὄντας, μὴ καὶ ἄνευ σφῶν περιγένωνται, τό τε πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς ὑπουργεῖν μὲν τοῖς Συρακοσίοις μᾶλλον ἔργῳ, ὡς ἂν δύνωνται μετριώτατα, ἐν δὲ τῷ παρόντι, ἵνα μηδὲ τοῖς Ἀθηναίοις ἔλασσον δοκῶσι νεῖμαι, ἐπειδὴ καὶ ἐπικρατέστεροι τῇ μάχῃ ἐγένοντο, λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέροις. καὶ οὕτω βουλευσάμενοι 3
ἀπεκρίναντο, ἐπειδὴ τυγχάνει ἀμφοτέροις, οὖσι ξυμμάχοις σφῶν, πρὸς ἀλλήλους πόλεμος ὤν, εὔορκον δοκεῖν εἶναι σφίσιν ἐν τῷ παρόντι μηδ' ἑτέροις ἀμύνειν. καὶ οἱ πρέσβεις ἑκατέρων ἀπῆλθον.

Καὶ οἱ μὲν Συρακόσιοι τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο ἐς 4
τὸν πόλεμον, οἱ δ' Ἀθηναῖοι ἐν τῇ Νάξῳ ἐστρατοπεδευμένοι τὰ πρὸς τοὺς Σικελοὺς ἔπρασσον, ὅπως αὐτοῖς ὡς πλεῖστοι προσχωρήσονται. καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον τῶν 5
Σικελῶν, ὑπήκοοι ὄντες τῶν Συρακοσίων, οὐ πολλοὶ ἀφεστήκεσαν· τῶν δὲ τὴν μεσόγειαν ἐχόντων, αὐτόνομοι οὖσαι καὶ πρότερον ἀεὶ αἱ οἰκήσεις, εὐθύς, πλὴν ὀλίγοι, μετὰ τῶν Ἀθηναίων ἦσαν, καὶ σῖτόν τε κατεκόμιζον τῷ στρατεύματι

5, 76, 2. (Pp.) Es iſt wohl aus dem πλὴν ἑἱ des Sch. entſtanden. — κατὰ τὸ ὅμορον. vgl. 1, 15, 2. 3. 5, 69, 2. solito inter accolas odio Tac. H. 5, 1. (Pp.)

§ 2. δεδιότες τοὺς Σ. μή. Gr. 61, 6 A. 5. — τοὺς ὀλίγους die 6, 67, 3 erwähnten wenigen. (Ps.) καὶ τοξότας wird ausgefallen ſein. (Kr.) — μᾶλλον als den Athenern. — ἔργῳ, ὡς. ἔργῳ δ' ὡς Va. — δοκῶσι νεῖμαι für δοκῶσιν εἶναι Valckenaer ad Eur. fragm. p. 77. — ἐπικρατέστεροι, ein ſeltenes Wort, auch von Th. weiter nicht gebraucht. — λόγῳ im Gegenſatze zu ἔργῳ.

§ 3. μηδ' ἑτέροις für μηδετέροις einige Hſn. — δοκεῖν, δοκεῖ die beſten Hſn.

§ 4. τὰ καθ' ἑαυτούς. vgl. 1, 82, 2. — τὰ πρός iſt Ac., anticipirtes Subject des folgenden Satzes.

§ 5. οἱ πρὸς τὰ πεδία die nach den Ebenen hin wohnenden. Kr. zu Xen. An. 1, 2, 25. — μᾶλλον, ἢ ἐν τῇ μεσογαίᾳ καὶ τοῖς ὀρεινοῖς. (Pp.) vgl. 7, 79, 3. Aehnlich zu deuten iſt wohl μάλιστα Xen. An. 4, 8, 24. — οὐ πολλοί für οἱ πολλοί Canter. — μεσόγειαν für μεσόγαιαν Martins Hſ., gemäß dem Gebrauche des Th. vgl. 1, 100, 3. 120, 2. 2, 102, 1. 3, 95, 3. 7, 80, 3. — καὶ πρότερον ſchon früher. vgl. 8, 83, 1. — ἀεὶ αἱ für das bloße ἀεί Bk. — οἰκήσεις Wohnſtätten wie 1, 6, 1. — εἰσὶν οἵ. Gr. 61, 5 A. 1.

6 καὶ εἰσὶν οἳ καὶ χρήματα. ἐπὶ δὲ τους μὴ προσχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες τοὺς μὲν προσηνάγκαζον, τοὺς δὲ καὶ ὑπὸ τῶν Συρακοσίων, φρουρούς τε πεμπόντων καὶ βοηθούντων, ἀπεκωλύοντο. τόν τε χειμῶνα μεθορμισάμενοι ἐκ τῆς Νάξου ἐς τὴν Κατάνην καὶ τὸ στρατόπεδον ὃ καιεκαύθη
7 ὑπὸ τῶν Συρακοσίων αὖθις ἀνορθώσαντες διεχείμαζον. καὶ ἔπεμψαν μὲν ἐς Καρχηδόνα τριήρη περὶ φιλίας, εἰ δύναιντό τι ὠφελεῖσθαι, ἔπεμψαν δὲ καὶ ἐς Τυρσηνίαν, ἔστιν ὧν πόλεων ἐπαγγελλομένων καὶ αὐτῶν ξυμπολεμεῖν. περιήγγελλον δὲ καὶ τοῖς Σικελοῖς καὶ ἐς τὴν Ἔγεσταν πέμψαντες ἐκέλευον ἵππους σφίσιν ὡς πλείστους πέμπειν, καὶ τἆλλα ἐς τὸν περιτειχισμόν, πλινθία καὶ σίδηρον, ἡτοίμαζον, καὶ ὅσα ἔδει, ὡς ἅμα τῷ ἦρι ἐξόμενοι τοῦ πολέμου.

8 Οἱ δ' ἐς τὴν Κόρινθον καὶ Λακεδαίμονα τῶν Συρακοσίων ἀποσταλέντες πρέσβεις τούς τε Ἰταλιώτας ἅμα παραπλέοντες ἐπειρῶντο πείθειν μὴ περιορᾶν τὰ γιγνόμενα ὑπὸ τῶν Ἀθηναίων, ὡς καὶ ἐκείνοις ὁμοίως ἐπιβουλευόμενα, καὶ ἐπειδὴ ἐν τῇ Κορίνθῳ ἐγένοντο, λόγους ἐποιοῦντο ἀξιοῦντες
9 σφίσι καιὰ τὸ ξυγγενὲς βοηθεῖν. καὶ οἱ Κορίνθιοι, εὐθὺς ψηφισάμενοι αὐτοὶ πρῶτοι ὥσιε πάσῃ προθυμίᾳ ἀμύνειν, καὶ ἐς τὴν Λακεδαίμονα ξυναπέστελλον αὐτοῖς πρέσβεις, ὅπως καὶ ἐκείνους ξυναναπείθοιεν τόν τε αὐτοῦ πόλεμον σαφέστερον ποιεῖσθαι πρὸς τοὺς Ἀθηναίους καὶ ἐς τὴν Σι-
10 κελίαν ὠφελίαν τινὰ πέμπειν. καὶ οἵ τε ἐκ τῆς Κορίνθου πρέσβεις παρῆσαν ἐς τὴν Λακεδαίμονα καὶ Ἀλκιβιάδης μετὰ τῶν ξυμφυγάδων, περαιωθεὶς τότ' εὐθὺς ἐπὶ πλοίου φορτηγικοῦ ἐκ τῆς Θουρίας ἐς Κυλλήνην τῆς Ἠλείας πρῶτον, ἔπειτα

---

§ 6. τοὺς δὲ καί, προσαναγκάζειν. Gr. 55, 4 A. 11. — ἀπεκωλύοντο für ἀπεκώλυον Bk. u. Döderlein.

§ 7. ἔστιν ὧν. Gr. 61, 5 A. 3. — καὶ αὐτῶν sogar selbst, aus freien Stücken. — ἔδει, ἑτοιμάζειν. — ἐξόμενοι zu 1, 49, 6.

§ 8. ἐπιβουλευόμενα gegen sie angestiftet werde. Gr. 52, 4 A. 5.

§ 9. ὥστε, wie 8, 79, 1. vgl. 7, 49, 1. 8, 20, 2. 63, 2. — ἐκείνους, τοὺς Λακεδαιμονίους. Gr. 58, 4 A. 1. — τὸν αὐτοῦ πόλεμον. zu 6, 34, 3. — σαφέστερον, ἐπιφανέστερον. (Sch.) φανερώτερον 91, 4. vgl. 105, 1.

§ 10. τότ' εὐθύς 6, 61, 1. (Hf.) vgl. zu 1, 101, 2. — ἔπειτα

ὕστερον ἐς τὴν Λακεδαίμονα αὐτῶν τῶν Λακεδαιμονίων μεταπεμψάντων ὑπόσπονδος ἐλθών· ἐφοβεῖτο γὰρ αὐτοὺς διὰ τὴν περὶ τῶν Μαντινικῶν πρᾶξιν. καὶ ξυνέβη ἐν τῇ 11
ἐκκλησίᾳ τῶν Λακεδαιμονίων τούς τε Κορινθίους καὶ τοὺς Συρακοσίους τὰ αὐτὰ καὶ τὸν Ἀλκιβιάδην δεομένους πείθειν τοὺς Λακεδαιμονίους. καὶ διανοουμένων τῶν τε ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων πρέσβεις πέμπειν ἐς Συρακούσας κωλύοντας μὴ ξυμβαίνειν Ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων παρελθὼν ὁ Ἀλκιβιαδης παρώξυνέ τε τοὺς Λακεδαιμονίους καὶ ἐξώρμησε λέγων τοιάδε.

"Ἀναγκαῖον περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον ἐς ὑμᾶς 89
εἰπεῖν, ἵνα μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου ἀκροάσησθε. τῶν δὴ ἐμῶν προγόνων τὴν προξενίαν ὑμῶν κατά τι ἔγκλημα ἀπειπόντων αὐτὸς ἐγὼ πάλιν ἀναλαμβάνων ἐθεράπευον ὑμᾶς ἄλλα τε καὶ περὶ τὴν ἐκ Πύλου ξυμφοράν. καὶ διατελοῦντός 2
μου προθύμου ὑμεῖς πρὸς Ἀθηναίους καταλλασσόμενοι τοῖς μὲν ἐμοῖς ἐχθροῖς δύναμιν, δι' ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν περιέθετε. καὶ διὰ ταῦτα δικαίως ὑπ' ἐμοῦ πρός τε τὰ Μαντινέων καὶ Ἀργείων τραπομένου καὶ ὅσα ἄλλα

ὕστερον. zu 6, 66, 3. — περὶ τῶν. Gr. 68, 31 A. 1. Xen. An. 1, 6, 6: τοῦτο πράξω περὶ Ὀρόντου.

§ 11. καὶ τῶν, καὶ τῶν ἄλλων τῶν. (Ba.) Gr. 69, 32 A. 2. — ἐν τέλει Obrigkeiten. zu 1, 10, 6. — κωλύοντας für κωλύσοντας die beſten Hſn.: als hindernde. vgl. 7, 25, 7 u. Kr. zu Xen. An. 4, 5, 8. — παρώξυνε reizte ſie gegen die Athener an; ἐξώρμησε trieb ſie zu einem Unternehmen an. (Ba.)

C. 89. § 1. τῆς ἐμῆς διαβολῆς meiner perſönlichen Verunglimpfung. (Hl.) zu Lakedämon. vgl. 6, 88, 10. (Ds.) — ἐς ὑμᾶς. Gr. 68, 21 A. 6. — τῷ ὑπόπτῳ μου, ἤγουν διὰ τὸ ὑποπτεύειν ἐμέ. (Sch.) — δὴ ἐμῶν für δ' ἡμῶν Ba. u. Reiske. Unpaſſend iſt δέ (Ps.) und ἡμῶν hat eine Stellung von der ich nur kenne Soph. Oed. T. 1458: ἀλλ' ἡ μὲν ἡμῶν μοῖρ' ὅπῃπερ εἶσ' ἴτω. vgl. Gr. 47, 9 A. 12. — προξενίαν. zu 5, 43, 2. — ἀναλαμβάνων, ἀναλαμβάνειν ἐπιθυμῶν. (Ae. Ps.) Gr. 53, 1 A. 6. — ἄλλα iſt Ac., von ἐθεράπευον regiert. Gr. 46, 11 A. 2. — τὴν ἐκ Π. Gr. 50, 8 A. 17 u. zu 3, 102, 2. vgl. 7, 31, 1.

§ 2. διατελοῦντος ohne ὄντος. Gr. 56, 5 A. 4 u. zu 1, 34, 2. — καταλλασσόμενοι 5, 43, 2. — περιέθετε. zu 4, 87, 4. Antiph. 5, 18: ὄνειδος ἐμοὶ περιέθεσαν. Her. 3, 81: τούτοισι περιθέωμεν τὸ κράτος. 142: τὴν ἐλευθερίην ὑμῖν περιτίθημι. vgl. Thuc. 8, 43, 4. — τὰ Μαντινέων die Intereſſen, die Parthei der M. Gr. 47, 5 A. 10. — ὅσα ἄλλα. Gr. 51, 10 A. 10. Die Verbindung: ihr

ἠναντιούμην ὑμῖν ἐβλάπτεσθε· καὶ νῦν, εἴ τις καὶ τότε ἐν τῷ πάσχειν οὐκ εἰκότως ὠργίζετό μοι, μετὰ τοῦ ἀληθοῦς
3 σκοπῶν ἀναπειθέσθω. ἢ εἴ τις, διότι καὶ τῷ δήμῳ προσεκείμην μᾶλλον, χείρω με ἐνόμιζεν, μηδ' οὕτως ἡγήσηται ὀρθῶς ἄχθεσθαι. τοῖς γὰρ τυράννοις ἀεί ποτε διάφοροι ἐσμεν, πᾶν δὲ τὸ ἐναντιούμενον τῷ δυναστεύοντι δῆμος ὠνόμασται· καὶ ἀπ' ἐκείνου ξυμπαρέμεινεν ἡ προστασία ἡμῖν
4 τοῦ πλήθους. ἅμα δὲ τῆς πόλεως δημοκρατουμένης τὰ πολλὰ ἀνάγκη ἦν τοῖς παροῦσιν ἕπεσθαι. τῆς δὲ ὑπαρχούσης ἀκολασίας ἐπειρώμεθα μετριώτεροι ἐς τὰ πολιτικὰ εἶναι. ἄλλοι δ' ἦσαν καὶ ἐπὶ τῶν πάλαι καὶ νῦν οἳ ἐπὶ τὰ πονηρότερα
5 ἐξῆγον τὸν ὄχλον· οἵπερ καὶ ἐμὲ ἐξήλασαν. ἡμεῖς δὲ τοῦ ξύμπαντος προέστημεν, δικαιοῦντες ἐν ᾧ σχήματι μεγίσιη ἡ πόλις ἐτύγχανε καὶ ἐλευθερωτάτη οὖσα καὶ ὅπερ ἐδέξατό τις, τοῦτο ξυνδιασώζειν, ἐπεὶ δημοκρατίαν γε καὶ ἐγιγνώσκομεν

---

erlittet Schaden sowohl dadurch daß ich mich den Interessen der M. und A. zuwendete als darin worin ich sonst euch widerstrebte; über *καί* Gr. 59, 2 A. 4. — *ἄλλα*, wie 5, 53 ff. (Ds.) — *οὐκ εἰκότως* unbilliger Weise, mit *ὠργίζετο* zu verbinden. (St.) Ueber *οὐκ* Gr. 67, 4 A. 1. — *μετὰ τοῦ ἀληθοῦς*, in sofern er meine Gründe euch zu zürnen als gewichtig anerkennt.

§ 3. *διότι καί*, nicht bloß weil ich euch schadete, sondern auch weil. (Pp.) — *τῷ δήμῳ προσεκείμην, τὰ τοῦ δήμου ἐφρόνουν.* (Sch.) vgl. 8, 89, 3 mit 7, 59, 4 u. 1, 93, 5. Gemeint ist nicht bloß die atheniſche sondern auch die argeiiſche Demokratie. (Ds.) — *μᾶλλον* als dem aristokratischen Princip und den Interessen aristokratischer Staaten. — *μηδ' οὕτως* auch aus diesem Grunde nicht. vgl. Kr. zu Xen. An. 4, 8, 3. — *ἐσμέν*, ich und meine Familie, die Alkmäoniden, mit Bezug auf deren Antheil an Vertreibung der Pisistratiden. — *τῷ δυναστεύοντι* ist Neutrum, also auch auf Oligarchie beziehbar. (Hl.) Gr. 43, 4 A. 17. — *ἀπ' ἐκείνου*, von jenem Tyrannenhasse. — *προστασία*. zu 2, 80, 3. — *ἡμῖν*, den Alkmäoniden. (Ds.)

§ 4. *τοῖς παροῦσιν ἕπεσθαι* sich den bestehenden Verhältnissen zu fügen. (Ba.) — *τῆς ὑπαρχούσης ἀκολασίας μετριώτεροι* gemäßigter als die herrschende Zügellosigkeit der atheniſchen Demokratie es mit sich brachte. (Ba.) — *ἐπὶ τῶν πάλαι* im Zeitalter der Vorfahren. (Ps.) Gr. 68, 40 A. 4.

§ 5. *τοῦ ξύμπαντος* dem ganzen Staate (Ps.), im Gegensatze zu einzelnen Factionen. „vgl. 6, 39, 1." (Arn) — *ἐν ᾧ — καὶ ὅπερ.* Hier *αὐτό* für *ὅπερ* zu sagen (Gr. 60, 6 A. 2) war, weil der correlate demonstrative Satz erst folgt, nicht wohl zulässig. vgl. Gr. eb. A. 4 u. 2, 43, 3. — *ὅπερ ἐδέξατό τις σχῆμα, τουτέστιν ἥντινα*

οἱ φρονοῦντές τι, καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, ὅσῳ καὶ λοιδορήσαιμι. ἀλλὰ περὶ ὁμολογουμένης ἀνοίας οὐδὲν ἂν καινὸν λέγοιτο· καὶ τὸ μεθιστάναι αὐτὴν οὐκ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι ὑμῶν πολεμίων προσκαθημένων."

"Καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς τοιαῦτα ξυνέβη· 90
περὶ δὲ ὧν ὑμῖν τε βουλευτέον καὶ ἐμοί, εἴ τι πλέον οἶδα, ἐσηγητέον, μάθετε ἤδη. ἐπλεύσαμεν ἐς Σικελίαν πρῶτον μέν, εἰ δυναίμεθα, Σικελιώτας καταστρεψόμενοι, μετὰ δ' ἐκείνους αὖθις καὶ Ἰταλιώτας, ἔπειτα καὶ τῆς Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν ἀποπειράσοντες. εἰ δὲ προχωρήσειε ταῦτα ἢ πάντα 2
ἢ καὶ τὰ πλείω, ἤδη τῇ Πελοποννήσῳ ἐμέλλομεν ἐπιχειρήσειν, κομίσαντες ξύμπασαν μὲν τὴν ἐκεῖθεν προσγενομένην δύναμιν τῶν Ἑλλήνων, πολλοὺς δὲ βαρβάρους μισθωσάμενοι, καὶ Ἴβηρας καὶ ἄλλους τῶν ἐκεῖ ὁμολογουμένως νῦν βαρβάρων μαχιμωτάτους, τριήρεις τε πρὸς ταῖς ἡμετέραις πολλὰς 3
ναυπηγησάμενοι, ἐχούσης τῆς Ἰταλίας ξύλα ἄφθονα, αἷς τὴν Πελοπόνῃσον πέριξ πολιορκοῦντες καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμαῖς τῶν πόλεων τὰς μὲν βίᾳ λαβόντες τὰς δ' ἐν-

---

πολιτείαν παρέλαβεν. — οὐδενὸς — λοιδορήσαιμι. Pp. ergänzt γιγνώσκοιμι zu ἄν und ein ἄν zu λοιδορήσαιμι: dürfte wohl ich nicht minder als irgend wer einsehen, je mehr ich schmähen könnte, d. h. je gerechteren Grund ich zu schmähen habe. Die Lücke, welche schon St. anerkannte, füllt der Sch. mit αὐτὸς ἂν ἐγὼ οὐδενὸς χεῖρον λοιδορήσαιμι αὐτήν, ὅσῳ καὶ μέγιστα ὑπ' αὐτῆς ἠδίκημαι; Va.: ipse quo majore injuria affectus sum, eo magis vitupero. Vielleicht ist bloß ἠδίκημαι ausgefallen. Ueber οὐδενὸς χεῖρον. Gr. 47, 27 A. 3. — ὁμολογουμένην ἄνοιαν τὴν δημοκρατίαν λέγει. (Sch.) — καὶ τό. καίτοι τό Kr.

S. 90. § 1. ἐμάς gegen mich. Gr. 47, 7 A. 8. — ἐσηγητέον ist anzugeben. zu 3, 20, 1. — αὖθις demnächst. vgl. 6, 94, 2. — καὶ αὐτῶν und sie selbst, im Gegensatze zu den ihnen Unterwürfigen, ἀρχή. (Sch.)

§ 2. ἢ καί oder auch nur. Gr. 69, 32 A. 19. — βαρβάρων verdächtigt Bk. Indeß ὁμολογουμένως νῦν zu μαχιμωτάτους zu beziehen finde ich eben nicht hart, da das βαρβάρων, nur eine Nebenbestimmung dieses Wortes, mit gesenkter Betonung zu sprechen ist.

§ 3. αἷς für οἷς Bk. Vielleicht ist es zu tilgen, da sonst nach τριήρεις für τέ wohl δέ, wie nur eine Hs. hat, stehen würde. (Kr.) — καί vor τῷ verbindet πολιορκοῦντες und λαβόντες. — ἐκ γῆς ἐφορμαῖς Angriffe von der Landseite. (Dr.) Das von Thuk. sonst nicht gebrauchte und überhaupt seltene Wort hat doch schon Homer Od.

τειχισάμενοι, ῥᾳδίως ἠλπίζομεν καταπολεμήσειν καὶ μετα ταῦτα καὶ τοῦ ξύμπαντος Ἑλληνικοῦ ἄρξειν. χρήματα δὲ καὶ σῖτον, ὥστε εὐπορώτερον γίγνεσθαί τι αὐτῶν, αὐτὰ τὰ προσγενόμενα ἐκεῖθεν χωρία ἔμελλε διαρκῆ ἄνευ τῆς ἐνθένδε προσόδου παρέξειν."

91 "Τοιαῦτα μὲν περὶ τοῦ νῦν οἰχομένου στόλου παρὰ τοῦ τὰ ἀκριβέστατα εἰδότος ὡς διενοήθημεν ἀκηκόατε· καὶ ὅσοι ὑπόλοιποι στρατηγοί, ἢν δύνωνται, ὁμοίως αὐτὰ πράξουσιν. ὡς δέ, εἰ μὴ βοηθήσετε, οὐ περιέσται τἀκεῖ, μάθετε ἤδη. Σι-κελιῶται γὰρ ἀπειρότεροι μέν εἰσιν, ὅμως δ' ἂν ξυστραφέντες
2 ἀθρόοι καὶ νῦν ἔτι περιγένοιντο. Συρακόσιοι δὲ μόνοι μάχῃ τε ἤδη πανδημεὶ ἡσσημένοι καὶ ναυσὶν ἅμα κατειργόμενοι ἀδύνατοι ἔσονται τῇ νῦν Ἀθηναίων ἐκεῖ παρασκευῇ ἀντισχεῖν. καὶ εἰ αὕτη ἡ πόλις ληφθήσεται, ἔχεται καὶ ἡ πᾶσα Σικελία καὶ εὐθὺς καὶ Ἰταλία· καὶ ὃν ἄρτι κίνδυνον ἐκεῖθεν προεῖ-
3 πον, οὐκ ἂν διὰ μακροῦ ὑμῖν ἐπιπέσοι. ὥστε μὴ περὶ τῆς Σικελίας τις οἰέσθω μόνον βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς Πελοποννήσου, εἰ μὴ ποιήσετε τάδε ἐν τάχει, στρατιάν τε ἐπὶ νεῶν πέμψετε τοιαύτην ἐκεῖσε οἵτινες αὐτερέται κομισθέντες καὶ ὁπλιτεύσουσιν εὐθύς, καὶ ὃ τῆς στρατιᾶς ἔτι χρησιμώ-

---

22, 130: μία δ' οἴη γίγνετ' ἐφορμή. — ἐντειχισάμενοι, περιτειχίσαντες ἢ φρούρια ἐν τῇ χώρᾳ αὐτῶν ἐπιτειχίσαντες· ὃ καὶ μᾶλλον. (Sch.) Von Circumvallation richtiger Va. u. A. — ὥστε εὐπορώτερον γίγνεσθαι damit leichter ausgeführt würde. (Va.) vgl. 6, 92, 1. — τι αὐτῶν jeder dieser Pläne. vgl. 92, 1. — τὰ προσγενόμενα ἐκεῖθεν χωρία für τὰ ἐκεῖ προσγενόμενα χωρία ἐκεῖθεν. Gr. 50, 8 A. 14.

C. 91. § 1. τὰ ἀκριβέστατα. Ohne Artikel § 5 vgl. 93, 1. S. jedoch zu 1, 19. — οὐ περιέσται, οὐ σωθήσεται. (Sch.) — ξυστραφέντες. zu 6, 77, 1.

§ 2. ἔχεται wird eingenommen werden Va. Im Präsens liegt das Unausbleibliche. — κίνδυνον ἐκεῖθεν Gefahr die von dorther droht. (Va.) — διά. Gr. 68, 22 A. 3.

§ 3. ὥστε μὴ οἰέσθω. Gr. 65, 3 A. 1. vgl. 7, 63, 3. — εἰ μή bezieht sich auf den im Vorhergehenden nur enthaltenen Gedanken: der bedroht sein wird. — πέμψετε exegetisch zu τάδε ποιήσετε. (Pp.) Gr. 59, 1 A. 5. — οἵτινες. Gr. 58, 4 A. 1. — αὐτερέται. zu 1, 10, 6. — καὶ ὁπλιτεύσουσιν nicht bloß als Ruderer sondern auch als Hopliten dienen können. Gr. 53, 7 A. 8. — τῆς στρατιᾶς als das Heer dessen Absendung ich eben empfohlen habe.

τερον εἶναι νομίζω, ἄνδρα Σπαρτιάτην ἄρχοντα, ὡς ἂν τούς τε παρόντας ξυντάξῃ καὶ τοὺς μὴ θέλοντας προσαναγκάσῃ· οὕτω γὰρ οἵ τε ὑπάρχοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον 4 καὶ οἱ ἐνδοιάζοντες ἀδεέστερον προσίασιν. καὶ τὰ ἐνθάδε χρὴ ἅμα φανερώτερον ἐκπολεμεῖν, ἵνα Συρακόσιοί τε νομίζοντες ὑμᾶς ἐπιμελεῖσθαι μᾶλλον ἀντέχωσι καὶ Ἀθηναῖοι τοῖς ἑαυτῶν ἧσσον ἄλλην ἐπικουρίαν πέμπωσιν. τειχίζειν δὲ 5 χρὴ Δεκέλειαν τῆς Ἀττικῆς, ὅπερ Ἀθηναῖοι μάλιστα ἀεὶ φοβοῦνται καὶ μόνου αὐτοῦ νομίζουσι τῶν ἐν τῷ πολέμῳ οὐ διαπεπειρᾶσθαι. βεβαιότατα δ' ἄν τις οὕτω τοὺς πολεμίους βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι· εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι. ἃ δ' ἐν τῇ ἐπιτειχίσει αὐτοὶ ὠφελούμενοι τοὺς 6 ἐναντίους κωλύσετε, πολλὰ παρεὶς τὰ μέγιστα κεφαλαιώσω. οἷς τε γὰρ ἡ χώρα κατεσκεύασται, τὰ πολλὰ πρὸς ὑμᾶς τὰ μὲν ληφθέντα τὰ δ' αὐτόματα ἥξει· καὶ τὰς τοῦ Λαυρίου τῶν ἀργυρείων μετάλλων προσόδους καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν ὠφελοῦνται, εὐθὺς ἀποστερήσονται, μάλιστα δὲ τῆς ἀπὸ τῶν ξυμμάχων προσόδου, ἧσσον διαφορουμένης, οἳ τὰ παρ' ὑμῶν νομίσαντες ἤδη κατὰ κράτος πολεμεῖσθαι ὀλιγωρήσουσιν."

— ὡς ἄν. Gr. 54, 8 A. 4. — τοὺς παρόντας die ſich zum Dienſte geſtellt haben werden.

§ 4. ἐνδοιάζοντες. zu 1, 122, 3. — ἐκπολεμεῖν Krieg anfangen, ſo daß ἐκ ſteht wie unſer aus in ausſchlagen für zuerſt ſchlagen. Verſchieden wäre da Xen. Hell. 5, 4, 20, wo es verfeinden heißen ſoll. vgl. zu 8, 57, 1.

§ 5. τῆς Ἀττικῆς. Gr. 47, 5 A. 5. — μόνου — διαπεπειρᾶσθαι dieſes Bedrängniß, glauben ſie, ſei das einzige von den im Kriege vorkommenden was ſie nicht erfahren hätten. (St.) — αὐτοῦ. Gr. 60, 6 A. 2.

§ 6. κωλύσετε, ὠφελεῖσθαι. (Ps.) Gr. 55, 4 A. 11. — οἷς κατεσκεύασται womit ausgeſtattet iſt. (St.) vgl. 8, 24, 3 u. Kr. zu Xen. An. 1, 9, 19. — μάλιστα δέ, ἀποστερήσονται oder βλαφθήσονται A. Ps., der denn das Folgende als abſoluten Genitiv nimmt. Richtiger nimmt Hertlein einen Wechſel der Conſtruction an. Gr. 47, 13 A. 10. — διαφορουμένης, πεμπομένης, διηνεκῶς φερομένης. (Sch.) Eine ſonſt nicht nachgewieſene Bedeutung. — ὀλιγωρήσουσι, τοῦ φέρειν τοὺς φόρους.

92 „Γίγνεσθαι δέ τι αὐτῶν καὶ ἐν τάχει καὶ προθυμότερον
ἐν ὑμῖν ἐστιν, ὦ Λακεδαιμόνιοι, ἐπεὶ ὥς γε δυνατά — καὶ
οὐχ ἁμαρτήσεσθαι οἶμαι γνώμης — πάνυ θαρσῶ. καὶ χεί-
ρων οὐδενὶ ἀξιῶ δοκεῖν ὑμῶν εἶναι, εἰ τῇ ἐμαυτοῦ μετὰ
τῶν πολεμιωτάτων φιλόπολις ποτε δοκῶν εἶναι νῦν ἐγκρατῶς
ἐπέρχομαι, οὐδὲ ὑποπτεύεσθαί μου ἐς τὴν φυγαδικὴν προ-
2 θυμίαν τὸν λόγον. φυγάς τε γάρ εἰμι τῆς τῶν ἐξελασάντων
πονηρίας καὶ οὐ τῆς ὑμετέρας, ἣν πεισθήσθέ μοι, ὠφελίας·
καὶ πολεμιώτεροι οὐχ οἱ τοὺς πολεμίους που βλάψαντες
ὑμεῖς ἢ οἱ τοὺς φίλους ἀναγκάσαντες πολεμίους γενέσθαι.
τό τε φιλόπολι οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω, ἀλλ' ἐν ᾧ ἀσφα-
3 λῶς ἐπολιτεύθην. οὐδ' ἐπὶ πατρίδα οὖσαν ἔτι ἡγοῦμαι νῦν
ἰέναι, πολὺ δὲ μᾶλλον τὴν οὐκ οὖσαν ἀνακτᾶσθαι. καὶ φι-
λόπολις οὗτος ὀρθῶς, οὐχ ὃς ἂν τὴν ἑαυτοῦ ἀδίκως ἀπο-
λέσας μὴ ἐπίῃ, ἀλλ' ὃς ἂν ἐκ παντὸς τρόπου διὰ τὸ ἐπιθυ-
4 μεῖν πειραθῇ αὐτὴν ἀναλαβεῖν. οὕτως ἐμοί γε ἀξιῶ ὑμᾶς
καὶ ἐς κίνδυνον καὶ ἐς ταλαιπωρίαν πᾶσαν ἀδεῶς χρῆσθαι,
ὦ Λακεδαιμόνιοι, γνόντας τοῦτον δὴ τὸν ὑφ' ἁπάντων προ-

C. 92. § 1. *τῇ ἐμαυτοῦ.* Gr. 43, 3 A. 4. — *ἐγκρατῶς, χαρτερῶς.* (Sch.) — *οὐδέ, ἀξιῶ.* (A. P.) — *μου* gehört zu *λόγον.* Gr. 47, 9 A. 15. — *ἐς* in Bezug auf, als läge eben nur sie zum Grunde.

§ 2. *φυγὰς τῆς ὑμετέρας ὠφελείας, τουτέστιν οὐ φεύγω τὸ ὠφελεῖν ὑμᾶς.* (Sch.) Eine ähnliche Dilogie 3, 13, 2. Der Ge. bei *φυγάς* auch 8, 6, 1. Eu. Med. 706: *Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.* Plat. Alk. β, 142, a: *φυγάδες τῆς πόλεως εἰσιν.* Arr. An. 3, 22, 4: *φυγὰς τῆς αὐτοῦ ἀρχῆς πλανώμενος.* — *οὐχ οἱ.* Eig. mußte für *ἢ οἱ* folgen *ἀλλ' οἱ* oder *καὶ οἱ τοὺς π. βλ., ὑμεῖς, οὐ πολεμιώτεροι ἤ* gesagt werden. (Pp.) Der Gedanke: *οὐχ οὕτως ὑμᾶς ἡγοῦμαι πολεμίους ὡς Ἀθηναίους. ὑμεῖς μὲν γὰρ εἴ τι ἐβλάψατε, ἐχθροὶ ὄντες ἐλυπήσατε, οἱ δ' Ἀθηναῖοι φίλον ὄντα κατηνάγκασαν ἐχθρὸν γενέσθαι.* (Sch.) — *οὐκ ἐν ᾧ, οὐ νῦν ἡνίκα.* (Sch.) Gr. 43, 4 A. 7 u. über *ἀδικοῦμαι* 53, 1 A. 3. — *ἀλλ' ἐν ᾧ, ἀλλὰ τότε εἶχον ὅτε.* Gr. 62, 4 A. 2. — *ἐπολιτεύθην*, activ wie Lys. 26, 5, Isokr. 5, 5. 7, 15. (Pp.) Aesch. 2, 176, Dem. 18, 207, passiv Xen. Mem. 4, 4, 16, Plat. Ges. 693, e.

§ 3. *ἐπὶ πατρίδα οὖσαν, ἐπὶ γῆν ἣ πατρὶς ἐστιν.* — *ἀπολέσας* amissa patria Just. 6, 1, 7. (Bl.) — *ἐπιθυμεῖν αὐτῆς.* (Ba.)

§ 4. *ἐμοί γε. ἐμοί τε* Bk. gegen die Hss. Es entspreche *καὶ αὐτούς* § 5. Jenes ist zu erklären: mir wenigstens, wenn auch nicht allen Verbannten, — *τοῦτον* wird wohl hier das Folgende bezeichnen;

βαλλόμενον λόγον, ὡς εἰ πολέμιός γε ὢν σφόδρα ἔβλαπτον, κἂν φίλος ὢν ἱκανῶς ὠφελοίην, ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα τὰ δ' ὑμέτερα ἥκαζον· καὶ αὐτοὺς νῦν νομίσαντας περὶ μεγίστων δὴ τῶν διαφερόντων βουλεύεσθαι μὴ ἀποκνεῖν τὴν ἐς τὴν Σικελίαν τε καὶ ἐς τὴν Ἀττικὴν στρατείαν, ἵνα τά τε ἐκεῖ βραχεῖ μορίῳ ξυμπαραγενόμενοι μεγάλα σώσητε καὶ Ἀθηναίων τήν τε οὖσαν καὶ τὴν μέλλουσαν δύναμιν καθέλητε, καὶ μετὰ ταῦτα αὐτοί τε ἀσφαλῶς οἰκῆτε καὶ τῆς ἁπάσης Ἑλλάδος ἑκούσης καὶ οὐ βίᾳ κατ' εὔνοιαν δὲ ἡγῆσθε."

Ὁ μὲν Ἀλκιβιάδης τοσαῦτα εἶπεν, οἱ δὲ Λακεδαιμόνιοι 93
διανοούμενοι μὲν καὶ αὐτοὶ πρότερον στρατεύειν ἐπὶ τὰς Ἀθήνας, μέλλοντες δ' ἔτι καὶ περιορώμενοι, πολλῷ μᾶλλον ἐπερρώσθησαν διδάξαντος ταῦτα ἕκαστα αὐτοῦ καὶ νομίσαντες παρὰ τοῦ σαφέστατα εἰδότος ἀκηκοέναι· ὥσιε τῇ ἐπιτειχίσει 2
τῆς Δεκελείας προσεῖχον ἤδη τὸν νοῦν καὶ τὸ παραυτίκα καὶ τοῖς ἐν τῇ Σικελίᾳ πέμπειν τινὰ τιμωρίαν. καὶ Γύλιππον τὸν Κλεανδρίδου προστάξαντες ἄρχοντα τοῖς Συρακοσίοις ἐκέλευον μετ' ἐκείνων καὶ τῶν Κορινθίων βουλευόμενον ποι-

---

denn wo es das Bekannte, Berühmte bedeutet pflegt es nachzustehen. Gr. 51, 7 A. 7. Auch wäre dann δή wohl nicht statthaft. — προβαλλόμενον ist wohl eig. vom Vorhalten der Waffen (Kr. zu Xen. An. 1, 2, 17) übertragen. vgl. Gr. 52, 10 A. 11. — ὡς εἰ ἔβλαπτον. Es steht die Erwähnung des vorliegenden Falles statt des allgemeinen Gedankens ὡς ὅστις ἂν βλάψῃ — ὠφελοίη. — σφόδρα Man könnte σφοδρά vermuthen, wie μεγάλα βλάπτειν üblich ist; doch ähnlich μάλιστα βλάπτειν Isokr. 10, 7, Xen. Hell. 1, 6, 9, μᾶλλον ὠφελεῖν Isokr. 15, 47, μάλιστα ὠφελεῖν Eur. Rhes. 626, πλέον, πλεῖστον ὠφελεῖν Eur. Andr. 679. 681 u. Tem. 4. — ὅσῳ. Gr. 51, 10 A. 5. — ἥκαζον mit Bezug auf die Verstecktheit der Lakedämonier.

§ 5. διαφερόντων Interessen, wie 1, 70, 1. — μὴ ἀποκνεῖν, ἀξιῶ. — ἵνα — σώσητε damit ihr die dortige Macht, mit einem geringen Theile der eurigen zur Hülfe gekommen, einegroße rettet. — καθέλητε. zu 1, 4, 1. — ἡγῆσθε für ἡγήσησθε zwei Hsn. u. die Ald. u. Bas.

C. 93. § 1. περιορώμενοι abwartend. (Ba.) vgl. 103, 2. 4, 73, 1. 7, 33, 2. — ἐπερρώσθησαν wurden ermuthigt. vgl. 3, 6, 1. 7, 2, 3. 7, 3. 17, 2. 8, 106, 4. — διδάξαντος αὐτοῦ καὶ νομίσαντες. Gr. 56, 14 A. 2.

§ 2. τῇ ἐπιτειχίσει. zu 1, 122, 1. — πέμπειν, διενοοῦντο aus προσεῖχον τὸν νοῦν. (Hk.) — τιμωρίαν, βοήθειαν. (Sch.) zu 1, 25, 1. — τοῖς Συρακοσίοις für die S. Gr. 47, 20 A. 2. — μάλιστα am bedeutendsten. κάλλιστα eine Hs. — μετ' ἐκείνων mit den syrakosischen Gesandten die zu Sparta anwesend waren.

εἶν ὅπῃ ἐκ τῶν παρόντων μάλιστα καὶ τάχιστά τις ὠφελία
3 ἥξει τοῖς ἐκεῖ. ὁ δὲ δύο μὲν ναῦς τοὺς Κορινθίους ἤδη ἐκέλευέν οἱ πέμπειν ἐς Ἄσίνην, τὰς δὲ λοιπὰς παρασκευάζεσθαι ὅσας διανοοῦνται πέμπειν, καὶ ὅταν καιρὸς ᾖ, ἑτοίμας εἶναι πλεῖν. ταῦτα δὲ ξυνθέμενοι ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος.

4 Ἀφίκετο δὲ καὶ ἡ ἐκ τῆς Σικελίας τριήρης τῶν Ἀθηναίων ἣν ἀπέστειλαν οἱ στρατηγοὶ ἐπί τε χρήματα καὶ ἱππέας. καὶ οἱ Ἀθηναῖοι ἀκούσαντες ἐψηφίσαντο τήν τε τροφὴν πέμπειν τῇ στρατιᾷ καὶ τοὺς ἱππέας. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἕβδομον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

94 Ἅμα δὲ τῷ ἦρι εὐθὺς ἀρχομένῳ τοῦ ἐπιγιγνομένου θέρους οἱ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι ἄραντες ἐκ τῆς Κατάνης παρέπλευσαν ἐπὶ Μεγάρων τῶν ἐν τῇ Σικελίᾳ, οὓς ἐπὶ Γέ-
λωνος τοῦ τυράννου, ὥσπερ καὶ πρότερόν μοι εἴρηται, ἀνα-
2 στήσαντες Συρακόσιοι αὐτοὶ ἔχουσι τὴν γῆν. ἀποβάντες δὲ ἐδῄωσαν τούς τε ἀγροὺς καὶ ἐλθόντες ἐπὶ ἔρυμά τι τῶν Συρακοσίων καὶ οὐχ ἑλόντες αὖθις καὶ πεζῇ καὶ ναυσὶ παρακομισθέντες ἐπὶ τὸν Τηρέαν ποταμὸν τό τε πεδίον ἀναβάντες
3 ἐδῄουν καὶ τὸν σῖτον ἐνεπίμπρασαν, καὶ τῶν Συρακοσίων περιτυχόντες τισὶν οὐ πολλοῖς καὶ ἀποκτείναντές τέ τινας καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν ἐπὶ τὰς ναῦς. καὶ ἀποπλεύσαντες ἐς Κατάνην, ἐκεῖθεν δὲ ἐπισιτισάμενοι πάσῃ τῇ στρατιᾷ ἐχώρουν ἐπὶ Κεντόριπα, Σικελῶν πόλισμα, καὶ προσαγαγόμενοι ὁμολογίᾳ ἀπῆεσαν, πιμπράντες ἅμα τὸν σῖτον τῶν τε Ἰνησσαίων καὶ τῶν Ὑβλαίων. καὶ ἀφικόμενοι ἐς Κατάνην καταλαμβάνουσι τούς τε ἱππέας ἥκοντας ἐκ τῶν Ἀθηνῶν πεντήκοντα καὶ διακοσίους ἄνευ τῶν ἵππων μετὰ σκευῆς, ὡς

---

§ 3. *ἀνεχώρουν.* *ἀπεχώρουν* Pp.

§ 4. *τήν τε τροφήν* die Verpflegungsgelder. (Ds.) Der Artikel weist auf 6, 74, 2 zurück.

C. 94. § 1. *τῶν ἐν τῇ Σικελίᾳ* könnte Glossem sein. — *οὓς.* Gr. 58, 4 A. 1. — *πρότερον* 6, 4, 2. vgl. 49, 3. (Hk.)

§ 2. *τούς τε* für *τε τούς* Ba. In einigen Hs. fehlt *τέ.*

§ 3. *τισὶν οὐ πολλοῖς*, wie 7, 1, 4 u. 8, 70, 2. (Pp.) Gr. 51, 16 A. 4.

αὐτόθεν ἵππων πορισθησομένων καὶ ἱπποτοξότας τριάκοντα καὶ τάλαντα ἀργυρίου τριακόσια.

Τοῦ δ' αὐτοῦ ἦρος καὶ ἐπ' Ἄργος στρατεύσαντες Λακε- 95
δαιμόνιοι μέχρι μὲν Κλεωνῶν ἦλθον, σεισμοῦ δὲ γενομένου ἀπεχώρησαν. καὶ Ἀργεῖοι μετὰ ταῦτα ἐσβαλόντες ἐς τὴν Θυρεᾶτιν, ὅμορον οὖσαν, λείαν τῶν Λακεδαιμονίων πολλὴν ἔλαβον, ἧ ἐπράθη ταλάντων οὐκ ἔλασσον πέντε καὶ εἴκοσι. καὶ ὁ Θεσπιέων δῆμος ἐν τῷ αὐτῷ θέρει, οὐ πολὺ ὕστερον, ἐπιθέμενος τοῖς τὰς ἀρχὰς ἔχουσιν οὐ κατέσχεν, ἀλλὰ βοηθησάντων Θηβαίων οἱ μὲν ξυνελήφθησαν οἱ δ' ἐξέπεσον Ἀθήναζε.

Καὶ οἱ Συρακόσιοι τοῦ αὐτοῦ θέρους, ὡς ἐπύθοντο 96
τούς τε ἱππέας ἥκοντας τοῖς Ἀθηναίοις καὶ μέλλοντας ἤδη ἐπὶ σφᾶς ἰέναι, νομίσαντες, ἐὰν μὴ τῶν Ἐπιπολῶν κρατήσωσιν οἱ Ἀθηναῖοι, χωρίου ἀποχρήμνου τε καὶ ὑπὲρ τῆς πόλεως εὐθὺς κειμένου, οὐκ ἂν ῥᾳδίως σφᾶς, οὐδ' εἰ κρατοῖντο, μάχῃ ἀποτειχισθῆναι, διενοοῦντο τὰς προσβάσεις αὐτῶν φυλάσσειν, ὅπως μὴ κατὰ ταῦτα λάθωσι σφᾶς ἀναβάντες οἱ πολέμιοι· οὐ γὰρ ἂν ἄλλῃ γε αὐτοὺς δυνηθῆναι. 2
ἐξήρτηταί γὰρ τὸ ἄλλο χωρίον καὶ μέχρι τῆς πόλεως ἐπικλινές τ' ἐστὶ καὶ ἐπιφανὲς πᾶν εἴσω· καὶ ὠνόμασται ὑπὸ τῶν Συρακοσίων διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι Ἐπιπολαί. καὶ 3

C. 95. οὐ κατέσχεν bemächtigte ſich derſelben nicht oder erlangte nicht was es wollte. (St.) — Θηβαίων für Ἀθηναίων einige Hſn. vgl. 4, 133, 1. — ἐξέπεσον, ἐξελθόντες ἔφυγον. (Sch.)

C. 96. § 1. εὐθύς gleich, indem der Betrachter als aus der Stadt kommend gedacht wird. vgl. 7, 22, 3. 8, 90, 4 u. Ar. Frö. 136: ἀλλ' ὁ πλοῦς πολύς. εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἧξεις πάνυ ἄβυσσον. — σφᾶς, τοὺς Συρακουσίους. (Sch.) Auch hier hätte Bk. σφεῖς vermuthen können. (Pp.) zu 3, 111, 2. — προσβάσεις, ἐφόδους. (Sch.) vgl. 7, 45, 1. — ταῦτα für ταύτας die beſten Hſn.

§ 2. δυνηθῆναι, ἐνόμιζον aus διενοοῦντο. vgl. 4, 3, 2. (Pp.) Gr. 65, 11 A. 7. Ueber die Ergänzung des ἀναβῆναι. Gr. 55, 4 A. 11. — ἐξήρτηται, ὑψηλόν ἐστι καὶ χρημνώδες. (Sch.) Die Erklärung paßt nur auf ἐξῆρται. (Kr.) Der Sinn aber wird ſein: die übrige Gegend ſchließt ſich an die ſteilen Anhöhen von Epipolä an, ſo daß ſie von ihnen beherrſcht wird. Bl. vergleicht Plut. Ant. 46: τὰ μεγάλα πεδία τῶν λόφων τούτων ἐξήρτηται. — ἐπικλινές abgedacht. (Va.) — εἴσω nach innen zu. (Va.) — ἐπιπολῆς ἐπάνω Mōris, oberhalb, iſt bei den ältern Schriftſtellern Adverbium. Lob. z. Phryn. p. 126 s.

οἱ μὲν ἐξελθόντες πανδημεὶ ἐς τὸν λειμῶνα παρὰ τὸν Ἄνα-
πον ποταμὸν ἅμα τῇ ἡμέρᾳ — ἐτύγχανον γὰρ αὐτοῖς καὶ οἱ
περὶ τὸν Ἑρμοκράτην στρατηγοὶ ἄρτι παρειληφότες τὴν ἀρχήν
— ἐξέτασίν τε ὅπλων ἐποιοῦντο καὶ ἑξακοσίους λογάδας τῶν
ὁπλιτῶν ἐξέκριναν πρότερον, ὧν ἦρχε Διόμιλος, φυγὰς ἐξ
Ἄνδρου, ὅπως τῶν τε Ἐπιπολῶν εἶησαν φύλακες καὶ ἢν ἐς
97 ἄλλο τι δέῃ, ταχὺ ξυνεσιῶτες παραγίγνωνται. οἱ δὲ Ἀθη-
ναῖοι ταύτης τῆς νυκτὸς τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ ἐξητάζοντο,
καὶ ἕλαθον αὐτοὺς παντὶ ἤδη τῷ στρατεύματι ἐκ τῆς Κατάνης
σχόντες κατὰ τὸν Λέοντα καλούμενον, ὃς ἀπέχει τῶν Ἐπι-
πολῶν ἑξ ἢ ἑπτὰ σταδίους, καὶ τοὺς πεζοὺς ἀποβιβάσαντες,
2 ταῖς τε ναυσὶν ἐς τὴν Θάψον καθορμισάμενοι· ἔστι δὲ χερ-
σόνησος μὲν ἐν στενῷ προὔχουσα ἐς τὸ πέλαγος, τῆς δὲ Συ-
ρακοσίων πόλεως οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει. καὶ
ὁ μὲν ναυτικὸς στρατὸς τῶν Ἀθηναίων ἐν τῇ Θάψῳ δια-
σταυρωσάμενος τὸν ἰσθμὸν ἡσύχαζεν· ὁ δὲ πεζὸς ἐχώρει
εὐθὺς δρόμῳ πρὸς τὰς Ἐπιπολὰς καὶ φθάνει ἀναβὰς κατὰ
τὸν Εὐρύηλον πρὶν τοὺς Συρακοσίους αἰσθομένους ἐκ τοῦ
3 λειμῶνος καὶ τῆς ἐξετάσεως παραγενέσθαι. ἐβοήθουν δὲ οἵ
τε ἄλλοι, ὡς ἕκαστος τάχους εἶχεν, καὶ οἱ περὶ τὸν Διόμιλον
ἑξακόσιοι· στάδιοι δὲ πρὶν προσμῖξαι ἐκ τοῦ λειμῶνος ἐγί-
γνοντο αὐτοῖς οὐκ ἔλασσον ἢ πέντε καὶ εἴκοσι. προσπεσόντες
οὖν αὐτοῖς τοιούτῳ τρόπῳ ἀτακτότερον καὶ μάχῃ νικηθέντες
οἱ Συρακόσιοι ἐπὶ ταῖς Ἐπιπολαῖς ἀνεχώρησαν ἐς τὴν πόλιν·
καὶ ὅ τε Διόμιλος ἀποθνήσκει καὶ τῶν ἄλλων ὡς τριακόσιοι.

---

§ 3. *παρὰ τόν. τὸν παρὰ τόν* Kr. Die Präpoſition mit *ἐποι-
οῦντο* zu verbinden würde wegen der Parentheſe hart ſein; auch bedarf
der vorhergehende Artikel einer Beſtimmung. — *ἐξέτασιν ὅπλων.* zu
4, 74, 3. — *οἱ περὶ τόν* 6, 73. — *ἑξακοσίους* für *ἑπτακοσίους* Va. u.
Ar. Ps. vgl. 6, 97, 3. 7, 43, 4. — *ταχύ* gehört zu *παραγίγνωνται.* (Sch.)
— *ξυνεστῶτες, διὰ τὸ ξυνεσιάναι.* (Sch.) über den Ausdruck Kr. zu
Xen. An. 7, 6, 26. — *εἶησαν καὶ παραγίγνωνται.* Gr. 54,
8 A. 3.

C. 97. § 1. *ταύτης τῆς ἡμέρας.* Plat. Geſ. 767: *ταύτης τῆς
ἡμέρας τῇ πρόσθεν πάντας χρὴ τοὺς ἄρχοντας συνελθεῖν.* Her. 6, 40:
τρίτῳ ἔτει τούτων ἔφευγε. vgl. eb. 46 u. 7, 80. — *τῇ, ᾗ τῇ* Pp., *οἱ Συ-
ρακόσιοι* zu *ἐξητάζοντο* ergänzend. — *ταῖς τε. ταῖς δέ* Kr.

§ 2. *προὔχουσα*, wie 7, 4, 4.

§ 3. *τάχους.* Gr. 47, 10 A. 5. — *ἐγίγνοντο αὐτοῖς* ſie
hatten zurückzulegen. (Hl.) vgl. 6, 101, 1.

καὶ μετὰ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖόν τε στήσαντες καὶ τοὺς 4
νεκροὺς ὑποσπόνδους ἀποδόντες τοῖς Συρακοσίοις, πρὸς τὴν
πόλιν αὐτὴν τῇ ὑστεραίᾳ ἐπικαταβάντες, ὡς οὐκ ἐπεξῆεσαν
αὐτοῖς, ἐπαναχωρήσαντες φρούριον ἐπὶ τῷ Λαβδάλῳ ᾠκοδό-
μησαν, ἐπ' ἄκροις τοῖς χρημνοῖς τῶν Ἐπιπολῶν, ὁρῶν πρὸς
τὰ Μέγαρα, ὅπως εἴη αὐτοῖς, ὁπότε προΐοιεν ἢ μαχούμενοι
ἢ τειχιοῦντες, τοῖς τε σκεύεσι καὶ τοῖς χρήμασιν ἀποθήκη.

Καὶ οὐ πολλῷ ὕστερον αὐτοῖς ἦλθον ἔκ τε Ἐγέστης ἱπ- 98
πῆς τριακόσιοι καὶ Σικελῶν καὶ Ναξίων καὶ ἄλλων τινῶν
ὡς ἑκατόν· καὶ Ἀθηναίων ὑπῆρχον πεντήκοντα καὶ διακό-
σιοι, οἷς ἵππους τοὺς μὲν παρ' Ἐγεσταίων καὶ Καταναίων
ἔλαβον τοὺς δ' ἐπρίαντο, καὶ ξύμπαντες πεντήκοντα καὶ ἑξα-
κόσιοι ἱππῆς ξυνελέγησαν. καὶ καταστήσαντες ἐν τῷ Λα- 2
βδάλῳ φυλακὴν ἐχώρουν πρὸς τὴν Συκῆν οἱ Ἀθηναῖοι, ἵνα
περ καθεζόμενοι ἐτείχισαν τὸν κύκλον διὰ τάχους. καὶ ἔκ-
πληξιν τοῖς Συρακοσίοις παρέσχον τῷ τάχει τῆς οἰκοδομίας·
καὶ ἐπεξελθόντες μάχην διενοοῦντο ποιεῖσθαι καὶ μὴ πε-
ριορᾶν. καὶ ἤδη ἀντιπαρατασσομένων ἀλλήλοις οἱ τῶν Συ- 3
ρακοσίων στρατηγοὶ ὡς ἑώρων σφίσι τὸ στράτευμα διεσπα-
σμένον τε καὶ οὐ ῥᾳδίως ξυντασσόμενον, ἀνήγαγον πάλιν ἐς
τὴν πόλιν πλὴν μέρους τινὸς τῶν ἱππέων· οὗτοι δὲ ὑπομέ- 4
νοντες ἐκώλυον τοὺς Ἀθηναίους λιθοφορεῖν τε καὶ ἀποσκί-
δνασθαι μακροτέραν. καὶ τῶν Ἀθηναίων φυλὴ μία τῶν
ὁπλιτῶν καὶ οἱ ἱππῆς μετ' αὐτῶν πάντες ἐτρέψαντο τοὺς τῶν
Συρακοσίων ἱππέας προσβαλόντες, καὶ ἀπέκτειναν τέ τινας
καὶ τροπαῖον τῆς ἱππομαχίας ἔστησαν.

---

§ 4. ὁρῶν, zu 6, 75, 1. — προΐοιεν für προσΐοιεν Fr. Ps.

C. 98. § 1. ἱππῆς ist nach Va. u. einer Hs. hinzugefügt.

§ 2. ἐτείχισαν vom Anfange. Gr. 53, 5 A. 1. — τὸν κύκλον die kreisförmige Belagerungsmauer, hier um Syke. (Dict.) vgl. 6, 99, 1. 3. 101, 1. 102, 1. 2. 3. Der Artikel ist hier deiktisch: die welche eben aufgeführt wurde. — μὴ περιορᾶν, τὴν οἰκοδομίαν.

§ 3. ἀντιπαρατασσομένων gehört zu ἑώρων, nicht zu ἤγαγον. — ῥᾳδίως, wie 7, 3, 2.

§ 4. φυλὴ μία, ἓν τάγμα ἀπὸ φυλῆς μιᾶς (Sch.) — τῆς ἱππομαχίας. Gr. 47, 7 A. 3. vgl. zu 2, 82.

99 Καὶ τῇ ὑστεραίᾳ οἱ μὲν ἐτείχιζον τῶν Ἀθηναίων τὸ
πρὸς βορέαν τοῦ κύκλου τεῖχος, οἱ δὲ λίθους καὶ ξύλα ξυμ-
φοροῦντες παρέβαλλον ἐπὶ τὸν Τρωγίλον καλούμενον, ἀεὶ
ᾗπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου λιμένος ἐπὶ
2 τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα. οἱ δὲ Συρακόσιοι οὐχ
ἥκιστα Ἑρμοκράτους τῶν στρατηγῶν ἐσηγησαμένου μάχαις
μὲν πανδημεὶ πρὸς Ἀθηναίους οὐκέτι ἐβούλοντο διακιν δυ-
νεύειν, ὑποτειχίζειν δὲ ἄμεινον ἐδόκει εἶναι ἢ ἐκεῖνοι ἔμελ-
3 λον ἄξειν τὸ τεῖχος, καὶ εἰ φθάσειαν, ἀποκλήσεις γίγνεσθαι,
καὶ ἅμα καὶ ἐν τούτῳ εἰ ἐπιβοηθοῖεν, μέρος ἀντιπέμπειν
αὐτοὶ τῆς στρατιᾶς καὶ φθάνειν ἂν τοῖς σταυροῖς προκατα-
λαμβάνοντες τὰς ἐφόδους, ἐκείνους δὲ ἂν παυομένους τοῦ
4 ἔργου πάντας ἂν πρὸς σφᾶς τρέπεσθαι. ἐτείχιζον οὖν ἐξελ-
θόντες ἀπὸ τῆς σφετέρας πόλεως ἀρξάμενοι, κάτωθεν τοῦ
κύκλου τῶν Ἀθηναίων ἐγκάρσιον τεῖχος ἄγοντες, τάς τε
ἐλάας ἐκκόπτοντες τοῦ τεμένους καὶ πύργους ξυλίνους καθι-
στάντες. αἱ δὲ νῆες τῶν Ἀθηναίων οὔπω ἐκ τῆς Θάψου
περιεπεπλεύκεσαν ἐς τὸν μέγαν λιμένα, ἀλλ' ἔτι οἱ Συρακό-
σιοι ἐκράτουν τῶν περὶ τὴν θάλασσαν, κατὰ γῆν δ' ἐκ τῆς
Θάψου οἱ Ἀθηναῖοι τὰ ἐπιτήδεια ἐπήγοντο.

C. 99. § 1. τοῦ κύκλου könnte von τὸ πρὸς Βορέαν abhängen: die nördlich von der Circumvallation gelegene Mauer (zu 2, 96, 4); allein es kann auch partitiv stehen: von der Circumvallation die gegen Norden gelegene Mauer, was die Stellung nicht hindert. — παρέβαλλον warfen neben einander, in einer Reihe. (Hl.) vgl. 7, 2, 5. 5, 1. So παρώρυσσον 6, 101, 1. Mehrere und gute Hss. παρέβαλον, erklärlich wie ἐτείχισαν 6, 98, 2. — καλούμενον ἀεί, ᾗπερ interpungiren Bk. u. Pp. — ἐγίγνετο, ἔμελλεν ἔσεσθαι. (Sch.) zu 6, 97, 3.

§ 2. 3. Ἑρμοκράτους τῶν στρατηγῶν da von den Strategen Hermokrates. Gr. 47, 9 A. 1. — ὑποτειχίζειν. οἱ Συρακόσιοι ὄρθιον τεῖχος διὰ μέσου τοῦ ἰσθμώδους ὑπετείχιζον, κώλυμα ἐσόμενον τοῖς Ἀθηναίοις τοῦ δύνασθαι διατειχίσαι. (Sch.) — φθάσειαν, ὑποτειχίσαντες. (A. Ps.) — γίγνεσθαι erg. ἐδόκει, daß gemacht werden müßten. Gr. 55, 3 A. 15. — ἐπιβοηθοῖεν, οἱ Ἀθηναῖοι. — αὐτοί für αὐτούς Arn. αὐτοῖς Bk. — φθάνειν ἄν. φθάνειν αὐτοί eine gute Hs. — τοῖς σταυροῖς mit ihren Palliſaden. — τὰς ἐφόδους, τὰ βάσιμα. (Sch.) vgl. zu 1, 6, 1. —

§ 4. τοῦ τεμένους des Apollon Temenites.

Ἐπειδὴ δὲ τοῖς Συρακοσίοις ἀρχούντως ἐδόκει ἔχειν 100
ὅσα τε ἐσταυρώθη καὶ ᾠκοδομήθη τοῦ ὑποτειχίσματος, καὶ
οἱ Ἀθηναῖοι αὐτοὺς οὐκ ἤλθον κωλύσοντες, φοβούμενοι μὴ
σφίσι δίχα γιγνομένοις ῥᾷον μάχωνται, καὶ ἅμα τὴν καθ' αὑ-
τοὺς περιτείχισιν ἐπειγόμενοι, οἱ μὲν Συρακόσιοι φυλὴν μίαν
καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος ἀνεχώρησαν ἐς τὴν
πόλιν, οἱ δὲ Ἀθηναῖοι τούς τε ὀχετοὺς αὐτῶν, οἳ ἐς τὴν
πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, διέφθειραν,
καὶ τηρήσαντες τούς τε ἄλλους Συρακοσίους κατὰ σκηνὰς
ὄντας ἐν μεσημβρίᾳ καί τινας καὶ ἐς τὴν πόλιν ἀποχεχωρη-
κότας καὶ τοὺς ἐν τῷ σταυρώματι ἀμελῶς φυλάσσοντας,
τριακοσίους μὲν σφῶν αὐτῶν λογάδας καὶ τῶν ψιλῶν τινας
ἐκλεκτοὺς ὡπλισμένους προὔταξαν θεῖν δρόμῳ ἐξαπιναίως
πρὸς τὸ ὑποτείχισμα, ἡ δ' ἄλλη στρατιὰ δίχα, ἡ μὲν μετὰ 2
τοῦ ἑτέρου στρατηγοῦ πρὸς τὴν πόλιν, εἰ ἐπιβοηθοῖεν, ἐχώ-
ρουν, ἡ δὲ μετὰ τοῦ ἑτέρου πρὸς τὸ σταύρωμα τὸ παρὰ τὴν
πυλίδα. καὶ προσβαλόντες οἱ τριακόσιοι αἱροῦσι τὸ σταύ-
ρωμα· καὶ οἱ φύλακες αὐτὸ ἐκλιπόντες κατέφυγον ἐς τὸ
προτείχισμα τὸ περὶ τὸν Τεμενίτην. καὶ αὐτοῖς ξυνεσέπεσον 3
οἱ διώκοντες καὶ ἐντὸς γενόμενοι βίᾳ ἐξεκρούσθησαν πάλιν
ὑπὸ τῶν Συρακοσίων, καὶ τῶν Ἀργείων τινὲς αὐτόθι καὶ
τῶν Ἀθηναίων οὐ πολλοὶ διεφθάρησαν. καὶ ἐπαναχωρήσασα
ἡ πᾶσα στρατιὰ τήν τε ὑποτείχισιν καθεῖλον καὶ τὸ σταύρωμα
ἀνέσπασαν καὶ διεφόρησαν τοὺς σταυροὺς παρ' ἑαυτοὺς καὶ
τροπαῖον ἔστησαν.

Τῇ δ' ὑστεραίᾳ ἀπὸ τοῦ κύκλου ἐτείχιζον οἱ Ἀθηναῖοι 101

C. 100, § 1. ὅσα τε als ob folgen sollte καὶ ὅσα ᾠκοδομήθη. — δίχα. Gr. 62, 2 A. 4. vgl. zu 1, 64, 1. — τὴν περιτείχισιν ἐπειγόμενοι. Gr. 46, 6 A. 3. vgl. zu 3, 2, 2. — ὑπονομηδόν, διὰ ὑπονόμων καὶ σωλήνων. (Sch.) — ποτοῦ ὕδατος hängt von οἳ ab, in sofern dies die ὀχετούς vertritt. Gr. 47, 9 A. 5. vgl. 8 A. 4. — τηρήσαντες — ὄντας. vgl. 1, 134, 2. 2, 83, 2. 8, 108, 3 u. Gr. 56, 7 A. 2. — θεῖν δρόμῳ. zu 3, 111, 1.

§ 2. τήν die den der Localität Kundigen bekannte.

§ 3. τὴν ὑποτείχισιν das οἰκοδόμημα oder ἐγκάρσιον τεῖχος. (Dibot.)

C. 101. § 1. ἀπὸ τοῦ κύκλου heißt wohl von dem schon fertigen Theile der Belagerungsmauer aus; wenn hier nicht

τὸν χρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους, ὃς τῶν Ἐπιπολῶν ταύτῃ πρὸς τὸν μέγαν λιμένα ὁρᾷ καὶ ἧπερ αὐτοῖς βραχύτατον ἐγίγνετο καταβᾶσι διὰ τοῦ ὁμαλοῦ καὶ τοῦ ἕλους ἐς τὸν λιμένα τὸ περιτείχισμα. καὶ οἱ Συρακόσιοι ἐν τούτῳ ἐξελθόντες καὶ αὐτοὶ ἀπεσταύρουν αὖθις ἀρξάμενοι ἀπὸ τῆς πόλεως διὰ μέσου τοῦ ἕλους· καὶ τάφρον ἅμα παρώρυσσον, ὅπως μὴ οἷόν τε ᾖ τοῖς Ἀθηναίοις μέχρι τῆς θαλάσσης
2 ἀποτειχίσαι. οἱ δ', ἐπειδὴ τὸ πρὸς τὸν χρημνὸν αὐτοῖς ἐξείργαστο, ἐπιχειροῦσιν αὖθις τῷ τῶν Συρακοσίων σταυρώματι καὶ τάφρῳ, τὰς μὲν ναῦς κελεύσαντες περιπλεῦσαι ἐκ τῆς Θάψου ἐς τὸν μέγαν λιμένα τὸν τῶν Συρακοσίων, αὐτοὶ δὲ περὶ ὄρθρον καταβάντες ἀπὸ τῶν Ἐπιπολῶν ἐς τὸ ὁμαλὸν καὶ διὰ τοῦ ἕλους, ᾗ πηλῶδες ἦν καὶ στεριφώτατον, θύρας καὶ ξύλα πλατέα ἐπιθέντες καὶ ἐπ' αὐτῶν διαβαδίσαντες, αἱροῦσιν ἅμα ἕῳ τό τε σταύρωμα πλὴν ὀλίγου καὶ
3 τὴν τάφρον, καὶ ὕστερον καὶ τὸ ὑπολειφθὲν εἷλον. καὶ μάχη ἐγένετο καὶ (ἐν αὐτῇ) ἐνίκων οἱ Ἀθηναῖοι· καὶ τῶν Συρακοσίων οἱ μὲν τὸ δεξιὸν κέρας ἔχοντες πρὸς τὴν πόλιν ἔφυγον, οἱ δ' ἐπὶ τῷ εὐωνύμῳ παρὰ τὸν ποταμόν. καὶ αὐτοὺς βουλόμενοι ἀποκλῄσασθαι τῆς διαβάσεως οἱ τῶν Ἀθηναίων τριακόσιοι λογάδες δρόμῳ ἠπείγοντο πρὸς τὴν γέφυραν.
4 δείσαντες δὲ οἱ Συρακόσιοι — ἦσαν γὰρ καὶ τῶν ἱππέων αὐτοῖς οἱ πολλοὶ ἐνταῦθα — ὁμόσε χωροῦσι τοῖς τριακοσίοις τούτοις, καὶ τρέπουσί τε αὐτοὺς καὶ ἐσβάλλουσιν ἐς τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων· καὶ προσπεσόντων αὐτῶν ξυνε-
5 φοβήθη καὶ ἡ πρώτη φυλὴ τοῦ κέρως. ἰδὼν δὲ ὁ Λάμαχος

---

ursprünglich ein Eigenname stand. — τῶν Ἐπιπολῶν hängt von ταύτῃ ab. — ἧπερ — ἐγίγνετο. zu 6, 97, 3. — αὖθις, nachdem es niedergerissen war 6, 100, 3. (Ds.) — παρώρυσσον. zu 6, 99, 1.

§ 2. τὸ πρὸς τὸν χρημνόν das an dem Felsen hin aufgeführte Werk? — αὖθις, wie 100, 2. — τὸν τῶν Συρακοσίων ist wegen der Erwähnung von Thapsos hinzugefügt. — διὰ τοῦ ἕλους ist mit ἐπιθέντες zu verbinden. (Va.) — ᾗ πηλῶδες wo es, die Localität, sumpfig war. Gr. 43, 4 A. 13. vgl. 7, 84, 3. — καὶ ὕστερον καὶ τό für καὶ τό eine Hs. u. Va.

§ 3. ἔφυγον. ἔφευγον eine Hs. — παρά längs. (Bd.)

§ 4. ξυνεφοβήθη. Ein seltenes Wort, von Dio C. nachgebraucht. (Bl.) — φυλή für φυλακή Dr. cohors Va.

παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν μετὰ τοξοτῶν τε οὐ πολλῶν καὶ τοὺς Ἀργείους παραλαβών, καὶ ἐπιδιαβὰς τάφρον τινὰ καὶ μονωθεὶς μετ' ὀλίγων τῶν ξυνδιαβάντων ἀποθνήσκει αὐτός τε καὶ πέντε ἢ ἓξ τῶν μετ' αὐτοῦ. καὶ τούτους μὲν οἱ Συρακόσιοι εὐθὺς κατὰ τάχος φθάνουσιν ἁρπάσαντες πέραν τοῦ ποταμοῦ ἐς τὸ ἀσφαλές, αὐτοὶ δὲ ἐπιόντος ἤδη καὶ τοῦ ἄλλου στρατεύματος τῶν Ἀθηναίων ἀπεχώρουν. ἐν τούτῳ δὲ οἱ πρὸς τὴν πόλιν αὐτῶν τὸ πρῶ- 102
τον καταφυγόντες ὡς ἑώρων ταῦτα γιγνόμενα, αὐτοί τε πάλιν ἀπὸ τῆς πόλεως ἀναθαρσήσαντες ἀντετάξαντο πρὸς τοὺς κατὰ σφᾶς Ἀθηναίους, καὶ μέρος τι αὐτῶν πέμπουσιν ἐπὶ τὸν κύκλον τὸν ἐπὶ ταῖς Ἐπιπολαῖς, ἡγούμενοι ἐρῆμον αἱρήσειν. καὶ τὸ μὲν δεκάπλεθρον προτείχισμα αὐτῶν αἱροῦσι καὶ δι- 2
επόρθησαν, αὐτὸν δὲ τὸν κύκλον Νικίας διεκώλυσεν — ἔτυχε γὰρ ἐν αὐτῷ δι' ἀσθένειαν ὑπολελειμμένος· — τὰς γὰρ μηχανὰς καὶ ξύλα ὅσα πρὸ τοῦ τείχους ἦν καταβεβλημένα, ἐμπρῆσαι τοὺς ὑπηρέτας ἐκέλευσεν, ὡς ἔγνω ἀδυνάτους ἐσομένους ἐρημίᾳ ἀνδρῶν ἄλλῳ τρόπῳ περιγενέσθαι. καὶ ξυνέβη οὕτως· οὐ γὰρ ἔτι προσῆλθον οἱ Συρακόσιοι διὰ τὸ 3
πῦρ, ἀλλ' ἀπεχώρουν πάλιν. καὶ γὰρ πρὸς τε τὸν κύκλον βοήθεια ἤδη κάτωθεν τῶν Ἀθηναίων ἀποδιωξάντων τοὺς ἐκεῖ ἐπανῄει, καὶ αἱ νῆες ἅμ' αὐτῶν ἐκ τῆς Θάψου, ὥσπερ εἴρητο, κατέπλεον ἐς τὸν μέγαν λιμένα. ἃ ὁρῶντες οἱ ἄνωθεν κατὰ τάχος ἀπῄεσαν καὶ ἡ ξύμπασα στρατιὰ τῶν Συρα-

---

§ 5. ἑαυτῶν. Gr. 58, 4 A. 3. — μετὰ — καὶ παραλαβών. Gr. 59, 2 A. 3 u. zu 1, 26, 3. — ἐπιδιαβάς, ἐπιὼν διαβάς. (Bl.) — μονωθείς. Her. 6, 15: μετ' ὀλίγων ξυμμάχων μεμουνωμένοι.

C. 102. § 1. αὐτῶν ist partitiv von οἱ καταφυγόντες regiert. (Ps.) — αὑτῶν für αὐτῶν Bk., suorum Ba. — τὸν κύκλον 6, 98, 2. 99, 1. (Didot.)

§ 2. τὸ μέν gehört eigentlich nur zu προτείχισμα: τὸ μὲν προτείχισμα δεκάπλεθρον ὄν. — διεκώλυσεν, αἱρεθῆναι καὶ διαπορθηθῆναι. (Ba.) Gr. 55, 4 A. 11.

§ 3. ξυνέβη οὕτως dieses hatte die gehoffte Wirkung. (Hl.) περιγενέσθαι ergänzt Ba.: ut servaretur. — ἀποδιωξάντων. ἀποδιωξόντων viele u. gute Hsn., womit das ἀπο — nicht recht stimmt. zu 3, 108, 2.

§ 4. εἴρητο geheißen war, ihren Verhaltungsbefehlen gemäß. (Hl.) vgl. 4, 111, 2. 5, 10, 7. 8, 22, 1; öfter mit hinzugefügtem Dativ. — οἱ ἄνωθεν, ἄνωθεν οἱ ἄνω. Gr. 50, 8 A. 15. — ἀπῄεσαν. ἐπῄεσαν die besten Hsn.

κοσίων ἐς τὴν πόλιν, νομίσαντες μὴ ἂν ἔτι ἀπὸ τῆς παρούσης σφίσι δυνάμεως ἱκανοὶ γενέσθαι κωλῦσαι τὸν ἐπὶ τὴν θάλασσαν τειχισμόν.

103 Μετὰ δὲ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Συρακοσίοις καὶ τοὺς μετὰ Λαμάχου καὶ αὐτὸν ἐκομίσαντο. καὶ παρόντος ἤδη σφίσι παντὸς τοῦ στρατεύματος καὶ τοῦ ναυτικοῦ καὶ τοῦ πεζοῦ, ἀπὸ τῶν Ἐπιπολῶν καὶ τοῦ κρημνώδους ἀρξάμενοι ἀπετείχιζον μέχρι τῆς θαλάσσης τείχει διπλῷ τοὺς Συρακοσίους. τὰ δ' ἐπιτήδεια τῇ στρατιᾷ ἐσήγετο ἐκ τῆς Ἰταλίας
2 πανταχόθεν. ἦλθον δὲ καὶ τῶν Σικελῶν πολλοὶ ξύμμαχοι τοῖς Ἀθηναίοις, οἳ πρότερον περιεωρῶντο, καὶ ἐκ τῆς Τυρσηνίας νῆες πεντηκόντοροι τρεῖς. καὶ τἆλλα προὐχώρει αὐτοῖς ἐς ἐλπίδας. καὶ γὰρ οἱ Συρακόσιοι πολέμῳ μὲν οὐκέτι ἐνόμιζον ἂν περιγενέσθαι, ὡς αὐτοῖς οὐδὲ ἀπὸ τῆς Πελο-
3 ποννήσου ὠφελία οὐδεμία ἦκεν, τοὺς δὲ λόγους ἔν τε σφίσιν αὐτοῖς ἐποιοῦντο ξυμβατικοὺς καὶ πρὸς τὸν Νικίαν· οὗτος γὰρ δὴ μόνος εἶχε Λαμάχου τεθνεῶτος τὴν ἀρχήν. καὶ κύρωσις μὲν οὐδεμία ἐγίγνετο, οἷα δὲ εἰκὸς ἀνθρώπων ἀπορούντων καὶ μᾶλλον ἢ πρὶν πολιορκουμένων, πολλὰ ἐλέγετο
4 πρός τε ἐκεῖνον καὶ πλείω ἔτι κατὰ τὴν πόλιν. καὶ γάρ τινα καὶ ὑποψίαν ὑπὸ τῶν παρόντων κακῶν ἐς ἀλλήλους εἶχον, καὶ τοὺς στρατηγούς τε ἐφ' ὧν αὐτοῖς ταῦτα ξυνέβη ἔπαυσαν, ὡς ἢ δυστυχίᾳ ἢ προδοσίᾳ τῇ ἐκείνων βλαπτόμενοι, καὶ ἄλλους ἀνθείλοντο, Ἡρακλείδην καὶ Εὐκλέα καὶ Τελλίαν.

104 Ἐν δὲ τούτῳ Γύλιππος ὁ Λακεδαιμόνιος καὶ αἱ ἀπὸ τῆς Κορίνθου νῆες περὶ Λευκάδα ἤδη ἦσαν, βουλόμενοι ἐς τὴν Σικελίαν διὰ τάχους βοηθῆσαι. καὶ ὡς αὐτοῖς αἱ ἀγγελίαι ἐφοίτων δειναὶ καὶ πᾶσαι ἐπὶ τὸ αὐτὸ ἐψευσμέναι ὡς ἤδη παντελῶς ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσιν, τῆς μὲν

C. 103. § 1. καὶ αὐτόν verdächtigt Kr. vgl. zu 4, 78, 4. — τείχει διπλῷ 7, 2, 4. vgl. 3, 21, 1.

§ 2. περιεωρῶντο. zu 93, 1.

§ 3. τοὺς λόγους. Gr. 50, 11 A. 1. — κύρωσις, βεβαίωσις. (Sch.)

C. 104. § 1. αἱ ἀγγελίαι. Gr. 50, 11 A. 1. — ἐπὶ τὸ αὐτό zu derselben Angabe. vgl. 1, 79, 2. Der Sch.: ψευδεῖς μὲν σύμφωνοι δέ. — τῆς Σικελίας ἐλπίδα. Gr. 47, 7 A. 6.

Σικελίας οὐκέτι ἐλπίδα οὐδεμίαν εἶχεν ὁ Γύλιππος, τὴν δὲ 2
Ἰταλίαν βουλόμενος περιποιῆσαι αὐτὸς μὲν καὶ Πυθὴν ὁ
Κορίνθιος ναυσὶ δυοῖν μὲν Λαχωνικαῖν δυοῖν δὲ Κορινθίαιν
ὅτι τάχιστα ἐπεραιώθησαν τὸν Ἰόνιον ἐς Τάραντα, οἱ δὲ
Κορίνθιοι πρὸς ταῖς σφετέραις δέκα Λευκαδίας δύο καὶ
Ἀμπρακιώτιδας τρεῖς προσπληρώσαντες ὕστερον ἔμελλον
πλεύσεσθαι. καὶ ὁ μὲν Γύλιππος ἐκ τοῦ Τάραντος ἐς τὴν 3
Θουρίαν πρῶτον πρεσβευσάμενος καὶ τὴν τοῦ πατρὸς ἀνα-
νεωσάμενος πολιτείαν καὶ οὐ δυνάμενος αὐτοὺς προσαγαγέ-
σθαι ἄρας παρέπλει τὴν Ἰταλίαν, καὶ ἁρπασθεὶς ὑπ' ἀνέμου
κατὰ τὸν Τεριναῖον κόλπον, ὃς ἐκπνεῖ ταύτῃ μέγας κατὰ
βορέαν ἑστηκώς, ἀποφέρεται ἐς τὸ πέλαγος, καὶ πάλιν χει-
μασθεὶς ἐς τὰ μάλισια τῷ Τάραντι προσμίσγει· καὶ τὰς
ναῦς ὅσαι ἐπόνησαν ὑπὸ τοῦ χειμῶνος ἀνελκύσας ἐπεσκεύ-
αζεν. ὁ δὲ Νικίας πυθόμενος αὐτὸν προσπλέοντα ὑπερεῖδε 4
τὸ πλῆθος τῶν νεῶν, ὅπερ καὶ οἱ Θούριοι ἔπαθον, καὶ λη-
στικώτερον ἔδοξε παρεσκευασμένους πλεῖν, καὶ οὐδεμίαν φυ-
λακὴν πω ἐποιεῖτο.

Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους καὶ 105
Λακεδαιμόνιοι ἐς τὸ Ἄργος ἐσέβαλον αὐτοί τε καὶ οἱ ξύμ-
μαχοι καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄωσαν, καὶ Ἀθηναῖοι Ἀρ-
γείοις τριάκοντα ναυσὶν ἐβοήθησαν, αἵπερ τὰς σπονδὰς φα-
νερώτατα τὰς πρὸς τοὺς Λακεδαιμονίους αὐτοῖς ἔλυσαν.
πρότερον μὲν γὰρ λῃστείαις ἐκ Πύλου καὶ περὶ τὴν ἄλλην 2
Πελοπόννησον μᾶλλον ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες μετά

---

§ 2. περιποιῆσαι, σῶσαι. (Sch.) zu 2, 25, 2. — πρὸς ταῖς — προσπληρώσαντες. Aehnlich προσπληροῦν ἔτι 7, 34, 1. (Pp.)

§ 3. πρεσβευσάμενος, πρεσβευτὴς ὢν αὐτός. (Sch.) zu 1, 31, 3. — πολιτείαν wird wegen ποτέ heißen: Leben als Bürger, mit dem Bürgerrechte. — ἁρπασθεὶς für ἀναρπασθείς viele und gute Hss. — Τεριναῖον. Ταραντῖνον Pp. — ἐκπνεῖ herweht. — μέγας. Gr. 57, 5 A. 1. — κατὰ βορέαν ἑστηκώς im Norden stehend, d. h. dauernd aus dem Norden kommend, ist die gewöhnliche Erklärung; verschieden ist κατὰ πρύμναν ἑστηκώς. vgl. Dorville z. Char. p. 626. (Pp.) — προσμίσγει, ἐλλιμενίζει. (Sch.) Nicht ganz genau. vgl. 7, 70, 2.

§ 4. ὑπερεῖδε, κατεφρόνησε. (Sch.) zu 5, 6, 3. — λῃστικώτερον. zu 1, 4, 1. — παρεσκευασμένους. Gr. 58, 4 A. 1.

S. 105. § 1. τὰς πρός für πρός eine gute Hs.

τε Ἀργείων καὶ Μαντινέων ξυνεπολέμουν, καὶ πολλάκις Ἀργείων κελευόντων ὅσον σχόντας μόνον ξὺν ὅπλοις ἐς τὴν Λακωνικὴν καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δῃώσαντας ἀπελ-
3 θεῖν οὐκ ἤθελον· τότε δὲ Πυθοδώρου καὶ Λαισποδίου καὶ Δημαράτου ἀρχόντων ἀποβάντες ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ Πρασιὰς καὶ ὅσα ἄλλα ἐδῄωσαν τῆς γῆς καὶ τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς Ἀθηναίους τοῦ ἀμύνεσθαι ἐποίησαν. ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους ταῖς ναυσὶ καὶ τῶν Λακεδαιμονίων οἱ Ἀργεῖοι ἐσβαλόντες ἐς τὴν Φλιασίαν τῆς τε γῆς αὐτῶν ἔτεμον καὶ ἀπέκτειναν τινας, καὶ ἀπῆλθον ἐπ' οἴκου.

---

§ 2. *ξυνεπολέμουν* für *ἐπολέμουν* eine gute Hs. Ueber die Verbindung *συν — μετά* vgl. 8, 13, 1. 24, 5. 28, 1 u. Sintenis zu Plut. Cat. 9. (Pp.) — *ὅσον* ist dem *μόνον* synonym, wie 8, 92, 9 u. in *ὅσον οὔ*. — *καὶ τὸ ἐλάχιστον*. Gr. 69, 32 A. 19.

§ 3. *Πρασιάς* für *Πρασιάν* Va. u. eine gute Hs. So 2, 56, 3. 7, 18, 4 und von dem attischen Orte 8, 95, 1. Doch findet sich bei Andern auch der Singular. (Pp.) — *ὅσα ἄλλα*. *ἄλλα ἅπτα* dieselbe Hs. Doch kann auch jenes von *ἐς* abhängen. (Pp.) — *εὐπροφάσιστον, εὐέφορμον* (Sch.) wohl, füglich vorzuschützend Va. — *ἐς τοὺς Ἀ.* vgl. 1, 66.

Gedruckt bei C. Feister.

ΘΟΥΚΥΔΙΔΟΥ ΣΥΓΓΡΑΦΗ

Mit

erklärenden Anmerkungen

herausgegeben

von

K. W. Krűger.

Zweiten Bandes zweites Heft, siebentes und achtes Buch.

Berlin
bei K. W. Krüger
1847.

Von allen rechtmäßigen Exemplaren dieses Werkes führt jedes Heft hier den Stempel und die eigenhändige Namensschrift des Verfassers. Preis dieses Heftes Ein Rthlr.

ΘΟΥΚΥΔΙΔΟΥ

ΣΥΓΓΡΑΦΗΣ Ζ'.

Ὁ δὲ Γύλιππος καὶ ὁ Πυθὴν ἐκ τοῦ Τάραντος, ἐπεὶ ἐπε- 1
σκεύασαν τὰς ναῦς, παρέπλευσαν ἐς Λοκροὺς τοὺς Ἐπιζε-
φυρίους· καὶ πυνθανόμενοι σαφέστερον ἤδη ὅτι οὐ παντελῶς
πω ἀποτετειχισμέναι αἱ Συράκουσαί εἰσιν, ἀλλ' ἔτι οἷόν τε
κατὰ τὰς Ἐπιπολὰς στρατιᾷ ἀφικομένους ἐσελθεῖν, ἐβουλεύ-
οντο εἴτ' ἐν δεξιᾷ λαβόντες τὴν Σικελίαν διακινδυνεύσωσιν
ἐσπλεῦσαι, εἴτ' ἐν ἀριστερᾷ ἐς Ἰμέραν πρῶτον πλεύσαντες
καὶ αὐτούς τε ἐκείνους καὶ στρατιὰν ἄλλην προσλαβόντες, οὓς
ἂν πείθωσι, κατὰ γῆν ἔλθωσιν. καὶ ἔδοξεν αὐτοῖς ἐπὶ τῆς 2
Ἰμέρας πλεῖν, ἄλλως τε καὶ τῶν Ἀττικῶν τεσσάρων νεῶν
οὔπω παρουσῶν ἐν τῷ Ῥηγίῳ, ἃς ὁ Νικίας ὅμως πυνθα-
νόμενος αὐτοὺς ἐν Λοκροῖς εἶναι ἀπέστειλεν. φθάσαντες δὲ
τὴν φυλακὴν ταύτην περαιοῦνται διὰ τοῦ πορθμοῦ, καὶ
σχόντες Ῥηγίῳ καὶ Μεσσήνῃ ἀφικνοῦνται ἐς Ἰμέραν. ἐκεῖ 3
δὲ ὄντες τούς τε Ἰμεραίους ἔπεισαν ξυμπολεμεῖν καὶ αὐτούς
τε ἕπεσθαι καὶ τοῖς ἐκ τῶν νεῶν τῶν σφετέρων ναύταις ὅσοι
μὴ εἶχον ὅπλα παρασχεῖν — τὰς γὰρ ναῦς ἀνείλκυσαν ἐν

C. 1. § 1. εἴτε διακινδυνεύσωσι. Gr. 54, 7 A. 1. — ἐσπλεῦσαι, ἐς Συρακοίσας oder ἐς τὸν λιμένα τῶν Συρακοσίων. (Ps. u. Hf.) — ἐκείνους, τοὺς Ἰμεραίους δηλονότι. (Sch.) Gr 58, 4 A. 1.

§ 2. ὅμως. τὸ ὅμως διὰ τοῦτο πρόσκειται ὅτι ἐν τῇ ἕκτῃ (104,4) ὀλιγωρεῖν ἔφη τῆς φυλακῆς τοῦ κατάπλου. (Sch.) — σχόντες Ῥηγίῳ. zu 3, 29, 1.

§ 3. τούς τε Ἰ. Es entspricht καὶ τοὺς Σελινουντίους. — γάρ

Ἱμέρᾳ — καὶ τοὺς Σελινουντίους πέμψαντες ἐκέλευον ἅπαν-
4 τᾶν πανστρατιᾷ ἔς τι χωρίον. πέμψειν δέ τινα αὐτοῖς ὑπέ-
σχοντο στρατιὰν οὐ πολλὴν καὶ οἱ Γελῷοι καὶ τῶν Σικελῶν
τινες, οἳ πολὺ προθυμότερον προσχωρεῖν ἑτοῖμοι ἦσαν τοῦ
τε Ἀρχωνίδου νεωστὶ τεθνηκότος, ὃς τῶν ταύτῃ Σικελῶν
βασιλεύων τινῶν καὶ ὢν οὐκ ἀδύνατος τοῖς Ἀθηναίοις φίλος
ἦν, καὶ τοῦ Γυλίππου ἐκ Λακεδαίμονος προθύμως δοκοῦντος
5 ἥκειν. καὶ ὁ μὲν Γύλιππος ἀναλαβὼν τῶν τε σφετέρων
ναυτῶν καὶ ἐπιβατῶν τοὺς ὡπλισμένους ἑπτακοσίους μάλιστα,
Ἱμεραίους δὲ ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους χιλίους καὶ
ἱππέας ἑκατόν, καὶ Σελινουντίων τέ τινας ψιλοὺς καὶ ἱππέας
καὶ Γελῴων ὀλίγους, Σικελῶν τε ἐς χιλίους τοὺς πάντας,
2 ἐχώρει πρὸς τὰς Συρακούσας· οἱ δ' ἐκ τῆς Λευκάδος Κο-
ρίνθιοι ταῖς τε ἄλλαις ναυσὶν ὡς εἶχον τάχους ἐβοήθουν
καὶ Γόγγυλος, εἷς τῶν Κορινθίων ἀρχόντων, μιᾷ νηῒ τελευ-
ταῖος ὁρμηθεὶς πρῶτος μὲν ἀφικνεῖται ἐς τὰς Συρακούσας,
2 ὀλίγον δὲ πρὸ Γυλίππου, καὶ καταλαβὼν αὐτοὺς περὶ ἀπαλ-
λαγῆς τοῦ πολέμου μέλλοντας ἐκκλησιάσειν διεκώλυσέ τε καὶ
παρεθάρσυνε, λέγων ὅτι νῆές τε ἄλλαι ἔτι προσπλέουσι καὶ
Γύλιππος ὁ Κλεανδρίδου Λακεδαιμονίων ἀποστειλάντων
3 ἄρχων. καὶ οἱ μὲν Συρακόσιοι ἐπερρώσθησάν τε καὶ τῷ
Γυλίππῳ εὐθὺς πανστρατιᾷ ὡς ἀπαντήσόμενοι ἐξῆλθον· ἤδη
γὰρ καὶ ἐγγὺς ὄντα ἤσθάνοντο αὐτόν. ὁ δὲ Γέτα τό τε τεῖ-
χος ἐν τῇ παρόδῳ τῶν Σικελῶν ἑλὼν καὶ ξυνταξάμενος ὡς

---

gibt an weshalb die Matrosen nicht auf den Schiffen nöthig gewesen. — *πανστρατιᾷ. στρατιᾷ* die meisten und besten Hsn.

§ 4. *τινα αὐτοῖς. τιν' αὐτοῖς* mehrere Hsn. Allein Thuk. hat sonst nirgends das *α* der Feminina und Masculina elidirt. (Pp.) — *προθυμότερον. προθυμότεροι?* und *ἑτοῖμοι* getilgt? (Kr.)

§ 5. *τῶν σφετέρων.* Gr. 58, 4 A. 3. — *τοὺς πάντας* bezieht sich bloß auf die Sikeler. (Hk.) im Ganzen. Gr. 50, 11 A. 13.

C. 2. § 1. *οἱ ἐκ.* Gr. 50, 8 A. 14; über die Sache 6, 104, 1. — *καὶ Γόγγυλος*, als ob vorherginge *τῶν Κορινθίων αἵ τε ἄλλαι νῆες.* (Pp.) — *τελευταῖος.* zu 4, 38, 2.

§ 2. *αὐτούς, τοὺς Συρακουσίους.* (Sch.) — *ἀποστειλάντων.* zu 1, 89, 2.

§ 3. *ἠσθάνοντο, ἤκουον.* (Sch.) vgl. 1, 26, 2. 2, 81, 1 ꝛc. — *Γέτα. Γέτας, Γέγας*, andre Hsn. — *τό τε. τότε* Andere; *τε τό* Kr. — *τῶν Σικελῶν* gehört zu *τεῖχος.*

ἐς μάχην ἀφικνεῖται πρὸς τὰς Ἐπιπολάς· καὶ ἀναβὰς κατὰ 4
τὸν Εὐρύηλον, ἧπερ καὶ οἱ Ἀθηναῖοι τὸ πρῶτον, ἐχώρει
μετὰ τῶν Συρακοσίων ἐπὶ τὸ τεῖχισμα τῶν Ἀθηναίων. ἔτυχε
δὲ κατὰ τοῦτο καιροῦ ἐλθὼν ἐν ᾧ ἑπτὰ μὲν ἢ ὀκτὼ σταδίων
ἤδη ἐπετετέλεστο τοῖς Ἀθηναίοις ἐς τὸν μέγαν λιμένα δι-
πλοῦν τεῖχος, πλὴν κατὰ βραχύ τι τὸ πρὸς τὴν θάλασσαν·
τοῦτο δ' ἔτι ᾠκοδόμουν. τῷ δὲ ἄλλῳ τοῦ κύκλου πρὸς τὸν 5
Τρώγιλον ἐπὶ τὴν ἑτέραν θάλασσαν λίθοι τε παραβεβλημένοι
τῷ πλέονι ἤδη ἦσαν καὶ ἔστιν ἃ καὶ ἡμίεργα, τὰ δὲ καὶ
ἐξειργασμένα κατελείπετο. παρὰ τοσοῦτον μὲν Συράκουσαι
ἦλθον κινδύνου.

Οἱ δὲ Ἀθηναῖοι αἰφνιδίως τοῦ τε Γυλίππου καὶ τῶν 3
Συρακοσίων σφίσιν ἐπιόντων ἐθορυβήθησαν μὲν τὸ πρῶτον,
παρετάξαντο δέ. ὁ δὲ Θέμενος τὰ ὅπλα ἐγγὺς κήρυκα προ-
πέμπει αὐτοῖς λέγοντα, εἰ βούλονται ἐξιέναι ἐκ τῆς Σικελίας
πέντε ἡμερῶν, λαβόντες τὰ σφέτερα αὐτῶν, ἕτοιμος εἶναι
σπένδεσθαι. οἱ δ' ἐν ὀλιγωρίᾳ τε ἐποιοῦντο καὶ οὐδὲν ἀπο-
κρινάμενοι ἀπέπεμψαν. καὶ μετὰ τοῦτο ἀντιπαρεσκευάζοντο 2
ἀλλήλοις ὡς ἐς μάχην. καὶ ὁ Γύλιππος, ὁρῶν τοὺς Συρακο-
σίους ταρασσομένους καὶ οὐ ῥᾳδίως ξυντασσομένους, ἐπανῆγε

---

§ 4. τὸ πρῶτον, ἀνέβησαν. Gr. 62, 4 A. 1. — ἔτυχε. ἐτύγχανε eine gute Hſ. — τοῦ καιροῦ für καιροῦ dieſelbe. So haben temporale Genitive der Art in der attiſchen Proſa gewöhnlich den Artikel. Gr. 47, 10 A. 4 u. Lobeck z. Phryn. p. 279. Doch Dem. 2, 8: καιροῦ μὲν δὴ πρὸς τοῦτο παρέστη Φιλίππῳ τὰ πράγματα. (Arn.) — ἑπτὰ μέν. Es entſpricht τῷ δὲ ἄλλῳ § 5. (Pp.) — σταδίων hängt von τεῖχος ab. Gr. 47, 8 A. 1. — ἐπετέτελεστο. ἀπετετέλεστο eine Hſ. — διπλοῦν τεῖχος 6, 103, 1. (Hk.) — τὸ πρός iſt nicht an τεῖχος ſondern an βραχύ τι anzuſchließen. (Ba.) So folgt auf τὶς der Artikel 8, 98, 1. vgl. Sauppe z. Xen. Mem. 2, 8, 3. (Pp.)

§ 5. τῷ ἄλλῳ — τῷ πλέονι für den größern Theil des Reſtes. (Pp.) vgl. zu 1, 2, 3. — τοῦ κύκλου iſt entweder aus dem Sch. eingefälſcht oder bezeichnet hier die ganze Circumvallationsmauer der Athener. (Pp.) — παρὰ τοσοῦτον. zu 3, 49, 3.

C. 3. § 1. τὸ πρῶτον für πρῶτον eine gute Hſ. Gr. 46, 3 A. 2. — προπέμπει. zu 1, 29, 1. Doch haben einige Hſſ. προσπέμπει, was man in dieſer Verbindung noch lieſt 3, 52, 2. 4, 114, 1. vgl. 2, 79, 2. 7, 35, 2. 8, 47, 2. — ἐξιέναι ſo 7, 47, 2. ἔκπλους 50, 3. — πέντε ἡμερῶν. Gr. 47, 2 A. 3. — ἕτοιμος εἶναι, als ob λέγων vorherginge, mit Bezug auf das in προπέμπει liegende Hauptſubject.

§ 2. ἐν ὀλιγωρίᾳ ἐποιοῦντο. zu 4, 5, 1. — ῥᾳδίως, wie 6, 98, 3. — μᾶλλον mehr als es vorher darin ſtand.

3 τὸ στρατόπεδον ἐς τὴν εὐρυχωρίαν μᾶλλον. καὶ ὁ Νικίας οὐκ ἐπῆγε τοὺς Ἀθηναίους, ἀλλ' ἡσύχαζε πρὸς τῷ ἑαυτῶν τείχει. ὡς δ' ἔγνω ὁ Γύλιππος οὐ προσιόντας αὐτούς, ἀπήγαγε τὴν στρατιὰν ἐπὶ τὴν ἄκραν τὴν Τεμενῖτιν καλουμένην
4 καὶ αὐτοῦ ηὐλίσαντο. τῇ δ' ὑστεραίᾳ ἄγων τὴν μὲν πλείστην τῆς στρατιᾶς παρέταξε πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ὅπως μὴ ἐπιβοηθοῖεν ἄλλοσε, μέρος δέ τι πέμψας πρὸς τὸ φρούριον τὸ Λάβδαλον αἱρεῖ καὶ ὅσους ἔλαβεν ἐν αὐτῷ πάντας ἀπέκτεινεν· ἦν δὲ οὐκ ἐπιφανὲς τοῖς Ἀθηναίοις τὸ χωρίον. καὶ τριήρης τῇ αὐτῇ ἡμέρᾳ ἁλίσκεται τῶν Ἀθηναίων ὑπὸ τῶν Συρακοσίων ἐφορμοῦσα τῷ μεγάλῳ λιμένι.

4 Καὶ μετὰ ταῦτα ἐτείχιζον οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι διὰ τῶν Ἐπιπολῶν ἀπὸ τῆς πόλεως ἀρξάμενοι ἄνω πρὸς τὸ ἐγκάρσιον τεῖχος ἁπλοῦν, ὅπως οἱ Ἀθηναῖοι, εἰ μὴ δύ-
2 ναιντο κωλῦσαι, μηκέτι οἷοί τε ὦσιν ἀποτειχίσαι. καὶ οἵ τε Ἀθηναῖοι ἀναβεβήκεσαν ἤδη ἄνω, τὸ ἐπὶ θαλάσσῃ τεῖχος ἐπιτελέσαντες, καὶ ὁ Γύλιππος, ἦν γάρ τι τοῖς Ἀθηναίοις τοῦ τείχους ἀσθενές, νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν ἐπῄει πρὸς αὐτό. οἱ δ' Ἀθηναῖοι, ἔτυχον γὰρ ἔξω αὐλιζόμενοι,
3 ὡς ἤσθοντο, ἀντεπῆσαν· ὁ δὲ γνοὺς κατὰ τάχος ἀπῆγαγε τοὺς σφετέρους πάλιν. ἐποικοδομήσαντες δὲ αὐτὸ οἱ Ἀθηναῖοι ὑψηλότερον αὐτοὶ μὲν ταύτῃ ἐφύλασσον, τοὺς δὲ ἄλλους ξυμμάχους κατὰ τὸ ἄλλο τείχισμα ἤδη διέταξαν ἧπερ ἔμελλον ἕκαστοι φρουρεῖν.

4 Τῷ δὲ Νικίᾳ ἐδόκει τὸ Πλημμύριον καλούμενον τειχίσαι· ἔστι δὲ ἄκρα ἀντιπέρας τῆς πόλεως, ἥπερ προὔχουσα τοῦ μεγάλου λιμένος τὸ στόμα στενὸν ποιεῖ, καὶ εἰ τειχι-

---

§ 3. ἑαυτῶν für ἑαυτοῦ eine gute Hs. Gr. 58, 4 A. 3.

§ 4. τὴν πλείστην τῆς στρατιᾶς. Gr. 47, 28 A. 9. — αἱρεῖ, erg. τὸ φρούριον τὸ Λ. zu 1, 114, 2. — τῷ μεγάλῳ für τῷ eine gute Hs. u. Ba.

C. 4. § 1. ἄνω nach oben zu gehört zu ἐτείχιζον. — τὸ ἐγκάρσιον τεῖχος 6, 99, 3. — ἁπλοῦν, τεῖχος. vgl. 7, 11, 3.

§ 2. τὸ ἐπὶ θαλάσσῃ 7, 2, 4. — ἔξω, τοῦ τείχους. (Sch.)

§ 3. τοὺς σφετέρους. Gr. 58, 4 A. 3. — ὑψηλότερον prolepti sch. Gr. 57, 4 A. 2. — ἄλλους. Gr. 50, 4 A. 11. — ἤδη, wie § 6. vgl. 7, 6, 1.

§ 4. Πλημμύριον. Πλημύριον hier und an andern Stellen einige Hsn. — λιμένος hängt von στόμα ab. (Hl.) — στενόν 7, 59,

σθείη, ῥᾷον αὐτῷ ἐφαίνετο ἡ ἐσκομιδὴ τῶν ἐπιτηδείων ἔσεσθαι· δι' ἐλάσσονος γὰρ πρὸς τῷ λιμένι τῷ τῶν Συρακοσίων ἐφορμήσειν σφᾶς, καὶ οὐχ ὥσπερ νῦν ἐκ μυχοῦ τοῦ λιμένος τὰς ἐπαναγωγὰς ποιήσεσθαι, ἤν τι ναυτικῷ κινῶνται. προσεῖχέ τε ἤδη μᾶλλον τῷ κατὰ θάλασσαν πολέμῳ, ὁρῶν τὰ ἐκ τῆς γῆς σφίσιν, ἐπειδὴ Γύλιππος ἦκεν, ἀνελπιστότερα ὄντα. διακομίσας οὖν στρατιὰν καὶ τὰς ναῦς ἐξετείχιζε τρία 6
φρούρια· καὶ ἐν αὐτοῖς τά τε σκεύη τὰ πλεῖστα ἔκειτο καὶ τὰ πλοῖα ἤδη ἐκεῖ τὰ μεγάλα ὥρμει καὶ αἱ ταχεῖαι νῆες, ὥστε καὶ τῶν πληρωμάτων οὐχ ἥκιστα τότε πρῶτον κάκωσις ἐγένετο· τῷ τε γὰρ ὕδατι σπανίῳ χρώμενοι καὶ οὐκ ἐγγύθεν καὶ ἐπὶ φρυγανισμὸν ἅμα, ὁπότε ἐξέλθοιεν οἱ ναῦται, ὑπὸ τῶν ἱππέων τῶν Συρακοσίων κρατούντων τῆς γῆς διεφθείροντο· τρίτον γὰρ μέρος τῶν ἱππέων τοῖς Συρακοσίοις διὰ 7
τοὺς ἐν τῷ Πλημμυρίῳ, ἵνα μὴ κακουργήσοντες ἔξιοιεν, ἐπὶ τῇ ἐν τῷ Ὀλυμπιείῳ πολίχνῃ ἐτετάχατο. ἐπυνθάνετο δὲ καὶ τὰς λοιπὰς τῶν Κορινθίων ναῦς προσπλεούσας ὁ Νικίας· καὶ πέμπει ἐς φυλακὴν αὐτῶν εἴκοσι ναῦς, αἷς εἴρητο περί τε Λοκροὺς καὶ Ῥήγιον καὶ τὴν προσβολὴν τῆς Σικελίας ναυλοχεῖν αὐτάς.

Ὁ δὲ Γύλιππος ἅμα μὲν ἐτείχιζε τὸ διὰ τῶν Ἐπιπολῶν 5
τεῖχος, τοῖς λίθοις χρώμενος οὓς οἱ Ἀθηναῖοι προπαρεβάλοντο σφίσιν, ἅμα δὲ παρέτασσεν ἐξάγων ἀεὶ πρὸ τοῦ τει-

---

2. — ῥᾷον für ῥᾴων mehrere und gute Hſn. vgl. 7, 28, 1 u. Gr. 62, 2 A. 3.

§ 5. δι' ἐλάσσονος. zu 6, 75, 1. — σφᾶς. zu 3, 111, 2. — τῷ λιμένι, doch wohl dem kleineren, οὗ ἦν καὶ τὸ νεώριον αὐτοῖς 7, 22, 2. — ἐπαναγωγάς für ἐπαγωγάς eine Hſ. Dieſes heißt Herbeiführung, wie τῶν ἐπιτηδείων, jenes Auslaufen, Anrücken. (Vp.) — κινῶνται, οἱ Συρακόσιοι. (Sch.) Ueber κινεῖσθαι 8, 100, 2. vgl. 5, 8, 1. (Didot.) Aehnlich 2, 81, 5. 5, 10, 4. 7, 50, 4. — τὰ ἐκ. Gr. 50, 8 A. 17.

§ 6. τῷ τε. Durch τε καί werden χρώμενοι und ὁπότε ἐξέλθοιεν verbunden. (Pp.) Gr. 59, 2 A. 3. — γῆς. γῆς οἱ πολλοί eine gute Hſ. u Va.

§ 7. ἐν bei. (Pp.) — ἐς φυλακὴν αὐτῶν um ihnen aufzupaſſen. (Ps.) vgl. 7, 1, 2. 7, 1 u. 8, 80, 3. (Va.) Doch kann ἐς verdächtig ſcheinen. vgl. 2, 26. — τὴν προσβολήν. zu 4, 1, 1. — ναυλοχεῖν, ναῦς λοχᾶν καὶ ἐνεδρεύειν. (Phot.)

C. 5. § 1. προπαρεβάλλοντο. προ — vorher, παρα — zu 6, 99, 1. — σφίσιν. zu 2, 65, 9.

χίσματος τοὺς Συρακοσίους καὶ τοὺς ξυμμάχους, καὶ οἱ
2 Ἀθηναῖοι ἀντιπαρετάσσοντο. ἐπειδὴ δὲ ἔδοξε τῷ Γυλίππῳ καιρὸς εἶναι, ἦρχε τῆς ἐφόδου· καὶ ἐν χερσὶ γενόμενοι ἐμάχοντο μεταξὺ τῶν τειχισμάτων, ᾗ τῆς ἵππου τῶν Συρακοσίων οὐδεμία χρῆσις ἦν. καὶ νικηθέντων τῶν Συρακοσίων καὶ τῶν ξυμμάχων καὶ νεκροὺς ὑποσπόνδους ἀνελομένων καὶ τῶν Ἀθηναίων τροπαῖον σισσύντων ὁ μὲν Γύλιππος ξυγκαλέσας τὸ στράτευμα οὐκ ἔφη το ἁμάρτημα ἐκείνων ἀλλ' ἑαυτοῦ
3 γενέσθαι· τῆς γὰρ ἵππου καὶ τῶν ἀκοντιστῶν τὴν ὠφελίαν τῇ τάξει, ἐντὸς λίαν τῶν τειχῶν ποιήσας, ἀφελέσθαι· νῦν οὖν αὖθις ἐπάξειν. καὶ διανοεῖσθαι οὕτως ἐκέλευεν αὐτοὺς ὡς τῇ μὲν παρασκευῇ οὐκ ἔλασσον ἔξοντας, τῇ δὲ γνώμῃ οὐκ ἀνεκτὸν ἐσόμενον, εἰ μὴ ἀξιώσουσι, Πελοποννήσιοί τε ὄντες καὶ Δωριῆς, Ἰώνων καὶ νησιωτῶν καὶ ξυγκλύδων ἀν-
6 θρώπων κρατήσαντες ἐξελάσασθαι ἐκ τῆς χώρας. καὶ μετὰ ταῦτα, ἐπειδὴ καιρὸς ἦν, αἴθις ἐπῆγεν αὐτούς. ὁ δὲ Νικίας καὶ οἱ Ἀθηναῖοι νομίζοντες καὶ εἰ ἐκεῖνοι μὴ ἐθέλοιεν μάχης ἄρχειν, ἀναγκαῖον σφίσιν εἶναι μὴ περιορᾶν παροικοδομούμενον τὸ τεῖχος — ἤδη γὰρ καὶ ὅσον οὐ παρεληλύθει τὴν τῶν Ἀθηναίων τοῦ τείχους τελευτὴν ἡ ἐκείνων τείχισις, καὶ εἰ προέλθοι, ταὐτὸν ἤδη ἐποίει αὐτοῖς νικᾶν τε μαχομένοις διὰ παντὸς καὶ μηδὲ μύχεσθαι — ἀντεπῆσαν οὖν τοῖς
2 Συρακοσίοις. καὶ ὁ Γύλιππος τοὺς μὲν ὁπλίτας ἔξω τῶν τειχῶν μᾶλλον ἢ πρότερον προεξαγαγὼν ξυνέμισγεν αὐτοῖς, τοὺς δ' ἱππέας καὶ τοὺς ἀκοντιστὰς ἐκ πλαγίου τάξας τῶν

---

§ 2. *νεκρούς.* zu 1, 54, 2. — *ἐκείνων.* Gr. 47, 6 A. 1.

§ 3. *τῇ τάξει* verbindet Pp. mit Matth. § 418, e A. vgl. 428, 2 mit *ἀφελέσθαι*; ich mit *ὠφελίαν*, theils weil jene Construction aus attischen Prosaikern nicht belegt ist, theils der Stellung wegen. — *οὐκ ἔλασσον, τῶν Ἀθηναίων.* (Sch.) — *ξυγκλύδες* ist häufig. vgl. Bl. und Schneider zu Plat. Rep. 3 p. 105. (Pp.)

C. 6. § 1. *παροικοδομούμενον.* vgl. 2, 75, 2 u. 7, 11, 3. — *παρεληλύθει, ὑπερβεβήκει.* (Sch.) vgl. § 3. — *ταὐτόν — νικᾶν τε* so erwirkte es ihnen demnächst dasselbe, half ihnen, den Athenern, nichts, sowohl wenn sie siegten. (Dobree.) vgl. § 3 u. 7, 11, 3. (Pp.) Ueber *ποιεῖν* zu 2, 89, 2; über *ἤδη* zu 7, 4, 3. — *διὰ παντός.* zu 1, 38, 1. — *οὖν.* zu 6, 64, 3.

§ 2. *προεξαγαγών.* *προαγαγών* die meisten u. besten Hss. Jenes auch 7, 37, 1. 70 1. [8, 25, 3.] (Kr.)

Ἀθηναίων κατὰ τὴν εὐρυχωρίαν, ᾗ τῶν τειχῶν ἀμφοτέρων αἱ ἐργασίαι ἔληγον. καὶ προσβαλόντες οἱ ἱππῆς ἐν τῇ μάχῃ τῷ εὐωνύμῳ κέρᾳ τῶν Ἀθηναίων, ὅπερ κατ' αὐτοὺς ἦν, ἔτρεψαν· καὶ δι' αὐτὸ καὶ τὸ ἄλλο στράτευμα νικηθὲν ὑπὸ 3
τῶν Συρακοσίων κατηράχθη ἐς τὰ τειχίσματα. καὶ τῇ ἐπιούσῃ νυκτὶ ἔφθασαν παροικοδομήσαντες [καὶ παρελθόντες τὴν τῶν Ἀθηναίων οἰκοδομίαν], ὥστε μηκέτι μήτε αὐτοὶ κωλύεσθαι ὑπ' αὐτῶν, ἐκείνους τε καὶ παντάπασιν ἀπεστερηκέναι, εἰ καὶ κρατοῖεν, μὴ ἂν ἔτι σφᾶς ἀποτειχίσαι.

Μετὰ δὲ τοῦτο αἵ τε τῶν Κορινθίων νῆες καὶ Ἀμπρα- 7
κιωτῶν καὶ Λευκαδίων ἐσέπλευσαν αἱ ὑπόλοιποι δώδεκα, λαθοῦσαι τὴν τῶν Ἀθηναίων φυλακήν — ἦρχε δ' αὐτῶν Ἐρασινίδης Κορίνθιος — καὶ ξυνετείχισαν τὸ λοιπὸν τοῖς Συρακοσίοις μέχρι τοῦ ἐγκαρσίου τείχους. καὶ ὁ Γύλιππος 2
ἐς τὴν ἄλλην Σικελίαν ἐπὶ στρατιάν τε ᾤχετο, καὶ ναυτικὴν καὶ πεζὴν ξυλλέξων, καὶ τῶν πόλεων ἅμα προσαξόμενος εἴ τις ἢ μὴ πρόθυμος ἦν ἢ παντάπασιν ἔτι ἀφεστήκει τοῦ πολέμου. πρέσβεις τε ἄλλοι τῶν Συρακοσίων καὶ Κορινθίων 3
ἐς Λακεδαίμονα καὶ Κόρινθον ἀπεστάλησαν, ὅπως στρατιὰ ἔτι περαιωθῇ τρόπῳ ᾧ ἄν [ἐν ὁλκάσιν ἢ πλοίοις ἢ ἄλλως ὅπως ἄν] προχωρῇ, ὡς καὶ τῶν Ἀθηναίων ἐπιμεταπεμπομένων. οἵ τε Συρακόσιοι ναυτικὸν ἐπλήρουν καὶ ἀνεπειρῶντο ὡς καὶ τούτῳ ἐπιχειρήσοντες, καὶ ἐς τἆλλα πολὺ ἐπέρρωντο.

---

§. 3. *παιηράχθη, κατερράχθη* die beſten Hſn. Doch alle haben *ἀπαράξωμεν* 7, 63, 1. vgl. die Erkl. zu Her. 9, 69. Dagegen Dem. 54, 8: *ῥάξαντες εἰς τὸν βόρβορον* und unten 8, 96, 2: *ξυῤῥάξουσιν.* (Pp.) — *καὶ παρελθόντες*, was in einer Hſ. fehlt, und *τὴν τῶν Ἀ. οἰκοδομίαν* verdächtigt Bk. und auch Va. ſcheint es nicht gehabt zu haben. — *καὶ παντάπασιν.* Gr. 69, 32 A. 18. — *ἀπεστερηκέναι μή.* Gr. 67, 12 A. 3. — *ἄν.* Gr. 69, 7 A. 1.

C. 7. § 1. *μέχρι.* ἔτι Pp.

§ 2. *ἀφεστήκει*, wie 8, 2, 1.

§ 3. *ἄλλοι* außer denen 6, 73. (Ds.) — *ἔτι*, außer den ſchon anweſenden. — *τρόπῳ* ſteht ſo vor dem Relativ Antiph. 6, 23: *βασανίζειν τρόπῳ ὁποίῳ βούλοιτο.* — *ᾧ ἄν, προχωρῇ*, das alſo doppelt zu denken iſt. (Hk.) Doch verdächtigt Schäfer zum Dem. 1 p. 815 *ἐν ὁλκάσιν — ὅπως ἄν* und auch Bk. hat dieſe Worte jetzt eingeſchloſſen. — *τῶν Ἀθηναίων*, was erſt 7, 8 erzählt wird. (Pp.) — *ἀνεπειρῶντο, ἐμελέτων.* (Sch.) vgl. 7, 12, 3. 51, 2, Her. 6, 12, Kallix. b. Athen.

8 ὁ δὲ Νικίας, αἰσθόμενος τοῦτο καὶ ὁρῶν καθ' ἡμέραν ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν καὶ τὴν σφετέραν ἀπορίαν, ἔπεμπε καὶ αὐτὸς ἐς τὰς Ἀθήνας ἀγγέλλων πολλάκις μὲν καὶ ἄλλοτε καθ' ἕκαστα τῶν γιγνομένων, μάλιστα δὲ καὶ τότε, νομίζων ἐν δεινοῖς τε εἶναι καὶ εἰ μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψουσιν ἢ ἄλλους μὴ ὀλίγους ἀποστελοῦσιν,
2 οὐδεμίαν εἶναι σωτηρίαν. φοβούμενος δὲ μὴ οἱ πεμπόμενοι ἢ κατὰ τοῦ λέγειν ἀδυνασίαν ἢ καὶ μνήμης ἐλλιπεῖς γιγνόμενοι ἢ τῷ ὄχλῳ πρὸς χάριν τι λέγοντες οὐ τὰ ὄντα ἀπαγγέλλωσιν, ἔγραψεν ἐπιστολήν, νομίζων οὕτως ἂν μάλιστα τὴν αὑτοῦ γνώμην μηδὲν ἐν τῷ ἀγγέλῳ ἀφανισθεῖσαν μαθόντας τοὺς Ἀθηναίους βουλεύσασθαι περὶ τῆς ἀληθείας.
3 καὶ οἱ μὲν ᾤχοντο φέροντες, οὓς ἀπέστειλε, τὰ γράμματα καὶ ὅσα ἔδει αὐτοὺς εἰπεῖν· ὁ δὲ τὰ κατὰ τὸ στρατόπεδον διὰ φυλακῆς μᾶλλον ἤδη ἔχων ἢ δι' ἐκουσίων κινδύνων ἐπεμελεῖτο.

9 Ἐν δὲ τῷ αὐτῷ θέρει τελευτῶντι καὶ Εὐετίων στρατηγὸς Ἀθηναίων μετὰ Περδίκκου στρατεύσας ἐπ' Ἀμφίπολιν Θρᾳξὶ πολλοῖς τὴν μὲν πόλιν οὐχ εἷλεν, ἐς δὲ τὸν Στρυμόνα περι-

---

p. 204, b. (Bl.) vgl. Dem. 51, 6, Pol. 5, 2, 4. 10, 20, 6. 26, 7, 8 u. Wesseling z. Diod. 13, 8.

C. 8. § 1. *ἐπιδιδοῦσαν.* Gr. 52, 2 A. 9. — *τὴν σφετέραν.* Gr. 58, 4 A. 3. — *ἀγγέλλων* für *ἀγγέλλοντας* mehrere und gute Hsn. — *εἰ μή* für *ἢν μή* einige Hsn. — *μεταπέμψουσιν* und *ἀποστελοῦσιν* für *μεταπέμψωσιν* und *ἀποστέλλωσιν* viele und gute Hsn.

§ 2. *κατὰ τοῦ* für *κατὰ τὴν τοῦ* viele und die besten Hsn. — *ἀδυνασία* auch 8, 8, 3, Her. 3, 79. 7, 172, der 8, 111 auch das üblichere *ἀδυναμία* hat. — *μνήμης* für *γνώμης* eine gute Hs. u. Va. „Letzteres ist aus *γνώμην* entstanden." (Pp.) — *ἐν τῷ ἀγγέλῳ* in dem Boten, d. h. durch Schuld desselben. (St.)

§ 3. *οὓς ἀπέστειλε* steht nicht attributiv, sondern epexegetisch zu *οἱ μέν*, wie *οἱ μὲν — οἱ ἀποσταλέντες.* (Pp.) — *δὲ τὰ κατά. δὲ κατά* einige Hsn. — *μᾶλλον* eine gute Hs. u. Va., *ἤ δι'* einige, Sch. u. Va. Zu *διὰ κινδύνων* ist wieder *ἔχων* zu denken. vgl. zu 2, 22, 1. (Bl.) Pp. verbindet es instrumental mit *ἐπεμελεῖτο.* — *ἐκουσίων, αὐθαιρέτων* 1, 144, 1. 8, 27, 3. *ἑθελούσιος κίνδυνος* Xen. An. 6, 3, 14. (Bl.)

C. 9. *καί* gehört zum ganzen Gedanken: es geschah auch dies. — *Περδίκκου.* Wie er mit den Athenern wieder ausgesöhnt worden hat Thuk. nicht erzählt.

κομίσας τριήρεις ἐκ τοῦ ποταμοῦ ἐπολιόρκει ὁρμώμενος ἐξ Ἰμεραίου. καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἥκοντες ἐς τὰς Ἀθήνας 10
οἱ παρὰ τοῦ Νικίου ὅσα τε ἀπὸ γλώσσης εἴρητο αὐτοῖς εἶπον καὶ εἴ τίς τι ἐπηρώτα ἀπεκρίνοντο καὶ τὴν ἐπιστολὴν ἀπέδοσαν. ὁ δὲ γραμματεὺς ὁ τῆς πόλεως παρελθὼν ἀνέγνω τοῖς Ἀθηναίοις δηλοῦσαν τοιάδε.

"Τὰ μὲν πρότερον πραχθέντα ὦ Ἀθηναῖοι ἐν ἄλλαις 11
[πολλαῖς] ἐπιστολαῖς ἴστε· νῦν δὲ καιρὸς οὐχ ἧσσον μαθόντας ὑμᾶς ἐν ᾧ ἐσμὲν βουλεύσασθαι. κρατησάντων γὰρ ἡμῶν μάχαις ταῖς πλείοσι Συρακοσίους, ἐφ' οὓς ἐπέμφθημεν, καὶ τὰ τείχη οἰκοδομησαμένων ἐν οἱσπερ νῦν ἐσμὲν ἦλθε Γύλιππος Λακεδαιμόνιος στρατιὰν ἔχων ἔκ τε Πελοποννήσου καὶ τῶν ἐν Σικελίᾳ πόλεων ἔσιιν ὧν. καὶ μάχῃ τῇ μὲν 2
πρώτῃ νικᾶται ὑφ' ἡμῶν, τῇ δ' ὑστεραίᾳ ἱππεῦσί τε πολλοῖς καὶ ἀκοντισταῖς βιασθέντες ἀνεχωρήσαμεν ἐς τὰ τείχη. νῦν οὖν ἡμεῖς μὲν παυσάμενοι τοῦ περιτειχισμοῦ διὰ τὸ πλῆθος τῶν ἐναντίων ἡσυχάζομεν — οὐδὲ γὰρ ξυμπάσῃ τῇ στρατιᾷ δυναίμεθ' ἂν χρήσασθαι ἀπαναλωκυίας τῆς φυλακῆς τῶν τειχῶν μέρος τι τοῦ ὁπλιτικοῦ — οἱ δὲ παρῳκοδομήκασιν 3
ἡμῖν τεῖχος ἁπλοῦν, ὥστε μὴ εἶναι ἔτι περιτειχίσαι αὐτούς, ἢν μή τις τὸ παρατείχισμα τοῦτο πολλῇ στρατιᾷ ἐπελθὼν ἕλῃ. ξυμβέβηκέ τε πολιορκεῖν δοκοῦντας ἡμᾶς ἄλλους αὐτοὺς μᾶλλον, ὅσα γε κατὰ γῆν, τοῦτο πάσχειν· οὐδὲ γὰρ τῆς χώρας ἐπὶ πολὺ διὰ τοὺς ἱππέας ἐξερχόμεθα. πεπόμφασι 12
δὲ καὶ ἐς Πελοπόννησον πρέσβεις ἐπ' ἄλλην στρατιὰν καὶ ἐς τὰς ἐν Σικελίᾳ πόλεις Γύλιππος οἴχεται, τὰς μὲν καὶ πείσων

C. 10. ἀπὸ γλώσσης mündlich. Her. 1, 123: ἐντειλάμενος ἀπὸ γλώσσης. (Gb.)

C. 11. § 1. ἐν ἐπιστολαῖς ἴστε kurz für ἐν ἐπιστολαῖς γεγραμμένα ἐκ τῶν ἐπιστολῶν ἴστε. — οὐχ ἧττον, ἢ πρότερον δηλονότι. (Sch.)

§ 2. ὑστεραίᾳ, wie Her. 9, 3: ἡ βασιλέος αἵρεσις ἐς τὴν ὑστεραίην τοῦ Μαρδονίου ἐπιστρατηίην δεκάμηνος ἐγένετο. — οὐδὲ γάρ. Gr. 69, 32 A. 21. — χρήσασθαι. χρήσεσθαι die besten Hss.

§ 3. ὅσα. Gr. 62, 1 A. 4. vgl. 8, 70, 1. — κατὰ γῆν, ἐπεὶ ἔν γε τῷ κατὰ θάλατταν ἐπεκράτουν οἱ Ἀθηναῖοι. (Sch.) — τῆς χώρας hängt von πολύ ab. Gr. 43, 4 A. 8.

ξυμπολεμεῖν ὅσαι νῦν ἡσυχάζουσιν, ἀπὸ δὲ τῶν ἔτι καὶ στρατιὰν πεζὴν καὶ ναυτικοῦ παρασκευήν, ἣν δύνηται, ἄξων.
2 διανοοῦνται γάρ, ὡς ἐγὼ πυνθάνομαι, τῷ τε πεζῷ ἅμα τῶν τειχῶν ἡμῶν πειρᾶν καὶ ταῖς ναυσὶ κατὰ θάλασσαν. καὶ δεινὸν μηδενὶ ὑμῶν δόξῃ εἶναι ὅτι καὶ κατὰ θάλασσαν. τὸ γὰρ ναυτικὸν ἡμῶν, ὅπερ κἀκεῖνοι πυνθάνονται, τὸ μὲν πρῶτον ἤκμαζε καὶ τῶν νεῶν τῇ ξηρότητι καὶ τῶν πληρωμάτων τῇ σωτηρίᾳ· νῦν δὲ αἵ τε νῆες διάβροχοι, τοσοῦτον χρόνον ἤδη θαλασσεύουσαι, καὶ τὰ πληρώματα ἔφθαρται.
3 τὰς μὲν γὰρ ναῦς οὐκ ἔστιν ἀνελκύσαντας διαψῦξαι διὰ τὸ ἀντιπάλους τῷ πλήθει καὶ ἔτι πλείους τὰς τῶν πολεμίων οὔσας ἀεὶ προσδοκίαν παρέχειν ὡς ἐπιπλεύσονται· φανεραὶ δ' εἰσὶν ἀναπειρώμεναι καὶ αἱ ἐπιχειρήσεις ἐπ' ἐκείνοις καὶ ἀποξηρᾶναι τὰς σφετέρας μᾶλλον ἐξουσία· οὐ γὰρ ἐφορμοῦ-
13 σιν ἄλλοις. ἡμῖν δ' ἐκ πολλῆς ἂν περιουσίας νεῶν μόλις τοῦτο ὑπῆρχεν καὶ μὴ ἀναγκαζομένοις, ὥσπερ νῦν, πάσαις φυλάσσειν· εἰ γὰρ ἀφαιρήσομέν τι καὶ βραχὺ τῆς τηρήσεως, τὰ ἐπιτήδεια οὐχ ἕξομεν, παρὰ τὴν ἐκείνων πόλιν χαλεπῶς
2 καὶ νῦν ἐσκομιζόμενοι. τὰ δὲ πληρώματα διὰ τόδε ἐφθάρη τε ἡμῖν καὶ ἔτι νῦν φθείρεται, τῶν ναυτῶν τῶν μὲν διὰ φρυγανισμὸν καὶ ἁρπαγὴν καὶ ὑδρείαν μακρὰν ὑπὸ τῶν ἵπ-

---

C. 12. § 1. *ἀπὸ δὲ τῶν.* Gr. 50, 1 A. 14.

§ 2. *πυνθάνομαι*, wie § 2. vgl. Gr. 53, 1 A. 2. — *ὅτι, διανοοῦνται πειρᾶν.* (Ps.) — *σωτηρίᾳ* Unverſehrtheit. (Ba.) — *κατὰ θ., πειρᾶν διανοοῦνται.* — *διάβροχοι* von der Näſſe angegriffen. (Hl.) — *θαλασσεύουσαι, ἐν θαλάττῃ οὖσαι.* (Sch.)

§ 3. *διαψῦξαι, διακαθᾶραι.* (Sch.) Es ſcheint daſſelbe zu ſein was *ἀποξηρᾶναι.* (St.) So bei Luc. Charon 23. (Dr.) *ἀναψύχειν τὰς ναῦς* Her. 7, 59. (Abr.) Ueber den Accent Lobeck Parall. p. 410. — *ἔτι* für *ἐπί* eine Hſ. u. Ba.; die meiſten und beſten *ὅπι.* — *ἀναπειρώμεναι* für *ἀποπειρώμεναι* eine gute Hſ. — *ἐκείνοις. ἐκείνους* mehrere der beſten Hſſn. Gr. 68, 41 A. 1. — *ἀποξηρᾶναι ἐξουσία.* Gr. 50, 4 A. 4.

C. 13. § 1. *τοῦτο, τὸ διαψῦξαι.* — *καὶ μή* auch wenn wir nicht. (Ps.) — *εἰ ἀφαιρήσομεν*, dadurch daß wir Schiffe aufs Land ziehen. (Ds.)

§ 2. *καὶ ἔτι νῦν*, geſtellt wie bei Athen. 11, 476, b, *καὶ ἔτι σήμερον* [Aeſchin.] Briefe 10, 8. Aehnlich Her. 1, 92: *καὶ ἔτι ἐς ἐμέ*, während es ſonſt bei demſelben immer heißt *ἔτι καὶ ἐς ἐμέ.* (Hertlein Ms.) Einige Hſſn. *καὶ νῦν ἔτι.* vgl. 2, 15, 4. 99, 4. 6, 2, 5. 91, 1. — *ναυτῶν τῶν μέν. ναυτῶν μέν* Pp. — *ἁρπαγήν μακράν, διὰ*

πέων ἀπολλυμένων· οἱ δὲ θεράποντες, ἐπειδὴ ἐς ἀντίπαλα καθεστήκαμεν, αὐτομολοῦσιν, καὶ οἱ ξένοι οἱ μὲν ἀναγκασιοὶ ἐσβάντες εὐθὺς κατὰ τὰς πόλεις ἀποχωροῦσιν, οἱ δ' ὑπὸ 3
μεγάλου μισθοῦ τὸ πρῶτον ἐπαρθέντες καὶ οἰόμενοι χρηματιεῖσθαι μᾶλλον ἢ μαχεῖσθαι, ἐπειδὴ παρὰ γνώμην ναυτικόν τε δὴ καὶ ταῦλλα ἀπὸ τῶν πολεμίων ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν ἐπ' αὐτομολίας προφάσει ἀπέρχονται, οἱ δ' ὡς ἕκαστοι δύνανται· πολλὴ δ' ἡ Σικελία· εἰσὶ δ' οἳ καί, αὐτοὶ ἐμπορευόμενοι, ἀνδράποδα Ὑκκαρικὰ ἀντεμβιβάσαι ὑπὲρ σφῶν πείσαντες τοὺς τριηράρχους τὴν ἀκρίβειαν τοῦ ναυτικοῦ ἀφῄρηνται. ἐπισταμένοις δ' ὑμῖν γράφω ὅτι βραχεῖα ἀκμὴ πλη- 14
ρώματος καὶ ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντές τε ναῦν καὶ ξυνέχοντες τὴν εἰρεσίαν. τούτων δὲ πάντων ἀπορώτατον τό τε μὴ οἷόν τε εἶναι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ — χαλεπαὶ γὰρ αἱ ὑμέτεραι φύσεις ἄρξαι — καὶ ὅτι οὐδ' ὁπόθεν ἐπιπληρωσόμεθα τὰς ναῦς ἔχομεν, ὃ τοῖς πολεμίοις

τὸ ἐπὶ πολλοῦ διαστήματος ἐφ' ἁρπαγὴν ἐξιέναι. (Sch.) — οἱ δὲ θεράποντες. Uebergang vom Particip zum Verbum finitum, wie 7, 15, 2. 47, 2. — ἐς ἀντίπαλα ins Gleichgewicht. (Hl.) — τὰς πόλεις, τῶν Σικελῶν. (Sch.) An Sikelien muß Jeder hier zunächst denken. — ἀποχωροῦσιν. ἀπεχώρουν eine gute Hs., was Pp. wegen εὐθύς vorzieht.

§ 3. ἐπ' αὐτομολίας προφάσει kann man nach Belieben erklären, nämlich gar nicht. Wahrscheinlich stand hier ein ungewöhnliches Wort, wie αὐτομαχίας, αὐτοτολμίας. (Kr.) — πολλή, ἤγουν εὐρύχωρος. (Sch.) Plat. Phäd. 78, a: πολλὴ ἡ Ἑλλάς. vgl. dort Heindorf. — οἳ καί. Gr. 69, 32 A. 15. — αὐτοί für αὐτοῦ eine sehr gute Hs. — ἐμπορευόμενοι Handel treibend. (Hl.) vgl. 6, 31, 5. (Arn.) — τὴν ἀκρίβειαν den gehörigen Zustand.

C. 14. § 1. βραχεῖα ἀκμὴ πληρώματος, οὐ πολλῷ χρόνῳ ἀκμάζει ἡ ναυτικὴ δύναμις. (Sch.) vgl. 7, 12, 2. — ἐξορμῶντες von seinem Standorte aus in Bewegung setzend. (Dr.) — ξυνέχοντες τὴν εἰρεσίαν die Rudermannschaft in Ordnung haltend, leitend. (Ps.) Εἰρεσία ist keine poetische Form. Steph. Thes. vgl. παρεξειρεσία 7, 34, 4. (Pp.) — ἀπορώτατον, μείζονα πάντων τῶν εἰρημένων ἀπορίαν ἔχει. (Sch.) — τό τε. Es entspricht καὶ ὅτι. Gr. 59, 2 A. 4. — οἷόν τε εἶναι ἐμοί. Plat. Parm. 160, e: εἶναι τῷ ἑνὶ οὐχ οἷόν τε, εἴπερ γε μὴ ἔστιν. — ταῦτα bezieht sich nicht bloß auf die zunächst sondern auch auf die C. 13, 2 u. 3 erwähnten Uebelstände. (Pp.) — χαλεπαὶ ἄρξαι. Gr. 55, 3 A. 7. — ὁπόθεν. Gr. 51, 13 A. 8. vgl. Xen. An. 2, 4, 5. 3, 5, 3. 5, 10, 4. — ἐπιπληρωσόμεθα, ἀναπληρώσομεν τὰ πληρώματα. (Sch.) Gr. 53,

πολλαχόθεν ὑπάρχει, ἀλλ' ἀνάγκη ἀφ' ὧν ἔχοντες ἤλθομεν
2 τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι· αἱ γὰρ νῦν οὖσαι πόλεις ξύμμαχοι ἀδύνατοι, Νάξος καὶ Κατάνη. εἰ δὲ προσγενήσεται ἔν ἔτι τοῖς πολεμίοις, ὥστε τὰ τρέφοντα ἡμᾶς χωρία τῆς Ἰιαλίας, ὁρῶντα ἐν ᾧ τ' ἐσμὲν καὶ ὑμῶν μὴ ἐπιβοηθούντων, πρὸς ἐκείνους χωρῆσαι, διαπεπολεμήσεται αὐτοῖς ἀμαχεὶ ἐκπολιορκηθέντων ἡμῶν ὁ πόλεμος."

3 "Τούτων ἐγὼ ἡδίω μὲν ἂν εἶχον ὑμῖν ἕτερα ἐπιστέλλειν, οὐ μέντοι χρησιμώτερά γε, εἰ δεῖ σαφῶς εἰδότας τὰ ἐνθάδε βουλεύσασθαι. καὶ ἅμα τὰς φύσεις ἐπιστάμενος ὑμῶν, βουλομένων μὲν τὰ ἥδιστα ἀκούειν, αἰτιωμένων δὲ ὕστερον, ἤν τι ὑμῖν ἀπ' αὐτῶν μὴ ὁμοῖον ἐκβῇ, ἀσφαλέστερον
15 ἡγησάμην τὸ ἀληθὲς δηλῶσαι. καὶ νῦν ὡς ἐφ' ἃ μὲν ἤλθομεν τὸ πρῶτον καὶ τῶν στρατιωτῶν καὶ τῶν ἡγεμόνων ὑμῖν μὴ μεμπτῶν γεγενημένων, οὕτω τὴν γνώμην ἔχετε· ἐπειδὴ δὲ Σικελία τε ἅπασα ξυνίσταται καὶ ἐκ Πελοποννήσου ἄλλη στρατιὰ προσδόκιμος, αὐτοὶ βουλεύεσθε ἤδη ὡς τῶν γ' ἐνθάδε μηδὲ τοῖς παροῦσιν ἀνταρκούντων, ἀλλ' ἢ τούτους μεταπέμπειν δέον ἢ ἄλλην στρατιὰν μὴ ἐλάσσω ἐπιπέμπειν

---

7 A. 8. ἐπι — nach, dazu, wie unſer nachfüllen. — ἀφ' ὧν, ἀπὸ τούτων ἅ, von, mit den Mitteln, Mannſchaften, mit denen — .— τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι ſowohl unſere vorhandenen Mittel als das was uns verloren geht hergenommen werde; d. h. wie wir von unſerer mitgebrachten Macht, gleichſam dem Capital, dieſe Verluſte beſtreiten müſſen, ſo muß uns das Uebrigbleibende ohne Erſatz für dieſelben zum Dienſte ausreichen. (So ungefähr Hl.)

§ 2. ἐν ᾧ. Gr. 43, 4 A. 4 u. 22. — ὑμῶν μὴ ἐπιβοηθούντων. ὑμᾶς μὴ ἐπιβοηθοῦντας würde man erwarten; allein der Ge. iſt mit ὁρῶντα verbunden (Gr. 56, 14 A. 2) und τέ verſetzt, wie in den Stellen bei Kr. zu Xen. An. 1, 2, 21. — διαπεπολεμήσεται für διαπολεμήσεται einige Hſ. debellatum est Va. — ὁ πόλεμος hatte Va. nicht; auch wohl nicht der Sch.: κατεργασθήσεται αὐτοῖς, διαπολεμήσεται ὁ πόλεμος. So ſteht das Wort auch 7, 25, 7 ohne Subject. vgl. Gr. 61, 5 A. 6. (Kr.)

C. 15 § 1. ἐφ' ἅ, ταῦτα ἐφ' ἅ in Bezug auf das wozu, zu deſſen Ausführung, das ταῦτα als Ac. an μὴ μεμπτός angeſchloſſen. (St.) — μεμπτῶν. zu 6, 13, 2. — Σικελία ἅπασα. Gr. 50, 11 A. 9. — αὐτοί, wie ich vermuthet hatte, eine ſehr gute Hſ. für das mit προσδόκιμος verbundene αὐτοῖς, was Va. nicht ausdrückt. — τοῖς παροῦσιν, πρὸς τοὺς ἐνθάδε πολεμίους. (Sch.) Doch iſt es das Neutrum. — ἀνταρκούντων für αὐταρκούντων einige gute Hſn. u. Va.,

καὶ πεζὴν καὶ ναυτικήν, καὶ χρήματα μὴ ὀλίγα, ἐμοὶ δὲ διάδοχόν τινα, ὡς ἀδύνατός εἰμι διὰ νόσον νεφρῖτιν παραμένειν. ἀξιῶ δ' ὑμῶν ξυγγνώμης τυγχάνειν· καὶ γὰρ ὅτ' ἐρ- 2
ρώμην πολλὰ ἐν ἡγεμονίαις ὑμᾶς εὖ ἐποίησα. ὅ τι δὲ μέλλετε, ἅμα τῷ ἦρι εὐθὺς καὶ μὴ ἐς ἀναβολὰς πράσσετε, ὡς τῶν πολεμίων τὰ μὲν ἐν Σικελίᾳ δι' ὀλίγου πορισμένων, τὰ δ' ἐκ Πελοποννήσου σχολαίτερον μέν, ὅμως δ', ἢν μὴ προσέχητε τὴν γνώμην, τὰ μὲν λήσουσιν ὑμᾶς ὥσπερ καὶ πρότερον, τὰ δὲ φθήσονται."

Ἡ μὲν τοῦ Νικίου ἐπιστολὴ τοσαῦτα ἐδήλου, οἱ δὲ 16
Ἀθηναῖοι ἀκούσαντες αὐτῆς τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς, ἀλλ' αὐτῷ, ἕως ἂν ἕτεροι ξυνάρχοντες αἱρεθέντες ἀφίκωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προσέλοντο, Μένανδρον καὶ Εὐθύδημον, ὅπως μὴ μόνος ἐν ἀσθενείᾳ ταλαιπωροίη, στρατιὰν δὲ ἄλλην ἐψηφίσαντο πέμπειν ναυτικὴν καὶ πεζὴν Ἀθηναίων τε ἐκ καταλόγου καὶ τῶν ξυμμάχων. καὶ ξυνάρχοντας 2
αὐτῷ εἵλοντο Δημοσθένην τε τὸν Ἀλκισθένους καὶ Εὐρυμέδοντα τὸν Θουκλέους. καὶ τὸν μὲν Εὐρυμέδοντα εὐθὺς περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς ἀποπέμπουσιν ἐς τὴν Σικελίαν μετὰ δέκα νεῶν, ἄγοντα εἴκοσι τάλαντα ἀργυρίου, καὶ ἅμα ἀγγελοῦντα τοῖς ἐκεῖ ὅτι ἥξει βοήθεια καὶ ἐπιμέλεια αὐτῶν ἔσται· ὁ δὲ Δημοσθένης ὑπομένων παρεσκευάζετο τὸν 17
ἔκπλουν ὡς ἅμα τῷ ἦρι ποιησόμενος, στρατιάν τε ἐπαγγέλ-

ἀντέχειν δυναμένων der Sch. — ὡς denn. Soph. Phil. 53: ἥκει σ' ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει. Heraklides bei Athen. p. 532, e: μάλα συχνοὺς ἐκέλευσε Χάρης Ἀθηναίων τόθ', ὡς γενναῖος ἦν. vgl. Kr. zu Xen. An. 5, 9, 30. vgl. 32.

§ 2. ἀξιῶ, ἄξιός εἰμι. (Sch.) ich glaube zu verdienen. — ὑμῶν. Kr. zu Xen. An. 1, 4, 15. — μέλλετε, πράττειν. Gr. 55, 4 A. 11. — ἐς ἀναβολάς. Her. 8, 21: οὐκ ἐς ἀναβολὰς ἐποιεῦντο τὴν ἀναχώρησιν. (Bl.) vgl. Pflugk zu Eur. Hel. 1297. (Hertlein.) — σχολαίτερον. πορισμένων. (Bl.) Pp. will das Verbum lieber aus dem Folgenden denken, hier doch hart. — λήσουσι — φθήσονται, πορισάμενοι. Gr. 56, 16 A. Dabei ein Uebergang zum Verbum finitum. vgl. zu 7, 13, 2.

C. 16. § 1. παρέλυσαν, ἀπήλλαξαν, μετέστησαν. (Phot.) — ἐκεῖ dürfte Glossem sein. Doch vergleicht Pp. Soph. Oed. K. 78: τῶν ἐνθάδ' αὐτοῦ. — ταλαιπωροίη belästigt würde. (Hl.)

§ 2. καὶ ἑκατόν fügen hinzu eine sehr gute Hs. u. Va.

C. 17. § 1. ὡς ποιησόμενος. zu 3, 15, 1. — στρατιὰν

λων ἐς τοὺς ξυμμάχους καὶ χρήματα αὐτόθεν καὶ ναῦς καὶ ὁπλίτας ἑτοιμάζων. πέμπουσι δὲ καὶ περὶ τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι εἴκοσι ναῦς, ὅπως φυλάσσοιεν μηδένα ἀπὸ Κορίνθου καὶ τῆς Πελοποννήσου ἐς τὴν Σικελίαν περαιοῦ-
2 σθαι. οἱ γὰρ Κορίνθιοι, ὡς αὐτοῖς οἱ πρέσβεις ἦκον καὶ τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον, νομίσαντες οὐκ ἄκαιρον καὶ τὴν προτέραν πέμψιν τῶν νεῶν ποιήσασθαι, πολλῷ μᾶλλον ἐπέρρωντο, καὶ ἐν ὁλκάσι παρεσκευάζοντο αὐτοί τε ἀποστελοῦντες ὁπλίτας ἐς τὴν Σικελίαν καὶ ἐκ τῆς ἄλλης Πελο-
3 ποννήσου οἱ Λακεδαιμόνιοι τῷ αὐτῷ τρόπῳ πέμψοντες. ναῦς τε οἱ Κορίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως ναυμαχίας τε ἀποπειράσωσι πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ φυλακήν, καὶ τὰς ὁλκάδας αὐτῶν ἧσσον οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι κωλύοιεν ἀπαίρειν, πρὸς τὴν σφετέραν ἀντίταξιν τῶν τριήρων τὴν φυλακὴν ποιούμενοι.

18 Παρεσκευάζοντο δὲ καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν οἱ Λακεδαιμόνιοι, ὥσπερ τε προεδέδοκτο αὐτοῖς καὶ τῶν Συρακοσίων καὶ Κορινθίων ἐναγόντων, ἐπειδὴ ἐπυνθάνοντο τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ἐς τὴν Σικελίαν, ὅπως δὴ
2 ἐσβολῆς γενομένης διακωλυθῇ. καὶ ὁ Ἀλκιβιάδης προσκείμενος ἐδίδασκε τὴν Λεκέλειαν τειχίζειν καὶ μὴ ἀνιέναι τὸν

ἐπαγγέλλων wie imperare milites, auch 8, 108, 3. vgl. 7, 17, 2. (Arn.)

§ 2. βελτίω. Eur. Hek. 423: ἄγγελλε πασῶν ἀθλιωτάτην ἐμέ. vgl. dort Pflugk u. Gr. 56, 7 A. 4. — πέμψιν. Ein seltenes Wort, bei Thuk. nur hier, bei Her. 8, 54. — ἐς τὴν Σικελίαν für ἐν τῇ Σικελίᾳ eine sehr gute Hs.; letzteres ist aus dem Anf. dieses § wiederholt. — τῷ αὐτῷ τρόπῳ ist hinzugefügt als wäre vorher gestellt καὶ αὐτοί τε παρεσκευάζοντο ἐν ὁλκάσιν ἀποστελοῦντες. (Pp.)

§ 3. φυλακήν, wohl die zwanzig Schiffe 7, 19, 5. 31, 3, obschon Thuk. die Sache nicht so klar wie er sollte erzählt hat. (H. zu 7, 31.) — αὐτῶν für σφῶν, obgleich σφετέραν folgt. zu 5, 32, 4. — σφετέραν. zu 2, 61, 2.

C. 18. § 1. προεδέδοκτο 6, 93, 2. — καὶ ἐναγόντων. man würde καὶ ἐνῆγον erwarten. vgl. Gr. 59, 2 A. 4. — ἀπὸ τῶν Ἀθηναίων. zu 2, 86, 4. — ἐσβολῆς, τῶν Λακεδαιμονίων ἐς τὴν Ἀττικήν. (Sch.)

§ 2. ἐδίδασκε τειχίζειν regte sie an daß sie befestigen sollten. Ar. Vögel 550: διδάσκω μίαν ὀρνίθων πόλιν εἶναι. Gr. 55, 11. — ἀνιέναι. ἀνεῖναι eine sehr gute Hs. — ῥώμη Ermu-

πόλεμον· μάλιστα δὲ τοῖς Λακεδαιμονίοις ἐγεγένητό τις ῥώμη, διότι τοὺς Ἀθηναίους ἐνόμιζον διπλοῦν τὸν πόλεμον ἔχοντας, πρός τε σφᾶς καὶ Σικελιώτας, εἰκαθαιρετωτέρους ἔσεσθαι, καὶ ὅτι τὰς σπονδὰς προτέρους λελυκέναι ἡγοῦντο αὐτούς· ἐν γὰρ τῷ προτέρῳ πολέμῳ σφέτερον τὸ παρανό- 3
μημα μᾶλλον γενέσθαι, ὅτι τε ἐς Πλάταιαν ἦλθον Θηβαῖοι ἐν σπονδαῖς, καὶ εἰρημένον ἐν ταῖς πρότερον ξυνθήκαις ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας θέλωσι διδόναι, αὐτοὶ οὐχ ὑπήκουον ἐς δίκας προκαλουμένων τῶν Ἀθηναίων. καὶ διὰ τοῦτο εἰκότως δυστυχεῖν τε ἐνόμιζον καὶ ἐνεθυμοῦντο τήν τε περὶ Πύλον ξυμφορὰν καὶ εἴ τις ἄλλη αὐτοῖς γένοιτο. ἐπειδὴ δὲ 4
οἱ Ἀθηναῖοι ταῖς τριάκοντα ναυσὶν ἐξ Ἄργους ὁρμώμενοι Ἐπιδαύρου τέ τι καὶ Πρασιῶν καὶ ἄλλα ἐδῄωσαν καὶ ἐκ Πύλου ἅμα ἐλῄστευον, καὶ ὁσάκις περί του διαφοραὶ γένοιντο τῶν κατὰ τὰς σπονδὰς ἀμφισβητουμένων, ἐς δίκας προκαλουμένων τῶν Λακεδαιμονίων οὐκ ἤθελον ἐπιτρέπειν, τότε δὴ οἱ Λακεδαιμόνιοι νομίσαντες τὸ παρανόμημα, ὅπερ καὶ σφίσι πρότερον ἡμάρτητο, αὖθις ἐς τοὺς Ἀθηναίους τὸ αὐτὸ περιεστάναι, πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον. καὶ ἐν 5
τῷ χειμῶνι τούτῳ σίδηρόν τε περιήγγελλον κατὰ τοὺς ξυμμάχους καὶ τἆλλα ἐργαλεῖα ἡτοίμαζον ἐς τὸν ἐπιτειχισμόν, καὶ τοῖς ἐν τῇ Σικελίᾳ ἅμα ὡς ἀποπέμψοντες ἐν ταῖς ὁλκάσιν ἐπικουρίαν αὐτοί τε ἐπόριζον καὶ τοὺς ἄλλους Πελοποννησίους προσηνάγκαζον. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ὄγδοον

---

thigung. vgl. 7, 42, 3. 4, 29, 2 u. zu 2, 8, 1. — *εὐκαθαιρετωτέρους, εὐχειροτέρους.* (Sch.) vgl. zu 1, 4.

§ 3. *ἐν σπονδαῖς, οὐσῶν σπονδῶν.* (Sch.) — *εἰρημένον.* zu 1, 125, 1. — *ἐν ταῖς ξυνθήκαις* im dreißigjährigen Vertrage. vgl. 1, 140, 3. 145. — *καὶ ἐνεθυμοῦντο* und sie erwogen, daher ableitend. — *γένοιτο.* Der Optativ bezeichnet den Gedanken als Vorstellung; der Begriff des Mehrfachen liegt in *εἴ τις.* Eine Hs. *ἐγενετο,* eine andere *ἐγεγόνει;* und *γένοιτο* könnte aus § 4 entstanden sein.

§ 4. *ἐξ Ἄργους* fügt eine gute Hs. hinzu; ex agro Va. — *ὁρμώμενοι, ὡρμημένοι.* (Kr.) — *ταῖς τριάκοντα ναυσί* 6, 105, 1. (Bd.) — *ἐλῄστευον* für *ἐλῃσιεῦντο* eine sehr gute Hs. Das Medium scheint man nicht gebraucht zu haben. (Pp.) — *ἐπιτρέπειν.* zu 5, 31, 3. — *τὸ αὐτό.* Gr. 51, 5 A. 1.

§ 5. *περιήγγελλον.* zu 2, 85, 2. — *τοῖς ἐν τῇ Σικελίᾳ* gehört auch zu *ἐπόριζον,* wofür eine Hs. *ἐπορίζοντο.* (Pp.)

καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

19 Τοῦ δ' ἐπιγιγνομένου ἦρος εὐθὺς ἀρχομένου πρωΐτατα δὴ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐς τὴν Ἀττικὴν ἐσέβαλον· ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ πρῶτον μὲν τῆς χώρας τὰ περὶ τὸ πεδίον ἐδῄωσαν, ἔπειτα Ἐλευσῖνα ἐτείχιζον, κατὰ πόλεις διελόμενοι τὸ
2 ἔργον. ἀπέχει δὲ ἡ Ἐλευσὶς σταδίους μάλιστα τῆς τῶν Ἀθηναίων πόλεως εἴκοσι καὶ ἑκατόν, παραπλήσιον δὲ καὶ οὐ πολλῷ πλέον καὶ ἐπὶ τῆς Βοιωτίας. ἐπὶ δὲ τῷ πεδίῳ καὶ τῆς χώρας τοῖς κρατίστοις ἐς τὸ κακουργεῖν ᾠκοδομεῖτο
3 τὸ τεῖχος, ἐπιφανὲς μέχρι τῆς τῶν Ἀθηναίων πόλεως. καὶ οἱ μὲν ἐν τῇ Ἀττικῇ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐτείχιζον, οἱ δ' ἐν τῇ Πελοποννήσῳ ἀπέστελλον περὶ τὸν αὐτὸν χρόνον ταῖς ὁλκάσι τοὺς ὁπλίτας ἐς τὴν Σικελίαν, Λακεδαιμόνιοι μὲν τῶν τε Εἱλώτων ἐπιλεξάμενοι τοὺς βελτίστους καὶ τῶν νεοδαμωδῶν, ξυναμφοτέρων ἐς ἑξακοσίους ὁπλίτας, καὶ Ἔκκριτον Σπαρτιάτην ἄρχοντα, Βοιωτοὶ δὲ τριακοσίους ὁπλίτας, ὧν ἦρχον Ξένων τε καὶ Νίκων Θηβαῖοι καὶ Ἡγή-
4 σανδρος Θεσπιεύς. οὗτοι μὲν οὖν ἐν τοῖς πρώτοις ὁρμήσαντες ἀπὸ τοῦ Ταινάρου τῆς Λακωνικῆς ἐς τὸ πέλαγος ἀφῆκαν· μετὰ δὲ τούτους Κορίνθιοι οὐ πολλῷ ὕστερον πεντακοσίους ὁπλίτας, τοὺς μὲν ἐξ αὐτῆς Κορίνθου, τοὺς δὲ

C. 19. § 1. *πρωΐτατα* für *πρωιαίτατα* die besten Hsn. und Thomas M., der die Formation *πρωίτερος, ίτατος* für besser erklärt als *πρωιαίτερος* und *αίτατος*. vgl. 8, 101, 2. (Tr.) Auch Xen. An. 3, 4, 1 haben drei der besten Hsn. *πρωίτερον*. (Pp.) vgl. 7, 39, 1. — *περί.* Gr. 68, 33 A. 1.

§ 2. *παραπλήσιον δὲ καὶ οὐ πολλῷ πλέον καί* scheinen aus Glossemen zu *μάλιστα* entstanden. — *ἐπί. ἀπό* zwei Hsn. und Va. — *ἐς τὸ κακουργεῖν* halte ich für Glossem zu *ἐπὶ τῷ*. Gr. 68, 41 A. 7. — *τοῖς κρατίστοις* den fruchtbarsten, einträglichsten Theile.

§ 3. *ταῖς ὁλκάσι* kann instrumental erklärt werden, wie § 5; doch *ἐν ὁλκάσι* 7, 7, 3. 17, 2. (Kr.) — *τοὺς ὁπλίτας*, die 7, 17, 2 erwähnten. — *τῶν* vor *Νεοδαμωδῶν* fehlt in den besten Hsn. — *ἐς* hat nur eine gute Hs.

§ 4. *πρώτοις. πρῶτοι* Reiz de incl. acc. p. 20. vgl. zu 4, 105, 1. — *ἀφῆκαν* stachen in See. Her. 7, 193: *ἐντεῦθεν ἔμελλον ἐς τὸ πέλαγος ἀφήσειν· ἐπὶ τούτου δὲ τῷ χώρῳ ὄνομα γέγονε Ἀφέται.*

προσμισθωσάμενοι Ἀρκάδων, καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες ἀπέπεμψαν. ἀπέστειλαν δὲ καὶ Σικυώνιοι διακοσίους ὁπλίτας ὁμοῦ τοῖς Κορινθίοις, ὧν ἦρχε Σαργεὺς Σικυώνιος. αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ τοῦ χειμῶνος πληρωθεῖσαι ἀνθώρμουν ταῖς ἐν τῇ Ναυπάκτῳ εἴκοσιν Ἀττικαῖς, ἕως περ αὐτοῖς οὗτοι οἱ ὁπλῖται ταῖς ὁλκάσιν ἀπὸ τῆς Πελοποννήσου ἀπῆραν· οὗπερ ἕνεκα καὶ τὸ πρῶτον ἐπληρώθησαν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ὁλκάδας μᾶλλον ἢ πρὸς τὰς τριήρεις τὸν νοῦν ἔχωσιν.

Ἐν δὲ τούτῳ καὶ οἱ Ἀθηναῖοι ἅμα τῆς Λεκελείας τῷ τειχισμῷ καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου περί τε Πελοπόννησον ναῦς τριάκοντα ἔστειλαν καὶ Χαρικλέα τὸν Ἀπολλοδώρου ἄρχοντα, ᾧ εἴρητο καὶ ἐς Ἄργος ἀφικομένῳ κατὰ τὸ ξυμμαχικὸν παρακαλεῖν Ἀργείων [τε] ὁπλίτας ἐπὶ τὰς ναῦς, καὶ τὸν Λημοσθένην ἐς τὴν Σικελίαν, ὥσπερ ἔμελλον, ἀπέστελλον ἑξήκοντα μὲν ναυσὶν Ἀθηναίων καὶ πέντε Χίαις, ὁπλίταις δὲ ἐκ κατιλόγου Ἀθηναίων διακοσίοις καὶ χιλίοις, καὶ νησιωτῶν ὅσοις ἑκασταχόθεν οἷόν τ' ἦν πλείστοις χρήσασθαι, καὶ ἐκ τῶν ἄλλων ξυμμάχων τῶν ὑπηκόων, εἴ ποθέν τι εἶχον ἐπιτήδειον ἐς τὸν πόλεμον, ξυμπορίσαντες. εἴρητο δ' αὐτῷ πρῶτον μετὰ τοῦ Χαρικλέους ἅμα περιπλέοντα ξυστρατεύεσθαι περὶ τὴν Λακωνικήν. καὶ ὁ μὲν Λημοσθένης ἐς τὴν Αἴγιναν πλεύσας τοῦ στρατεύματός τε εἴ τι ὑπελείπετο περιέμενε καὶ τὸν Χαρικλέα τοὺς Ἀργείους παραλαβεῖν.

(Ab.) — *καί* vor *ἄρχοντα* verbindet dieſes mit *ὁπλίτας; προστάξαντες* ſteht für ſich zu 3, 26, 1. — *Ἀρκάδων* aus der Zahl der A. Gr. 47, 9.

§ 5. *αὐτοῖς οὗτοι* für *αὐτοῖς* eine gute Hſn.; die übrigen *οὗτοι* oder *αὐτοῖς*. Für *αὐτοῖς* 3, 98, 1. 6, 34, 2. 105, 1. (7, 39, 2.) (Dr.) — *πρῶτον* für *πρότερον* zwei Hſn.

C. 20. § 1. *καὶ οἱ Ἀ.* auch die A., wie die Peloponneſier, feierten nicht, indem ſie ꝛc.; über das nächſte *καί* Gr. 59, 2 A. 3. — *περί τε* für *περί* zwei Hſn. Es entſpricht *καὶ τὸν Λημοσθένην*, wobei denn *τέ* nach *Ἀργείων* mit Reiske u. A. zu tilgen iſt. — *παρακαλεῖν*. *παραλαβεῖν* Kr. vgl. 26, 1 ꝛc. — *χρήσασθαι*. zu 1, 6, 3.

§ 2. *ἀπέστελλον*. Gr. 53, 2 A. 1. Das Ipf. hier vielleicht weil die Wirkung dauert. — *ὅσοις*. Gr. 49, 10 A. 4. — *καὶ ξυμπορίσαντες*. zu 1, 26, 3.

§ 3. *πλέοντα*. Kr. zu Xen. An. 1, 2, 1 u. Lobeck zu Soph. Aj. 1006. — *παραλαβεῖν, ἀπὸ κοινοῦ τὸ περιέμενεν*. (Sch.)

21 Ἐν δὲ τῇ Σικελίᾳ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ
ἦρος καὶ ὁ Γύλιππος ἦκεν ἐς τὰς Συρακούσας, ἄγων ἀπὸ
τῶν πόλεων ὧν ἔπεισε στρατιὰν ὅσην ἑκασταχόθεν πλείστην
ἐδύνατο. καὶ ξυγκαλέσας τοὺς Συρακοσίους ἔφη χρῆναι πλη-
ροῦν ναῦς ὡς δύνανται πλείστας καὶ ναυμαχίας ἀπόπειραν
2 λαμβάνειν· ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον ἄξιον τοῦ κιν-
δύνου ἐς τὸν πόλεμον κατεργάσασθαι. ξυνέπειθε δὲ καὶ ὁ
Ἑρμοκράτης οὐχ ἥκιστα τοῦ ταῖς ναυσὶ μὴ ἀθυμεῖν ἐπιχει-
ρήσειν πρὸς τοὺς Ἀθηναίους, λέγων οὐδ' ἐκείνους πάτριον
τὴν ἐμπειρίαν οὐδ' ἀΐδιον τῆς θαλάσσης ἔχειν, ἀλλ' ἠπειρώ-
τας μᾶλλον τῶν Συρακοσίων ὄντας καὶ ἀναγκασθέντας ὑπὸ
3 Μήδων ναυτικοὺς γενέσθαι. καὶ πρὸς ἄνδρας τολμηρούς,
οἵους καὶ Ἀθηναίους, τοὺς ἀντιτολμῶντας χαλεπωτάτους [ἂν]
αὐτοῖς φαίνεσθαι· ᾧ γὰρ ἐκεῖνοι τοὺς πέλας, οὐ δυνάμει
ἔστιν ὅτε προὔχοντες, τῷ δὲ θράσει ἐπιχειροῦντες καταφο-
βοῦσιν, καὶ σφᾶς ἂν τὸ αὐτὸ ὁμοίως τοῖς ἐναντίοις ὑποσχεῖν.
4 καὶ Συρακοσίους εὖ εἰδέναι ἔφη τῷ τολμῆσαι ἀπροσδοκήτως
πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀνίστῃναι πλέον τι διὰ τὸ τοι-
οῦτον ἐκπλαγέντων αὐτῶν περιγενησομένους ἢ Ἀθηναίους τῇ
5 ἐπιστήμῃ τὴν Συρακοσίων ἀπειρίαν βλάψοντας. ἰέναι οὖν
ἐκέλευεν ἐς τὴν πεῖραν τοῦ ναυτικοῦ καὶ μὴ ἀποχωρεῖν. καὶ
οἱ μὲν Συρακόσιοι, τοῦ τε Γυλίππου καὶ Ἑρμοκράτους καὶ
εἴ του ἄλλου πειθόντων, ὥρμηντό τε ἐς τὴν ναυμαχίαν καὶ
22 τὰς ναῦς ἐπλήρουν· ὁ δὲ Γύλιππος ἐπειδὴ παρεσκευάσατο
τὸ ναυτικόν, ἀγαγὼν ὑπὸ νύκτα πᾶσαν τὴν στρατιὰν τὴν πεζὴν
αὐτὸς μὲν τοῖς ἐν τῷ Ἡλημμυρίῳ τείχεσι κατὰ γῆν ἔμελλε
προσβαλεῖν, αἱ δὲ τριήρεις τῶν Συρακοσίων ἅμα καὶ ἀπὸ

C. 21. § 2. *ἀπ' αὐτοῦ, τοῦ ναυμαχεῖν.* (Sch.) Ueber *ἀπό* vgl. 4, 21, 4. — *κατεργάσασθαι.* Gr. 53, 1 A. 10. — *ξυνανέπειθε. ξυνέπειθε* die meiſten Hſn. — *τοῦ* vor *ταῖς ναυσί* fehlt in mehrern Hſn., freilich ſchlechtern; vielleicht *τό*? — *ἐπιχειρήσειν.* zu 1, 27, 2. *ἐπιχείρησιν* Dobree, auch mir eingefallen. — *ὄντας καί.* zu 1, 1, 1.

§ 3. *πρὸς ἄνδρας* iſt mit *ἀντιτολμῶντας* zu verbinden. (Bs.) — *οἵους.* Gr. 62, 4 A. 3. — *ἄν* fehlt in vielen und guten Hſn. — *τῷ* mit ihrer. Gr. 50, 2 A. 3. — *σφᾶς. σφεῖς* Bk. zu 3, 111, 2. — *ὑποσχεῖν* darbieten. (Ba.) Eine ungewöhnliche Verbindung.

§ 4. *πλέον τι* für *πλέον* eine gute Hſ.

§ 5. *εἴ του ἄλλου.* Soph. Aj. 487: *ἐξέφυν πατρὸς εἴπερ τινὸς σθένοντος ἐν πλούτῳ Φρυγῶν.* (Pp.) Gr. 60, 10 A. 2.

C. 22. § 1. *παρεσκευάσατο. παρεσκεύαστο* zwei Hſn. — *ἀπὸ ξ.* zu 4, 67, 5.

ξυνθήματος πέντε μὲν καὶ τριάκοντα ἐκ τοῦ μεγάλου λιμένος ἐπέπλεον, αἱ δέ, πέντε καὶ τεσσαράκοντα, ἐκ τοῦ ἐλάσσονος, 2
οὗ ἦν καὶ τὸ νεώριον αὐτοῖς, περιέπλεον, βουλόμενοι πρὸς τὰς ἐντὸς προσμῖξαι καὶ ἅμα ἐπιπλεῖν τῷ Πλημμυρίῳ, ὅπως οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυβῶνται. οἱ δ' Ἀθηναῖοι διὰ τάχους ἀντιπληρώσαντες ἑξήκοντα ναῦς ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε καὶ τριάκοντα τῶν Συρακοσίων τὰς ἐν τῷ μεγάλῳ λιμένι ἐναυμάχουν, ταῖς δ' ἐπιλοίποις ἀπήντων ἐπὶ τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας. καὶ εὐθὺς πρὸ 3
τοῦ στόματος τοῦ μεγάλου λιμένος ἐναυμάχουν, καὶ ἀντεῖχον ἀλλήλοις ἐπὶ πολύ, οἱ μὲν βιάσασθαι βουλόμενοι τὸν ἔκπλουν, οἱ δὲ κωλύειν.

Ἐν τούτῳ δ' ὁ Γύλιππος τῶν ἐν τῷ Πλημμυρίῳ Ἀθη- 23
ναίων πρὸς τὴν θάλασσαν ἐπικαταβάντων καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προσεχόντων φθάνει προσπεσὼν ἅμα τῇ ἔῳ αἰφνιδίως τοῖς τείχεσιν, καὶ αἱρεῖ τὸ μέγιστον πρῶτον, ἔπειτα δὲ καὶ τὰ ἐλάσσω δύο, οὐχ ὑπομεινάντων τῶν φυλάκων, ὡς εἶδον τὸ μέγιστον ῥᾳδίως ληφθέν. καὶ ἐκ μὲν τοῦ 2
πρώτου ἁλόντος χαλεπῶς οἱ ἄνθρωποι, ὅσοι καὶ ἐς τὰ πλοῖα καὶ ὁλκάδα τινὰ κατέφυγον, ἐς τὸ στρατόπεδον ἐξεκομίζοντο· τῶν γὰρ Συρακοσίων ταῖς ἐν τῷ μεγάλῳ λιμένι ναυσὶ κρατούντων τῇ ναυμαχίᾳ ὑπὸ τριήρους μιᾶς καὶ εὖ πλεούσης ἐπεδιώκοντο· ἐπειδὴ δὲ τὰ δύο τειχίσματα ἡλίσκετο, ἐν τούτῳ 3
καὶ οἱ Συρακόσιοι ἐτύγχανον ἤδη νικώμενοι καὶ οἱ ἐξ αὐτῶν φεύγοντες ῥᾷον παρέπλευσαν. αἱ γὰρ τῶν Συρακοσίων αἱ πρὸ τοῦ στόματος νῆες ναυμαχοῦσαι βιασάμεναι τὰς τῶν

---

§ 2. αἱ δὲ πέντε die andern aber, fünf, ſo daß die Zahl hier appoſitiv ſteht. (Hk.) Kr. zu Xen. An. 1, 2, 3. — καί vor περιέπλεον iſt mit einer guten Hſ. u. Va. getilgt. — πρὸς τὰς ἐντὸς προσμῖξαι, ταῖς ἰδίαις ταῖς ἐν τῷ μεγάλῳ λιμένι συμμῖξαι. (Sch.) — ταῖς μέν. Ueber den Artikel. Gr. 50, 2 A. 8. — οἱ μέν, οἱ Συρακούσιοι. (Sch.)

C. 23. § 1. ἐπικαταβάντων. ἐπι — gegen. (Abr.) — αἰφνιδίως. αἰφνίδιος προσπίπτει 6, 49, 2. vgl. zu 4, 75, 3. Doch findet ſich das Adv. auch 4, 96, 4. 5, 8, 3. 9, 5. 7, 3, 1. vgl. 2, 53, 1.

§ 2. πρώτου. Gr. 50, 12, 1. vgl. 57, 5 A. 3. — γάρ erläutert das χαλεπῶς.

§ 3. οἱ ἐξ αὐτῶν, τῶν τειχισμάτων. (Sch.) — αἱ — αἱ. Gr. 50, 9 A. 1. — ναυμαχοῦσαι. Ueber die Stellung Gr. 50, 10 A. 3. — ναῦς fehlt in einer Hſ.

Ἀθηναίων ναῦς οὐδενὶ κόσμῳ ἐσέπλεον καὶ ταραχθεῖσαι
4 περὶ ἀλλήλας παρέδοσαν τὴν νίκην τοῖς Ἀθηναίοις· ταύτας
τε γὰρ ἔτρεψαν καὶ ὑφ' ὧν τὸ πρῶτον ἐνικῶντο ἐν τῷ λιμένι.
καὶ ἕνδεκα μὲν ναῦς τῶν Συρακοσίων κατέδυσαν καὶ τοὺς
πολλοὺς τῶν ἀνθρώπων ἀπέκτειναν, πλὴν ὅσον ἐκ τριῶν
νεῶν, οὓς ἐζώγρησαν· τῶν δὲ σφετέρων τρεῖς νῆες διεφθά-
ρησαν. τὰ δὲ ναυάγια ἀνελκύσαντες τῶν Συρακοσίων, καὶ
τροπαῖον ἐν τῷ νησιδίῳ στήσαντες τῷ πρὸ τοῦ Πλημμυρίου,
ἀνεχώρησαν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

24 Οἱ δὲ Συρακόσιοι κατὰ μὲν τὴν ναυμαχίαν οὕτως ἐπε-
πράγεσαν, τὰ δ' ἐν τῷ Πλημμυρίῳ τείχη εἶχον καὶ τροπαῖα
ἔστησαν αὐτῶν τρία. καὶ τὸ μὲν ἕτερον τοῖν δυοῖν τειχοῖν
τοῖν ὕστερον ληφθέντοιν κατέβαλον, τὰ δὲ δύο ἐπισκευάσαν-
2 τες ἐφρούρουν. ἄνθρωποι δ' ἐν τῶν τειχῶν τῇ ἁλώσει ἀπέ-
θανον καὶ ἐζωγρήθησαν πολλοὶ καὶ χρήματα πολλὰ τὰ ξύμ-
παντα ἑάλω· ἅτε γὰρ ταμιείῳ χρωμένων τῶν Ἀθηναίων
τοῖς τείχεσι πολλὰ μὲν ἐμπόρων χρήματα καὶ σῖτος ἐνῆν,
πολλὰ δὲ καὶ τριηράρχων, ἐπεὶ καὶ ἴσιλα τεσσαράκοντα τρι-
ήρων καὶ τἆλλα σκεύη ἐγκατελήφθη καὶ τριήρεις ἀνειλκυσμέ-
3 ναι τρεῖς. μέγιστόν τε καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στρά-
τευμα τὸ τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις· οὐ γὰρ
ἔτι οὐδ' οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτη-
δείων — οἱ γὰρ Συρακόσιοι ναυσὶν αὐτόθι ἐφορμοῦντες

---

§ 4. ἔτρεψαν, οἱ Ἀθηναῖοι. (Sch.) — καὶ ὑφ' ὧν. Gr. 51, 13 A. 5. — πλὴν ὅσον außer wie viel von Mannſchaft, erg. ἦν; ἔκ ſteht mit Bezug auf das Hinbringen zu den Athenern — τῷ νησιδίῳ, am Eingange des großen Hafens, jetzt isola del Castelluccio. (Bd.)

S. 24. § 1. οὕτως ἐπεπράγεσαν, οὕτως ἐδυστύχησαν. (Sch.) Gr. 46, 5 A. 11. — αὐτῶν, τῶν τειχέων. (Ds.) wegen Eroberung der Feſten. Gr. 47, 7 A. 3. — τὰ δύο. Gr. 50, 2 A. 8.

§ 2. τὰ ξύμπαντα. Gr. 50, 11 A. 13. — ἅτε für ὥστε eine Hſ. Dagegen Lobeck z. Phryn. p. 427. — χρήματα Waaren. — ἐπεί. zu 1, 12, 1.

§ 3. μέγιστον hängt von ἐκάκωσεν ab. (Bd.) So μέγιστον ἔβλαψε 7, 44, 6, μέγα βεβλάφθαι Xen. Cyr. 5, 3, 30. (Py.) — τε für δέ eine gute Hſ. — ἐν τοῖς. zu 1, 6, 2. — οἱ ἔσπλοι τῆς ἐπαγωγῆς die Einfahrt der Zufuhr der d. h. der zuzuführenden. —

ἐκώλυον καὶ διὰ μάχης ἤδη ἐγίγνοντο οἱ ἐσκομιδαί — ἔς τε τἆλλα κατάπληξιν παρέσχε καὶ ἀθυμίαν τῷ στρατεύματι.

Μετὰ δὲ τοῦτο ναῦς τε ἐκπέμπουσι δώδεκα οἱ Συρακό- 25
σιοι καὶ Ἀγάθαρχον ἐπ' αὐτῶν Συρακόσιον ἄρχοντα. καὶ αὐτῶν μία μὲν ἐς Πελοπόννησον ᾤχετο πρέσβεις ἄγουσα, ὅπως τά τε σφέτερα φράσωσιν ὅτι ἐν ἐλπίσιν εἰσὶ καὶ τὸν ἐκεῖ πόλεμον ἔτι μᾶλλον ἐποτρύνωσι γίγνεσθαι· αἱ δ' ἕνδεκα 2
νῆες πρὸς τὴν Ἰταλίαν ἔπλευσαν, πυνθανόμεναι πλοῖα τοῖς Ἀθηναίοις γέμοντα χρημάτων προσπλεῖν. καὶ τῶν τε πλοίων ἐπιτυχοῦσαι τὰ πολλὰ διέφθειραν καὶ ξύλα ναυπηγήσιμα ἐν τῇ Καυλωνιάτιδι κατέκαυσαν, ἃ τοῖς Ἀθηναίοις ἑτοῖμα ἦν. ἔς τε Λοκροὺς μετὰ ταῦτα ἦλθον, καὶ ὁρμουσῶν αὐτῶν κα- 3
τέπλευσε μία τῶν ὁλκάδων τῶν ἀπὸ Πελοποννήσου ἄγουσα Θεσπιέων ὁπλίτας· καὶ ἀναλαβόντες αὐτοὺς οἱ Συρακόσιοι ἐπὶ τὰς ναῦς παρέπλεον ἐπ' οἴκου. φυλάξαντες δ' αὐτοὺς οἱ Ἀθηναῖοι εἴκοσι ναυσὶ πρὸς τοῖς Μεγάροις μίαν μὲν ναῦν λαμβάνουσιν αὐτοῖς ἀνδράσιν, τὰς δ' ἄλλας οὐκ ἐδυνήθησαν, ἀλλ' ἀποφεύγουσιν ἐς τὰς Συρακούσας.

Ἐγένειο δὲ καὶ περὶ τῶν σταυρῶν ἀκροβολισμὸς ἐν τῷ 4
λιμένι, οὓς οἱ Συρακόσιοι πρὸ τῶν παλαιῶν νεωσοίκων κατέπηξαν ἐν τῇ θαλάσσῃ, ὅπως αὐτοῖς αἱ νῆες ἐντὸς ὁρμοῖεν καὶ οἱ Ἀθηναῖοι ἐπιπλέοντες μὴ βλάπτοιεν ἐμβάλλοντες. προσαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς οἱ Ἀθηναῖοι, πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα, ἔκ τε τῶν

ἐσκομιδαί, ἐσαγωγαὶ τῶν ἐπιτηδείων. (Sch.) — παρέσχε, ἡ τοῦ Πλημμυρίου λῆψις.

C. 25. § 1. ὅπως für οἵπερ eine gute Hs. Gr. 53, 7 A. 7. vgl. Herm. de part. ἄν 2, 12. Oder man müßte φράσουσιν, wie Martins Hs. u. als Verbesserung zwei andre haben, und ἐποτρυνοῦσι lesen.

§ 2. αἱ ἕνδεκα die übrigen eilf. (Ps.) Gr. 50, 2 A. 8. — πυνθανόμεναι. Hs. πυνθανόμενοι eine Hs. — πλοίων ἐπιτυχοῦσαι. zu 3, 3, 4.

§ 3. φυλάξαντες αὐτούς, τηρήσαντες καιρὸν εἰς τὸ ἐπιθέσθαι αὐτοῖς. (Sch.) — ἐδυνήθησαν, λαμβάνειν. Gr. 55, 4 A. 11.

§ 4. σταυρῶν. σταυρωμάτων eine gute Hs. — προσαγαγόντες, τοῖς σταυρώμασι δηλονότι. (Sch.) — μυριοφόρον. μυριαμφόρον Hl. u. Lobeck z. Phryn. S. 662. Der Sch.: μεγάλην, δυναμένην δέξασθαι μυρίον φόρτον. — παραφράγματα, παραπετάσματα. (Sch.) hölzerne Bruſtwehren. vgl. Schn. zu Xen. Hell. 1, 6, 19. (Py.)

ἀκάτων ὤνενον ἀναδούμενοι τοὺς σταυροὺς καὶ ἀνέκλων καὶ
5 κατακολυμβῶντες ἐξέπριον. οἱ δὲ Συρακόσιοι ἀπὸ τῶν νεωσοίκων ἔβαλλον· οἱ δ' ἐκ τῆς ὁλκάδος ἀντέβαλλον, καὶ τέλος τοὺς πολλοὺς τῶν σταυρῶν ἀνεῖλον οἱ Ἀθηναῖοι. χαλεπωτάτη δ' ἦν τῆς σταυρώσεως ἡ κρύφιος· ἦσαν γὰρ τῶν σταυρῶν οὓς οὐχ ὑπερέχοντας τῆς θαλάσσης κατέπηξαν, ὥστε δεινὸν ἦν προσπλεῦσαι, μὴ οὐ προϊδών τις ὥσπερ περὶ ἕρμα περιβάλῃ τὴν ναῦν. ἀλλὰ καὶ τούτους κολυμβηταὶ δυόμενοι
6 ἐξέπριον μισθοῦ. ὅμως δ' αὖθις οἱ Συρακόσιοι ἐσταύρωσαν. πολλὰ δὲ καὶ ἄλλα πρὸς ἀλλήλους, οἷον εἰκὸς τῶν στρατοπέδων ἐγγὺς ὄντων καὶ ἀντιτεταγμένων, ἐμηχανῶντο καὶ ἀκροβολισμοῖς καὶ πείραις παντοίαις ἐχρῶντο.

7 Ἔπεμψαν δὲ καὶ ἐς τὰς πόλεις πρέσβεις οἱ Συρακόσιοι Κορινθίων καὶ Ἀμπρακιωτῶν καὶ Λακεδαιμονίων, ἀγγέλλοντας τήν τε τοῦ Πλημμυρίου λῆψιν καὶ τῆς ναυμαχίας πέρι ὡς οὐ τῇ τῶν πολεμίων ἰσχύϊ μᾶλλον ἢ τῇ σφετέρᾳ ταραχῇ ἡσσηθεῖεν, τά τε ἄλλα αὖ δηλώσοντας ὅτι ἐν ἐλπίσιν εἰσὶ καὶ ἀξιώσοντας ξυμβοηθεῖν ἐπ' αὐτοὺς καὶ ναυσὶ καὶ πεζῷ, ὡς καὶ τῶν Ἀθηναίων προσδοκίμων ὄντων ἄλλῃ στρατιᾷ, καὶ ἣν φθάσωσιν αὐτοὶ πρότερον διαφθείραντες τὸ παρὸν στράτευμα αὐτῶν, διαπεπολεμησόμενον. καὶ οἱ μὲν ἐν τῇ Σικελίᾳ ταῦτ' ἔπρασσον.

26 Ὁ δὲ Δημοσθένης, ἐπεὶ ξυνελέγη αὐτῷ τὸ στράτευμα ὃ ἔδει ἔχοντα ἐς τὴν Σικελίαν βοηθεῖν, ἄρας ἐκ τῆς Αἰγίνης

---

vgl. 4, 115, 2. — ὤνενον wanden herauf. (Hl.) — ἀνέκλων, zu 2, 76, 3.

§ 5. τῆς σταυρώσεως ἡ κρύφιος. Gr. 47, 28 A. 9. — δεινόν zugleich mit dem Inf. und μή, wie Xen. An. 1, 3, 17. vgl. dort Kr. — ἕρμα Klippe. vgl. Her. 7, 183. (Bl.) — μισθοῦ. Gr. 47, 17 A. 3.

§ 6. ἐσταύρωσαν, σταυροὺς κατέπηξαν. (Sch.)

§ 7. τὰς πόλεις, die sikelischen. (Ps.) — Κορινθίων, Fremde schickten sie als mehr unpartheiische Zeugen. (Ba.) — ἀγγέλλοντας für ἀγγελοῦντας die besten Hsn. zu 6, 88, 11. — αὖ andrerseits fehlt in mehrern Hsn. — ἐπ' αὐτούς, τοὺς πολεμίους, die Athener. (Gö.) — ὡς — στρατιᾷ da auch die Athener mit einem andern Heere erwartet würden, d. h. die Ankunft eines neuen Heeres der A. (Ba.) — διαπεπολεμησόμενον für διαπολεμησόμενον eine gute Hs. u. Ba. zu 14, 2.

καὶ πλεύσας πρὸς τὴν Πελοπόννησον τῷ τε Χαριχλεῖ καὶ ταῖς τριάκοντα ναυσὶ τῶν Ἀθηναίων ξυμμίσγει, καὶ παραλαβόντες τῶν Ἀργείων ὁπλίτας ἐπὶ τὰς ναῦς ἔπλεον ἐς τὴν Λακωνικήν, καὶ πρῶτον μὲν τῆς Ἐπιδαύρου τι τῆς Λιμηρᾶς 2
ἐδῄωσαν, ἔπειτα σχόντες ἐς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς, ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστι, τῆς τε γῆς ἔστιν ἃ ἐδῄωσαν καὶ ἐτείχισαν ἰσθμῷδές τι χωρίον, ἵνα δὴ οἵ τε Εἵλωτες τῶν Λακεδαιμονίων αὐτόσε αὐτομολῶσι καὶ ἅμα λῃσταὶ ἐξ αὐτοῦ, ὥσπερ ἐκ τῆς Πύλου, ἁρπαγὴν ποιῶνται. καὶ ὁ μὲν Δημοσθένης εὐθὺς ἐπειδὴ ξυγκατέλαβε τὸ 3
χωρίον παρέπλει ἐπὶ τῆς Κερκύρας, ὅπως καὶ τῶν ἐκεῖθεν ξυμμάχων παραλαβὼν τὸν ἐς τὴν Σικελίαν πλοῦν ὅτι τάχιστα ποιῆται· ὁ δὲ Χαριχλῆς περιμείνας ἕως τὸ χωρίον ἐξετείχισε καὶ καταλιπὼν φυλακὴν αὐτοῦ ἀπεκομίζετο καὶ αὐτὸς ὕστερον ταῖς τριάκοντα ναυσὶν ἐπ' οἴκου καὶ οἱ Ἀργεῖοι ἅμα.

Ἄφιχοντο δὲ καὶ τῶν Θρᾳκῶν τῶν μαχαιροφόρων τοῦ 27
Διακοῦ γένους ἐς τὰς Ἀθήνας πελτασταὶ ἐν τῷ αὐτῷ θέρει τούτῳ τριακόσιοι καὶ χίλιοι, οὓς ἔδει τῷ Δημοσθένει ἐς τὴν Σικελίαν ξυμπλεῖν. οἱ δ' Ἀθηναῖοι, ὡς ὕστερον ἦκον, διενοοῦντο αὐτοὺς πάλιν, ὅθεν ἦλθον, ἐς Θρᾴκην ἀποπέμπειν. τὸ γὰρ ἔχειν πρὸς τὸν ἐκ τῆς Λεκελείας πόλεμον αὐτοὺς πο- 2
λυτελὲς ἐφαίνετο· δραχμὴν γὰρ τῆς ἡμέρας ἕκαστος ἐλάμβανεν. ἐπειδὴ γὰρ ἡ Λεκέλεια τὸ μὲν πρῶτον ὑπὸ πάσης τῆς στρατιᾶς ἐν τῷ θέρει τούτῳ τειχισθεῖσα, ὕστερον δὲ

C. 26. § 1. *ταῖς τριάκοντα* 7, 20, 1.

§ 2. *Κυθήρων* hängt von *καταντικρύ*, *Λακωνικῆς* von *τὰ καταντικρύ* ab: bei den Kythera gegenüber liegenden Theilen Lakonikas.

§ 3. *ἅμα* hat nur eine gute Hs.

§ 4. *τῶν ἐκεῖθεν.* Gr. 50, 8 A. 15. — *παρέπλει* für *ἐπέπλει* zwei Hsn., *ἐπιπαρέπλει* eine gute. — *ἕως.* ὡς die besten Hsn., wobei das nächste *καί* zu tilgen wäre. — *ἐξετείχισεν, εἰς τέλος ἤγαγεν.* (Sch.) vgl. 4, 4, 1. 45, 3. 7, 4, 6.

C. 27. § 1. *τῶν* vor *Θρᾳκῶν* fehlt in zwei Hsn. — *τῶν μαχαιροφόρων* 2, 96, 2. — *τοῦ Δ. γένους* hängt von *Θρᾳκῶν* ab. Gr. 47, 9. — *ὕστερον* zu spät, nach Demosthenes Abfahrt. (Sch.) vgl. 7, 29, 1 u. zu 2, 80, 4.

§ 2. *πρὸς τὸν ἐκ τῆς Δ. πόλεμον* gegen die von D. aus unternommenen Befehdungen. (Ba.) — *πολυτελές, πολυδάπανον, δαπανηρόν, πολλὰ τελοῦν.* (Sch.) vgl. 7, 28, 1. — *τειχισθεῖσα, τῇ χώρᾳ*

φρουραῖς ἀπὸ τῶν πόλεων κατὰ διαδοχὴν χρόνου ἐπιούσαις τῇ χώρᾳ ἐπῳκεῖτο, πολλὰ ἔβλαπτε τοὺς Ἀθηναίους καὶ ἐν τοῖς πρώτοις χρημάτων τ' ὀλέθρῳ καὶ ἀνθρώπων φθορᾷ
3 ἐκάκωσε τὰ πράγματα. πρότερον μὲν γὰρ βραχεῖαι γιγνόμεναι αἱ ἐσβολαὶ τὸν ἄλλον χρόνον τῆς γῆς ἀπολαύειν οὐκ ἐκώλυον· τότε δὲ ξυνεχῶς ἐπικαθημένων καὶ ὁτὲ μὲν καὶ πλεόνων ἐπιόντων, ὁτὲ δ' ἐξ ἀνάγκης τῆς ἴσης φρουρᾶς καταθεούσης τε τὴν χώραν καὶ λῃστείας ποιουμένης, βασιλέως τε παρόντος τοῦ τῶν Λακεδαιμονίων Ἄγιδος, ὃς οὐκ ἐκ παρέργου τὸν πόλεμον ἐποιεῖτο, μεγάλα οἱ Ἀθηναῖοι ἐβλά-
4 πτοντο. τῆς τε γὰρ χώρας ἁπάσης ἐστέρηντο καὶ ἀνδραπόδων πλέον ἢ δύο μυριάδες ηὐτομολήκεσαν, καὶ τούτων τὸ πολὺ μέρος χειροτέχναι, πρόβατά τε πάντα ἀπωλώλει καὶ ὑποζύγια· ἵπποι τε, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων, πρός τε τὴν Δεκέλειαν καταδρομὰς ποιουμένων καὶ κατὰ τὴν χώρων φυλασσόντων, οἱ μὲν ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ

ἐπῳκεῖτο, was freilich passender zum zweiten als zum ersten Satze erscheint, bei dem nur vorschwebt: von dem ganzen bei Dekelea gelagerten Heere wurde das Land befehdet. — ἀπό für ὑπό eine gute Hs., wie ich vermuthet hatte. — χρόνου. χρόνῳ Va. bloß κατὰ διαδοχήν 7, 28, 2. 4, 8, 7. (Pp.) — τῇ χώρᾳ ist mit ἐπῳκεῖτο zu verbinden. vgl. 6, 86, 2. (Arn.) Denn zu ἐπιουσῶν gezogen wäre es matt. — πρώτοις. πρῶτον eine Hs. u. Bk. vgl. zu 4, 105, 1. — ὀλέθρῳ, das ich auf Güter bezogen nicht gebraucht wüßte, ist wohl Glossem zu φθορά; Va. hatte es wohl nicht. — φθορά bezieht sich auf die Einbuße an Sklaven § 4. (Dr.) Mit wohl auch auf den anstrengenden und aufreibenden Dienst. 7, 28, 2. (Hl.)

§ 3. ἐπικαθημένων, αὐτῶν, τῶν πολεμίων. (Va.) — ὁτέ. Gr. 25, 10 A. 12. — ἐξ ἀνάγκης gedrängt durch die Nothwendigkeit (Ps. u. A.) sich Lebensmittel zu verschaffen. (Pp.) auf eine unwidertreibliche Art Hl. — τῆς ἴσης verbindet man mit φρουρᾶς und erklärt nach dem Sch. τῆς τεταγμένης die ordentliche, gewöhnliche. Dagegen Ps. τῆς ἐκ τοῦ αὐτοῦ πλήθους ἀεὶ ξυνεστώσης. Vielleicht: indem mit gleicher Bedrängniß für die Athener nur eine Besatzungsschaar einfiel.

§ 4. χώρας, τῆς καρπίμου. (Sch.) — ἀπωλώλει für ἀπολώλει einige gute Hsn. zu 4, 133, 1. vgl. Gr. 28, 6 A. 2. — πάντα hat hier eine gute Hs., die andere vor ἀπολώλει. — ὑποζύγια. ζεύγη eine gute Hs. — ὁσημέραι. Gr. 51, 13 A. 15. vgl. 8, 64, 2. — ἀπεχωλοῦντο. So Xen. Hell. 7, 2. 19. vgl. Dek. 11, 17. Dafür τὰ σχέλεα διεφθάρησαν Her. 8, 28 (Bl.) — ἀποκρότῳ, τραχείᾳ.

τε καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ δ' ἐπιρώσκοντο. ἥ τε 28
τῶν ἐπιτηδείων παραχομιδὴ ἐκ τῆς Εὐβοίας, πρότερον ἐκ τοῦ
Ὠρωποῦ κατὰ γῆς διὰ τῆς Δεκελείας θᾶσσον οὖσα, περὶ
Σούνιον κατὰ θάλασσαν πολυτελὴς ἐγίγνετο· τῶν τε πάντων
ὁμοίως ἐπακτῶν ἐδεῖτο ἡ πόλις, καὶ ἀντὶ τοῦ πόλις εἶναι
φρούριον κατέστη. πρὸς γὰρ τῇ ἐπάλξει τὴν μὲν ἡμέραν 2
κατὰ διαδοχὴν οἱ Ἀθηναῖοι φυλάσσοντες, τὴν δὲ νύκτα καὶ
ξύμπαντες πλὴν τῶν ἱππέων οἱ μὲν ἐφ' ὅπλοις ποιούμενοι
οἱ δ' ἐπὶ τοῦ τείχους, καὶ θέρους καὶ χειμῶνος ἐταλαιπω-
ροῦντο. μάλιστα δ' αὐτοὺς ἐπίεζεν ὅτι δύο πολέμους ἅμα
εἶχον, καὶ ἐς φιλονεικίαν καθέστασαν τοιαύτην ἣν πρὶν γε-
νέσθαι ἠπίστησεν ἄν τις ἀκούσας. τὸ γὰρ αὐτοὺς πολιορκου- 3
μένους ἐπιτειχισμῷ ὑπὸ Πελοποννησίων μηδ' ὡς ἀποστῆναι
ἐκ Σικελίας, ἀλλ' ἐκεῖ Συρακούσας τῷ αὐτῷ τρόπῳ ἀντιπο-
λιορκεῖν, πόλιν οὐδὲν ἐλάσσω αὐτήν γε καθ' αὑτὴν τῆς
Ἀθηναίων, καὶ τὸν παράλογον τοσοῦτον ποιῆσαι τοῖς Ἕλλησι

(Suid.) vgl. Xen. π. ἱππ. 7, 15. — τε καί verbindet ἐν γῇ ἀποκρότῳ und ξυνεχῶς, beide zu ταλαιπωροῦντες gehörig. (Ps.) Gr. 59, 2 A. 3.

C. 28. § 1. γῆν für γῆς Schäfer u. eine Hs. — θᾶσσον. θάσσων die besten Hsn. zu 7, 4, 4. — περὶ Σούνιον 8, 4, 1. — ἐπακτῶν, εἰσαγωγίμων ἐξ ἀλλοδαπῆς. (Sch.) zu 6, 20, 3. Der Ge. ist Prädicat: πάντα ὧν ἐδεῖτο ἐπακτὰ ἦν. Gr. 57, 3 A. 3.

§ 2. ἐπάλξει. zu 2, 13, 5. — καὶ ξύμπαντες. Gr. 69, 32 A. 18. — ἐφ' ὅπλοις bei den Waffen, an den Lagerorten, wie 8, 69, 1. vgl. zu 1, 111, 1. — ποιούμενοι. πονούμενοι Kr. Ba. ergänzt φυλακήν aus φυλάσσοντες. Doch ist vielleicht νύκτα ποιεῖσθαι eine Nacht hinbringen nicht unstatthaft. — δύο, den dekelischen und den sikelischen. (Sch.)

§ 3. τὸ γὰρ — ἀποστῆναι, ἠπίστησεν ἄν τις ἀκούσας ἀπὸ κοινοῦ. (Sch.) Gegen diese Erklärung zu 1, 25, 3. Als Ausruf nimmt den Infinitiv Koraes. vgl. Gr. 55, 1 A. 6. Allein dem widerstrebt der Gedanke, der eben so wenig an sich einem Ausrufe angemessen wäre als die Länge des Perioden ihn dazu eignet. Auch zweifle ich ob γάρ für diese Sprechweise eben so passend sei als δέ. Denn Plat. Phäd. 99, b ist zweifelhaft. Es scheint hier ein Mangel in der Rede zu sein, den wohl der Schriftsteller selbst verschuldet hat. Er mochte vergessen hinzuzufügen was ihm beim Anfange der Rede etwa vorschwebte: das schien aller Berechnung nach unmöglich zu sein. — ἐλάσσω eine gute Hs., ἐλάσσονα die übrigen gegen Thuk. Weise, wiewohl man ἐχθίονα findet 4, 86, 4, πλείονα 4, 128, 1, πλέονα 4, 82. 5, 47, 8. (Pp.) — αὐτήν γε für αὐτήν τε Hl. u. eine Hs. — τῆς für τῶν eine gute Hs. u. der Sch. — Ἀθηναίων für Ἀθηνῶν die besten Hsn. — παράλογον. zu 1, 65, 1.

τῆς δυνάμεως καὶ τόλμης, ὅσον κατ' ἀρχὰς τοῦ πολέμου οἱ μὲν ἐνιαυτόν, οἱ δὲ δύο, οἱ δὲ τριῶν γε ἐτῶν οὐδεὶς πλείω χρόνον ἐνόμιζον περιοίσειν αὐτούς, εἰ οἱ Πελοποννήσιοι ἐσβάλοιεν ἐς τὴν χώραν, ὥστε ἔτει ἑπταικαιδεκάτῳ μετὰ τὴν πρώτην ἐσβολὴν ἦλθον ἐς Σικελίαν, ἤδη τῷ πολέμῳ κατὰ πάντα τετρυχωμένοι, καὶ πόλεμον οὐδὲν ἐλάσσω προσανει-
4 λοντο τοῦ πρότερον ὑπάρχοντος ἐκ Πελοποννήσου. δι' ἃ καὶ τότε ὑπό τε τῆς Λεκελείας πολλὰ βλαπτούσης καὶ τῶν ἄλλων ἀναλωμάτων μεγάλων προσπιπτόντων ἀδύνατοι ἐγένοντο τοῖς χρήμασιν. καὶ τὴν εἰκοστὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλασσαν ἀντὶ τοῦ φόρου τοῖς ὑπηκόοις ἐποίησαν, πλείω νομίζοντες ἂν σφίσι χρήματα οὕτω προσιέναι. αἱ μὲν γὰρ δαπάναι οὐχ ὁμοίως καὶ πρὶν ἀλλὰ πολλῷ μείζους καθέστασαν, ὅσῳ καὶ μείζων ὁ πόλεμος ἦν, αἱ δὲ πρόσοδοι ἀπώλλυντο.

29 Τοὺς οὖν Θρᾷκας τοὺς τῷ Δημοσθένει ὑστερήσαντας διὰ τὴν παροῦσαν ἀπορίαν τῶν χρημάτων οὐ βουλόμενοι δαπανᾶν εὐθὺς ἀπέπεμπον, προστάξαντες κομισαι αὐτοὺς Διιτρέφει καὶ εἰπόντες ἅμα ἐν τῷ παράπλῳ, ἐπορεύοντο γὰρ δι' Εὐρίπου, καὶ τοὺς πολεμίους ἤν τι δύνηται ἀπ' αὐ-

---

— ὅσον in wiefern (Hk.) bezieht ſich eben ſo wie ὥστε auf τοσοῦτον, und kann alſo nicht parenthetiſch genommen werden: eine ſo große Berechnungswidrigkeit daß (ὥστε), während (ὅσον). — οἱ δὲ — οὐδείς. Gr. 58, 4 A. 5. vgl. 57, 8. — ἐτῶν hängt von χρόνον ab. (Py.) — περιοίσειν ausdauern werde, eine ungewöhnliche Bedeutung, von Dio C. einige Mal nachgeahmt. (Bl.) — ἑπταικαιδεκάτῳ. ἑβδόμῳ καὶ δεκάτῳ Kr. zu 4, 101, 1.

§ 4. καὶ τῶν. Dieſer Genitiv kann unabhängig von ὑπό abſolut genommen werden. Gr. 59, 2 A. 3. — μεγάλων iſt Prädicat. Gr. 50, 11 A. 1. — προσπιπτόντων, συμβαινόντων. (Sch.) zu 1, 81, 3. — ἀδύνατοι τοῖς χρήμασιν, ἤγουν ἐνδεεῖς χρημάτων. (Sch.) Die ſonſt nicht vorkommende Ausdrucksweiſe ſcheint nach ἀδύνατος τῷ σώματι gebildet. (Bl.) Doch findet ſich z. B. χρημάτων δυνάμει δυνατώτεροι 1, 25, 4 und δυνάμενος τοῖς χρήμασιν Lyſ. 6, 48. Der Artikel ſteht wohl poſſeſſiv. vgl. 7, 29, 1. — ὑπό, κατά. (Sch.) — ὁμοίως καί. zu 6, 11, 1. — ἦν· αἱ δέ interpungirt man; allein ὅσῳ afficirt auch dieſen Satz: und je mehr. (Hl.)

C. 29. § 1. τῷ Δ. für den D., um noch mit ihm zu gehen, vgl. 7, 27, 1. — προστάξαντες. zu 5, 8, 3. — ἅμα verbinde ich mit εἰπόντες. — ἀπ' αὐτῶν, δι' αὐτῶν. (Sch.) eig. von — aus. — ὁλάψαι. Gr. 55, 3 A. 13.

τῶν βλάψαι. ὁ δὲ ἔς τε τὴν Τάναγραν ἀπεβίβασεν αὐτοὺς 2
καὶ ἁρπαγήν τινα ἐποιήσατο διὰ τάχους, καὶ ἐκ Χαλκίδος
τῆς Εὐβοίας ἀφ' ἑσπέρας διέπλευσε τὸν Εὔριπον καὶ ἀποβι-
βάσας ἐς τὴν Βοιωτίαν ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν. καὶ
τὴν μὲν νύκτα λαθὼν πρὸς τῷ Ἑρμαίῳ ηὐλίσατο — ἀπέχει
δὲ τῆς Μυκαλησσοῦ ἑκκαίδεκα μάλιστα σταδίους — ἅμα δὲ
τῇ ἡμέρᾳ τῇ πόλει προσέκειτο, οὔσῃ οὐ μεγάλῃ, καὶ αἱρεῖ,
ἀφυλάκτοις τε ἐπιπεσὼν καὶ ἀπροσδοκήτοις μὴ ἄν ποτέ τινα
σφίσιν ἀπὸ θαλάσσης τοσοῦτον ἐπαναβάντα ἐπιθέσθαι, τοῦ
τείχους ἀσθενοῦς ὄντος καὶ ἔστιν ᾗ καὶ πεπτωκότος, τοῦ δὲ
βραχέος ᾠκοδομημένου καὶ πυλῶν ἅμα διὰ τὴν ἄδειαν ἀνε-
ῳγμένων. ἐσπεσόντες δὲ οἱ Θρᾷκες ἐς τὴν Μυκαλησσὸν τάς 3
τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν, καὶ τοὺς ἀνθρώπους ἐφό-
νευον, φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας,
ἀλλὰ πάντας ἕξῆς, ὅτῳ ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας
κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα
ἴδοιεν· τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν, ὁμοῖα τοῖς μάλιστα 4
τοῦ βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστιν. καὶ
τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα καθεστήκει
ὀλέθρου, καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων, ὅπερ μέγι-
στον ἦν αὐτόθι καὶ ἄρτι ἔτυχον οἱ παῖδες ἐσεληλυθότες, κα-
τέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει πάσῃ οὐδεμιᾶς ἧσσον
[μᾶλλον ἑτέρας] ἀδόκητός τε ἐπέπεσεν αὕτη καὶ δεινή. οἱ 30
δὲ Θηβαῖοι αἰσθόμενοι ἐβοήθουν, καὶ καταλαβόντες προκε-
χωρηκότας ἤδη τοὺς Θρᾷκας οὐ πολὺ τήν τε λείαν ἀφείλοντο
καὶ αὐτοὺς φοβήσαντες καταδιώκουσιν ἐπὶ τὸν Εὔριπον καὶ
τὴν θάλασσαν, οὗ αὐτοῖς τὰ πλοῖα ἃ ἤγαγεν ὥρμει. καὶ 2

---

§ 2. ἔς τε für ἐς eine gute Hs. — ἀφ' ἑσπέρας. Kr. zu Xen. An. 6, 1, 23. — προσέκειτο, πλησιάσας ἐπέκειτο. (Sch.) — οὐ hat nur eine gute Hs. — μή. Gr. 67, 12 A. 3. — βραχέος ist Prädicat: niedrig, bis zu einer geringen Höhe, aufgebaut. vgl. 2, 76, 2 u. Hom. Il. ν, 683: τεῖχος ἐδέδμητο χθαμαλώτατον. (Bl.) — πυλῶν, τινῶν. (Sch.)

§ 3. ἑξῆς. zu 1, 20, 1. — ὅτῳ. Gr. 58, 4 A. 5.

§ 4. ὁμοῖα. zu 1, 25, 4. — ἐν ᾧ wann. — ἄλλη τε. Es entspricht καὶ ἐπιπεσόντες. — καὶ ἄρτι, καὶ ἐς ὃ ἄρτι. Gr. 60, 6 A. 2. — ξυμφορὰ αὕτη. Gr. 61, 7. — ἧσσον für ἧσσων einige Hsn.; über die Sprechweise Gr. 47, 27 A. 3. — μᾶλλον ἑτέρας ist Glossem. (Hl.)

ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους, οὔτε ἐπισταμένους νεῖν, τῶν τε ἐν τοῖς πλοίοις, ὡς ἑώρων τὰ ἐν τῇ γῇ, ὁρμισάντων ἔξω τοξεύματος τὰ πλοῖα, ἐπεὶ ἔν γε τῇ ἄλλῃ ἀναχωρήσει οὐκ ἀτόπως οἱ Θρᾷκες πρὸς τὸ τῶν Θηβαίων ἱππικόν, ὅπερ πρῶτον προσέκειτο, προεκθέοντές τε καὶ ξυστρεφόμενοι ἐν ἐπιχωρίῳ τάξει τὴν φυλακὴν ἐποιοῦντο, καὶ ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν. μέρος δέ τι καὶ ἐν τῇ
3 πόλει αὐτῇ δι' ἁρπαγὴν ἐγκαταληφθὲν ἀπώλετο. οἱ δὲ ξύμπαντες τῶν Θρᾳκῶν πεντήκοντα καὶ διακόσιοι ἀπὸ τριακοσίων καὶ χιλίων ἀπέθανον. διέφθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων οἳ ξυνεβοήθησαν ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ καὶ Θηβαίων τῶν Βοιωταρχῶν Σκιρφώνδαν· τῶν δὲ Μυκαλησσίων μέρος τι ἀπαναλώθη. τὰ μὲν κατὰ τὴν Μυκαλησσὸν πάθει χρησαμένων οὐδενὸς ὡς ἐπὶ μεγέθει τῶν κατὰ τὸν πόλεμον ἧσσον ὀλοφύρασθαι ἀξίῳ τοιαῦτα ξυνέβη.

31 Ὁ δὲ Δημοσθένης τότε ἀποπλέων ἐπὶ τῆς Κερκύρας μετὰ τὴν ἐκ τῆς Λακωνικῆς τειχισιν, ὁλκάδα ὁρμοῦσαν ἐν Φειᾷ τῇ Ἠλείων, ἐν ᾗ οἱ Κορίνθιοι ὁπλῖται ἐς τὴν Σικελίαν ἔμελλον περαιοῦσθαι, αὐτὴν μὲν διαφθείρει, οἱ δ' ἄνδρες ἀποφυγόντες ὕστερον λαβόντες ἄλλην ἔπλεον. καὶ μετὰ τοῦτο ἀφικόμενος ὁ Δημοσθένης ἐς τὴν Ζάκυνθον καὶ Κεφαλλη-

---

C. 30. § 2. *τοὺς πλείστους*, nicht der Thraker überhaupt; sondern: die meisten der von ihnen Getödteten fielen beim Einschiffen. (Abr.) Im Gegensatz zu *ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν.* — *οὔτε — τε* verbindet verschiedene Casus. Gr. 56, 14 A. 2. — *ὁρμισάντων. ἀνορμισάντων* eine Hs. u. der Rand des St. retraherent Va. — *τοξεύματος* für *τοῦ ζεύγματος* einige Hsn., der Sch. u. Va. — *οὐκ ἀτόπως, οὐκ ἀκόσμως.* (Sch.) — *ἐν τούτῳ* dabei, bei dieser Art des Rückzuges.

§ 3. *οἱ ξύμπαντες.* Gr. 50, 11 A. 13 — *ἐς εἴκοσι.* Gr. 60, 8 A. 1. — *Θηβαίων τῶν Βοιωταρχῶν Σκιρφώνδαν* von den Thebäern den Skirphondas, einen der Böotarchen. Gr. 47, 9 u. A. 1. — *χρησαμένων, τῶν Μυκαλησσίων δηλονότι.* (Sch.) — *ὡς ἐπὶ μεγέθει* im Vergleich zu der Größe der Stadt. (Ps.) Gr. 69, 63 A. 5.

C. 31. § 1. *ἐπί* für *ἐκ* Dodwell, einige Hsn. u. Va. — *μετὰ τὴν ἐκ τῆς Λακωνικῆς τειχισιν, ἐκ τῆς Λ. ἀποπλέων μετὰ τὴν ἐν τῇ Λακωνικῇ τειχισιν.* (Va.) vgl. zu 6, 89, 1. — *τῇ Ἠλείων.* Gr. 47, 5 A. 8. — *λαβών* nach *Ἠλείων* (eine Hs. *εἰρών*) ist nach den meisten Hsn. getilgt. — *οἱ Κορίνθιοι ὁπλῖται* 7, 19, 5. vgl. 17, 2.

νίαν ὁπλίτας τε παρέλαβε καὶ ἐκ τῆς Ναυπάκτου τῶν Μεσ-
σηνίων μετεπέμψατο, καὶ ἐς τὴν ἀντιπέρας ἤπειρον τῆς Ἀ- 2
καρνανίας διέβη, ἐς Ἀλυζίαν τε καὶ Ἀνακτόριον, ὃ αὐτοὶ
εἶχον. ὄντι δ' αὐτῷ περὶ ταῦτα ὁ Εὐρυμέδων ἀπαντᾷ ἐκ
τῆς Σικελίας ἀποπλέων, ὃς τότε τοῦ χειμῶνος τὰ χρήματα
ἄγων τῇ στρατιᾷ ἀπεπέμφθη, καὶ ἀγγέλλει τά τε ἄλλα καὶ
ὅτι πύθοιτο κατὰ πλοῦν ἤδη ὢν τὸ Πλημμύριον ὑπὸ τῶν
Συρακοσίων ἑαλωκός. ἀφικνεῖται δὲ καὶ Κόνων παρ' αὐ- 3
τούς, ὃς ἦρχε Ναυπάκτου, ἀγγέλλων ὅτι αἱ πέντε καὶ εἴκοσι
νῆες τῶν Κορινθίων αἱ σφίσιν ἀνθορμοῦσαι οὔτε καταλύουσι
τὸν πόλεμον ναυμαχεῖν τε μέλλουσιν· πέμπειν οὖν ἐκέλευεν
αὐτοὺς ναῦς, ὡς οὐχ ἱκανὰς οὔσας δυοῖν δεούσας εἴκοσι τὰς
ἑαυτῶν πρὸς τὰς ἐκείνων πέντε καὶ εἴκοσι ναυμαχεῖν. τῷ
μὲν οὖν Κόνωνι δέκα ναῦς ὁ Δημοσθένης καὶ ὁ Εὐρυμέδων
τὰς ἄριστα σφίσι πλεούσας ἀφ' ὧν αὐτοὶ εἶχον ξυμπέμπουσι
πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ· αὐτοὶ δὲ τὰ περὶ τῆς στρατιᾶς 4
τὸν ξύλλογον ἡτοιμάζοντο, Εὐρυμέδων μὲν ἐς τὴν Κέρκυραν
πλεύσας καὶ πεντεκαίδεκά τε ναῦς πληροῦν κελεύσας αὐτοὺς
καὶ ὁπλίτας καταλεγόμενος — ξυνῆρχε γὰρ ἤδη Δημοσθένει
ἀποτραπόμενος, ὥσπερ καὶ ἠρέθη — Δημοσθένης δ' ἐκ τῶν
περὶ τὴν Ἀκαρνανίαν χωρίων σφενδονήτας τε καὶ ἀκοντιστὰς
ξυναγείρων.

Οἱ δ' ἐκ τῶν Συρακουσῶν τότε μετὰ τὴν τοῦ Πλημμυρίου 32
ἅλωσιν πρέσβεις οἰχόμενοι ἐς τὰς πόλεις ἐπειδὴ ἔπεισάν τε
καὶ ξυναγείραντες ἔμελλον ἄξειν τὸν στρατόν, ὁ Νικίας προ-
πυθόμενος πέμπει ἐς τῶν Σικελῶν τοὺς τὴν δίοδον ἔχοντας
καὶ σφίσι ξυμμάχους, Κεντόριπάς τε καὶ Ἀλικυαίους καὶ

---

§ 2. αὐτοί, ἦγουν οἱ Ἀθηναῖοι. (Sch.) — περὶ ταῦτα, ἦγουν περὶ τὸ συλλέγειν δύναμιν. (Sch.) Gr. 68, 33 A. 2. in diesen Gegenden Va. u. A. — τότε weist auf 7, 16, 2 zurück. (Hk.) vgl. zu 1, 101, 2. — ἀπεπέμφθη von Athen.

§ 3. αἱ πέντε καὶ εἴκοσι 7, 19, 5. vgl. 17, 3. — σφίσιν. Gr. 58, 4 A. 3. — καταλύουσι τὸν πόλεμον ungewöhnlich für: vom Kriege nicht ablassen. (A. Ps.) — ὡς. Gr. 56, 9 A. 4.

§ 4. περί. Gr. 47, 9 A. 19. — αὐτούς. Gr. 58, 4 A. 1. — ἀποτραπόμενος, von der Heimfahrt. (Ps.) — ἠρέθη, ξυνάρχειν αὐτῷ. (Sch.)

C. 32. § 1. τότε 25, 7. — σφίσι haben nur zwei Hss. — Κεντόριπας hier als Name der Einwohner. vgl. Lobeck Parall. p. 292.

ἄλλους, ὅπως μὴ διαφθήσουσι τοὺς πολεμίους ἀλλὰ ξυστραφέντες κωλύσουσι διελθεῖν· ἄλλῃ γὰρ αὐτοὺς οὐδὲ πειράσειν· Ἀκραγαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν.
2 πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν οἱ Σικελοί, καθάπερ ἐδέοντο οἱ Ἀθηναῖοι, ἐνέδραν τινὰ [τριχῇ] ποιησάμενοι ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι διέφθειραν ἐς ὀκτακοσίους μάλιστα καὶ τοὺς πρέσβεις πλὴν ἑνὸς τοῦ Κορινθίου πάντας· οὗτος δὲ τοὺς διαφυγόντας, ἐς πεντακοσίους καὶ
33 χιλίους, ἐκόμισεν ἐς τὰς Συρακούσας. καὶ περὶ τὰς αὐτὰς ἡμέρας καὶ οἱ Καμαριναῖοι ἀφικνοῦνται αὐτοῖς βοηθοῦντες, πεντακόσιοι μὲν ὁπλῖται, τριακόσιοι δὲ ἀκοντισταὶ καὶ τοξόται τριακόσιοι. ἔπεμψαν δὲ καὶ οἱ Γελῷοι ναυτικόν τε ἐς πέντε ναῦς καὶ ἀκοντιστὰς τετρακοσίους καὶ ἱππέας διακοσίους.
2 σχεδὸν γάρ τι ἤδη πᾶσα ἡ Σικελία πλὴν Ἀκραγαντίνων — οὗτοι δ' οὐδὲ μεθ' ἑτέρων ἦσαν — οἱ δ' ἄλλοι ἐπὶ τοὺς Ἀθηναίους μετὰ τῶν Συρακοσίων οἱ πρότερον περιορώμενοι ξυστάντες ἐβοήθουν.

Καὶ οἱ μὲν Συρακόσιοι, ὡς αὐτοῖς τὸ ἐν τοῖς Σικελοῖς πάθος ἐγένετο, ἐπέσχον τὸ εὐθέως τοῖς Ἀθηναίοις ἐπιχει-
3 ρεῖν· ὁ δὲ Λημοσθένης καὶ Εὐρυμέδων, ἑτοίμης ἤδη τῆς στρατιᾶς οὔσης ἔκ τε τῆς Κερκύρας καὶ ἀπὸ τῆς ἠπείρου, ἐπεραιώθησαν ξυμπάσῃ τῇ στρατιᾷ τὸν Ἰόνιον ἐπ' ἄκραν Ἰαπυγίαν· καὶ ὁρμηθέντες αὐτόθεν κατίσχουσιν ἐς τὰς Χοι-
4 ράδας νήσους Ἰαπυγίας, καὶ ἀκοντιστάς τέ τινας τῶν Ἰαπύγων πεντήκοντα καὶ ἑκατὸν τοῦ Μεσσαπίου ἔθνους ἀναβιβάζονται

---

304. — διαφήσουσι. διαφρήσουσι Bk. u. Dobree, διήσουσι Pp. Kr. zu Xen. An. 3, 2, 23.

§ 2. τριχῇ fehlt in sehr vielen und guten Hss. — ἀφυλάκτοις τε καὶ ἐξαίφνης. Gr. 59, 2 A. 3.

C. 33. § 1. αὐτοῖς ist der Stellung wegen mit ἀφικνοῦνται zu verbinden. — ναυτικὸν ἐς πέντε ναῦς, ἦγον λαὸν πέντε νεῶν. (Sch.) ein Geschwader von ungefähr fünf Schiffen Va., doch ἐς nicht ausdrückend.

§ 2. σχεδόν τι. Gr. 51, 16 A. 5. — οὐδὲ μεθ' ἑτέρων. zu 2, 67, 5. — οἱ δ' ἄλλοι erneuert mit Rücksicht auf die Parenthese den Begriff ἡ Σικελία. vgl. 8, 29, 2 u. besonders 8, 70, 1. — περιορώμενοι. zu 6, 93, 1. — ἐπέσχον τό für ἐπέσχοντο einige Hss. u. Dr. Das Medium gebraucht Th. nie. (Pp.) zu 2, 76, 1.

§ 3. ἔκ τε für ἐκ zwei gute Hss.

ἐπὶ τὰς ναῦς, καὶ τῷ Ἄρτᾳ, ὅσπερ καὶ τοὺς ἀκοντιστάς, δυνάστης ὢν, παρέσχεν αὐτοῖς, ἀνανεωσάμενοί τινα παλαιὰν φιλίαν ἀφικνοῦνται ἐς Μεταπόντιον τῆς Ἰταλίας. καὶ τοὺς Μεταποντίους πείσαντες κατὰ τὸ ξυμμαχικὸν ἀκοντιστάς τε ξυμπέμπειν τριακοσίους καὶ τριήρεις δύο καὶ ἀναλαβόντες ταῦτα παρέπλευσαν ἐς Θουρίαν. καὶ καταλαμβάνουσι νεωστὶ στάσει τοὺς τῶν Ἀθηναίων ἐναντίους ἐκπεπτωκότας· καὶ βουλόμενοι τὴν στρατιὰν αὐτόθι πᾶσαν ἀθροίσαντες εἴ τις ὑπολέλειπτο ἐξετάσαι καὶ τοὺς Θουρίους πεῖσαι σφίσι ξυστρατεύειν τε ὡς προθυμόταια καὶ ἐπειδή περ ἐν τούτῳ τύχης εἰσίν, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς Ἀθηναίοις νομίζειν, περιέμενον ἐν τῇ Θουρίᾳ καὶ ἔπρασσον ταῦτα. 5 6

Οἱ δὲ Πελοποννήσιοι περὶ τὸν αὐτὸν χρόνον τοῦτον οἱ ἐν ταῖς πέντε καὶ εἴκοσι ναυσίν, οἵπερ τῶν ὁλκάδων ἕνεκα τῆς ἐς Σικελίαν κομιδῆς ἀνθώρμουν πρὸς τὰς ἐν Ναυπάκτῳ ναῦς, παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίᾳ καὶ προσπληρώσαντες ἔτι ναῦς, ὥστε ὀλίγῳ ἐλάσσους εἶναι αὐτοῖς τῶν Ἀττικῶν νεῶν, ὁρμίζονται κατὰ Ἐρινεὸν τῆς Ἀχαΐας ἐν τῇ Ῥυπικῇ. καὶ αὐτοῖς τοῦ χωρίου μηνοειδοῦς ὄντος ἐφ' ᾧ ὥρμουν ὁ μὲν πεζὸς ἑκατέρωθεν προσβεβοηθηκὼς τῶν τε Κορινθίων καὶ τῶν αὐτόθεν ξυμμάχων ἐπὶ ταῖς προωνεχούσαις ἄκραις παρετέτακτο, αἱ δὲ νῆες τὸ μεταξὺ εἶχον ἐμφράξασαι· ἦρχε δὲ τοῦ ναυτικοῦ Πολυάνθης Κορίνθιος. οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Ναυπάκτου τριάκοντα ναυσὶ καὶ τρισίν, ἦρχε δ' αὐτῶν Λίφιλος, ἐπέπλευσαν αὐτοῖς. καὶ οἱ Κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον, ἔπειτα ἀρθέντος αὐτοῖς τοῦ σημείου, ἐπεὶ καιρὸς ἐδόκει εἶναι, ὥρμησαν ἐπὶ τοὺς Ἀθηναίους καὶ ἐναυμάχουν. καὶ χρόνον ἀντεῖχον πολὺν ἀλλήλοις. 34 2 3

---

§ 4. παρέσχε für παρέσχετο die beſten Hſn.

§ 5. ἀναλαβόντες. παραλαβόντες wäre paſſender.

§ 6. εἴ τις ὑπολέλειπτο gehört zu ἀθροίσαντες nicht zu ἐξετάσαι. (Ds.) — ἐπειδήπερ εἰσί, daß ſie nämlich entſchieden gegen die Feinde der Athener gehandelt hätten. (Kiſt.) — τοὺς αὐτοὺς — νομίζειν. zu 1, 44, 1.

C. 34. § 1. καὶ οἱ vor περὶ iſt mit einer guten Hſ. weggelaſſen. — τῶν ὁλκάδων hängt von κομιδῆς ab.

§ 2. αὐτοῖς gehört zu παρετέτακτο. (Ba.) — προσβεβοηθηκώς für προσβεβοηθηκότες eine gute Hſ. zu 6, 69, 5. — προανεχούσαις für ἀνεχούσαις dieſelbe.

4 καὶ τῶν μὲν Κορινθίων τρεῖς νῆες διαφθείρονται, τῶν δ' Ἀθηναίων κατέδυ μὲν οὐδεμία ἁπλῶς, ἐπτὰ δέ τινες ἄπλοι ἐγένοντο ἀντίπρῳροι ἐμβαλλόμεναι καὶ ἀναρραγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν Κορινθίων νεῶν ἐπ' αὐτὸ τοῦτο
5 παχυτέρας τὰς ἐπωτίδας ἐχουσῶν. ναυμαχήσαντες δὲ ἀντίπαλα μὲν καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν νικᾶν, ὅμως δὲ τῶν ναυαγίων κρατησάντων τῶν Ἀθηναίων διά τε τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος καὶ διὰ τὴν τῶν Κορινθίων οὐκέτι ἐπαναγωγήν, διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ δίωξις οὐδεμία ἐγένετο, οὐδ' ἄνδρες οὐδετέρων ἐάλωσαν·
6 οἱ μὲν γὰρ Κορίνθιοι καὶ Πελοποννήσιοι πρὸς τῇ γῇ ναυμαχοῦντες ῥᾳδίως καὶ διεσώζοντο, τῶν δὲ Ἀθηναίων οὐδεμία κατέδυ ναῦς. ἀποπλευσάντων δὲ τῶν Ἀθηναίων ἐς τὴν Ναύπακτον οἱ Κορίνθιοι εὐθὺς τροπαῖον ἔστησαν ὡς νικῶντες, ὅτι πλείους τῶν ἐναντίων ναῦς ἄπλους ἐποίησαν, καὶ νομίσαντες δι' αὐτὸ οὐχ ἥσσᾶσθαι δι' ὅπερ οὐδ' οἱ ἕτεροι
7 νικᾶν· οἵ τε γὰρ Κορίνθιοι ἡγήσαντο κρατεῖν εἰ μὴ καὶ πολὺ ἐκρατοῦντο, οἵ τ' Ἀθηναῖοι ἐνόμιζον ἥσσᾶσθαι ὅτι οὐ πολὺ

---

§ 4. *τινές.* Gr. 51, 16 A. 4. — *ἄπλοι, ἀχρεῖοι πρὸς πλεῦσιν.* (Sch.) vgl. § 6 u. 60, 2. — *ἀντίπρῳροι. ἀντιπρῴροις* Kr. vgl. zu 7, 36, 3. — *ἐμβαλλόμεναι, ἀντὶ τοῦ ὑπὸ τῶν πολεμίων νεῶν τυπτόμεναι.* (Sch.) — *ἀναρραγεῖσαι, ἀντὶ τοῦ τρωθεῖσαι· ἐτρώθησαν δὲ ὑπὸ τῶν ἐπωτίδων.* (Sch.) — *παρεξειρεσία ἐστὶ τὸ κατὰ τὴν πρῴραν (τὸ?) πρὸ τῶν κωπῶν, ὡς ἂν εἴποι τις τὸ πάρεξ τῆς εἰρεσίας.* (Sch.) zu 4, 12, 1. — *ἐπωτίδες εἰσὶ τὰ ἑκατέρωθεν πρῴρας ἐξέχοντα ξύλα.* (Sch. u. derſ. zu 36, 2.) Sturmbalken Paſſow. Sie ragten wie Ohren an beiden Seiten des Vordertheils hervor und dienten theils zum Angriff, theils dazu den Stoß der feindlichen Schiffsſchnäbel abzuwehren. vgl. 36, 2. 62, 3, Eur. Iph. T. 1350. (Auch von App. Syr. 26 u. Bürg. 5, 107. 119 erwähnt. Hertlein Ms.)

§ 5. *ναυμαχήσαντες ἀντίπαλα* wie *ἀγχώμαλα* 7, 71, 4. Gr. 46, 5 A. 4. — *αὐτοὺς ἑκατέρους* für *αὐτοὶ ἑκάτεροι.* Gr. 55, 3 A. 3 und Lob. z. Phryn. p. 750. — *τοῦ ἀνέμου* durch den Wind; über die zwei Ge. Gr. 47, 9 A. 7. — *ἄπωσις* iſt ein ungewöhnliches Wort. (Ba.) — *αὐτῶν, τῶν ναυαγίων.* — *οὐκέτι* nicht nochmals, *δευτέραν.* (Sch.) zu 4, 44, 1 und über die Verbindung mit einem Subſtantiv zu 1, 137, 4. — *ἐπαναγωγήν* für *ἐπαγωγήν* einige gute Hſn. *ἀνάπλευσιν.* (Sch.)

§ 6. *καί* vor *διεσώζοντο* haben viele und gute Hſn.: auch, aus eben dieſem Grunde, weil ſie nahe an der Küſte kämpften. (Py.) — *ῥᾳδίως* verdächtigt Benedict. — *δι' αὐτό* aus eben dem Grunde, zu *νομίσαντες* gehörig. (Ba.) — *οἱ ἕτεροι.* zu 3, 73. — *νικᾶν, ἐνόμιζον.* (Sch.)

§ 7. *καὶ πολύ* für *πολύ* zwei gute Hſn. Gr. 69, 32 A. 18. — *ὅτι οὐ* für *εἰ μή* eine gute Hſ.; über *πολύ* Gr. 48, 15 A. 13.

ἐνίκων. ἀποπλευσάντων δὲ τῶν Πελοποννησίων καὶ τοῦ πεζοῦ διαλυθέντος οἱ Ἀθηναῖοι ἔστησαν τροπαῖον καὶ αὐτοὶ ἐν τῇ Ἀχαΐᾳ ὡς νικήσαντες, ἀπέχον τοῦ Ἐρινεοῦ, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, ὡς εἴκοσι σταδίους. καὶ ἡ μὲν ναυμαχία οὕτως ἐτελεύτα.

Ὁ δὲ Λημοσθένης καὶ Εὐρυμέδων, ἐπειδὴ ξυστρατεύειν 35
αὐτοῖς οἱ Θούριοι παρεσκευάσθησαν ἑπτακοσίοις μὲν ὁπλίταις τριακοσίοις δὲ ἀκοντισταῖς, τὰς μὲν ναῦς παραπλεῖν ἐκέλευον ἐπὶ τῆς Κροτωνιάτιδος, αὐτοὶ δὲ τὸν πεζὸν πάντα ἐξετάσαντες πρῶτον ἐπὶ τῷ Συβάρει ποταμῷ ἦγον διὰ τῆς Θουριάδος γῆς. καὶ ὡς ἐγένοντο ἐπὶ τῷ Ὑλίᾳ ποταμῷ καὶ 2
αὐτοῖς οἱ Κροτωνιᾶται προσπέμψαντες εἶπον οὐκ ἂν σφίσι βουλομένοις εἶναι διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι, ἐπικαταβάντες ηὐλίσαντο πρὸς τὴν θάλασσαν καὶ τὴν ἐκβολὴν τοῦ Ὑλίου· καὶ αἱ νῆες αὐτοῖς ἐς τὸ αὐτὸ ἀπήντων. τῇ δ' ὑστεραίᾳ ἀναβιβασάμενοι παρέπλεον, ἴσχοντες πρὸς ταῖς πόλεσι πλὴν Λοκρῶν, ἕως ἀφίκοντο ἐπὶ Πέτραν τῆς Ῥηγίνης.

Οἱ δὲ Συρακόσιοι ἐν τούτῳ πυνθανόμενοι αὐτῶν τὸν 36
ἐπίπλουν αὖθις ταῖς ναυσὶν ἀποπειρᾶσαι ἐβούλοντο καὶ τῇ ἄλλῃ παρασκευῇ τοῦ πεζοῦ, ἥνπερ ἐπ' αὐτὸ τοῦτο, πρὶν ἐλθεῖν αὐτούς, φθάσαι βουλόμενοι ξυνέλεγον. παρεσκευάσαντο 2
δὲ τό τε ἄλλο ναυτικὸν ὡς ἐκ τῆς προτέρας ναυμαχίας τι πλέον ἐνεῖδον σχήσοντες, καὶ τὰς πρῴρας τῶν νεῶν ξυντε-

---

C. 35. § 1. παρεσκευάσθησαν dazu beſtimmt, vermocht waren. (Hl.) zu 3, 36, 4. — ἐξετάσαντες, ἀκριβῶς ἀριθμήσαντες. (Sch.)

§ 2. προσπέμψαντες. προπέμψαντες A. Ps. zu 7, 3, 1. — βουλομένοις εἶναι. Gr. 48, 6 A. 4. — ἐπικαταβάντες. ἐπι — hin. zu 4, 11, 1. — ηὐλίσαντο πρὸς τὴν θ. Xen. Hell. 2, 2, 8: πρὸς τὴν πόλιν ἐστρατοπέδευεν. Hier könnte man freilich πρός mit ἐπικαταβάντες verbinden. — ἀναβιβασάμενοι, τὸν στρατόν. (Pp.) — πρός verdächtigt Pp.

C. 36. § 1. τῇ ἄλλῃ. Gr. 50, 4 A. 11. — ξυνέλεγον verſammelt hatten. (Ba.) Gr. 53, 2 A. 8.

§ 2. παρεσκευάσαντο τό τε ἄλλο ναυτικόν ſie hatten bei ihrem ganzen Seeweſen ſolche Einrichtungen getroffen. (Hl.) Das ἄλλο ſteht im Gegenſatze zu der Einrichtung der Vordertheile. (Pp.) — ὡς in ſolcher Weiſe bei der. (St.) — πλέον σχήσοντες, τοῦτ' ἔσται πλεονεκτήσοντες. (Sch.) — ἐνεῖδον eingeſehen hatten, wie 7, 62, 1. Kr. zu Xen. An. 1, 3, 15. — ξυντε-

μόντες ἐς ἔλασσον στεριφωτέρας ἐποίησαν, καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς πρῴραις παχείας, καὶ ἀντήριδας ἀπ' αὐτῶν ὑπέτειναν πρὸς τοὺς τοίχους ὡς ἐξ πήχεις ἐντός τε καὶ ἔξωθεν, ᾧπερ τρόπῳ καὶ οἱ Κορίνθιοι πρὸς τὰς ἐν τῇ Ναυ-
3 πάκτῳ ναῦς ἐπισκευασάμενοι πρῴραθεν ἐναυμάχουν. ἐνόμισαν γὰρ οἱ Συρακόσιοι πρὸς τὰς τῶν Ἀθηναίων ναῦς οὐχ ὁμοίως ἀντινεναυπηγημένας, ἀλλὰ λεπτὰ τὰ πρῴραθεν ἐχούσας διὰ τὸ μὴ ἀντιπρῴροις μᾶλλον αὐτοὺς ἢ ἐκ περίπλου ταῖς ἐμβολαῖς χρῆσθαι, οὐκ ἔλασσον σχήσειν, καὶ τὴν ἐν τῷ μεγάλῳ λιμένι ναυμαχίαν, οὐκ ἐν πολλῷ πολλαῖς ναυσὶν
4 οὖσαν, πρὸς ἑαυτῶν ἔσεσθαι· ἀντίπρῳροι γὰρ ταῖς ἐμβολαῖς χρώμενοι ἀναρρήξειν τὰ πρῴραθεν αὐτοῖς, στερίφοις καὶ παχέσι πρὸς κοῖλα καὶ ἀσθενῆ παίοντες τοῖς ἐμβόλοις. τοῖς δὲ Ἀθηναίοις οὐκ ἔσεσθαι σφῶν ἐν στενοχωρίᾳ οὔτε περίπλουν οὔτε διέκπλουν, ᾧπερ τῆς τέχνης μάλιστα ἐπίστευον·
5 αὐτοὶ γὰρ κατὰ τὸ δυνατὸν τὸ μὲν οὐ δώσειν, διεκπλεῖν, τὸ δὲ τὴν στενοχωρίαν κωλύσειν ὥστε μὴ περιπλεῖν. τῇ τε πρότερον ἀμαθίᾳ τῶν κυβερνητῶν δοκούσῃ εἶναι, τὸ ἀντίπρῳρον ξυγκροῦσαι, μάλιστ' ἂν αὐτοὶ χρήσασθαι· πλεῖστον γὰρ ἐν

μόντες ἐς ἔλασσον verkürzten. (Va.) Ein ungewöhnlicher Ausdruck; ähnlich jedoch 8, 86, 5. (Bl.) — ἐντός τε καὶ ἔξωθεν verbindet Hl. nicht mit ὑπέτειναν πρὸς τοὺς τοίχους, sondern mit (ὑπέτειναν) ὡς ἐπὶ ἔξ πήχεις. Die Widerhalte seien durch eine Oeffnung in die Stirnwand des Schiffes hineingegangen und hätten sich dort etwa an einen Pfeiler in einem Winkel angeschlossen, dessen Schenkel außer dem Schiffe an die schrägen an beiden Seiten des Schiffes befestigten und vorne zusammenlaufenden Sturmbalken (ἐπωτίδας) befestigt gewesen und dieselben folglich unterstützt hätten. vgl. Pol. 8, 6, 6. — πρῴραθεν. Gr. 41, 12 A. 16.

§ 3. λεπτά, ἦγουν ἀσθενῆ. (Sch.) — ἀντιπρῴροις. ἀντιπρῴρους Py. Vielmehr wird § 3 auch ἀντιπρῴροις mit Reiske zu lesen sein: mit Angriffen bei denen Vordertheil dem Vordertheil zugekehrt ist. Das angreifende Schiff ist immer ἀντίπρῳρος, sucht aber das feindliche von der Seite zu fassen. — περίπλου. ἢ διέκπλου scheint ausgefallen. (Kr.) — πολλῷ. Gr. 43, 4 A. 2. — πρὸς ἑαυτῶν, λυσιτελῆ αὐτοῖς δή. (Sch.) zu 2, 86, 3.

§ 4. παίοντες für παρέχοντες eine gute Hs., incurrentes Va. — ἐμβόλοις. ἔμβολον χάλκωμα περιτεθειμένον κατὰ πρῷραν ταῖς ναυσιν. (Sch.)

§ 5. διεκπλεῖν ist Exegem zu τὸ μέν. (Ps.) Gr. 57, 10 A. 7. — ξυγκροῦσαι. ξυγκρούσει die meisten Hsn. Mir ist auch bei jener La. zwar nicht der Sinn aber doch die Fügung undeutlich. Eher würde ich erwarten τῷ ἀντίπρῳροι ξυγκροῦσαι. — πλεῖστον. πλεῖον oder

αὐτῷ σχήσειν· τὴν γὰρ ἀνάκρουσιν οὐκ ἔσεσθαι τοῖς Ἀθηναίοις ἐξωθουμένοις ἄλλοσε ἢ ἐς τὴν γῆν, καὶ ταύτην δι' ὀλίγου καὶ ἐς ὀλίγον, κατ' αὐτὸ τὸ στρατόπεδον τὸ ἑαυτῶν. τοῦ δ' ἄλλου λιμένος αὐτοὶ κρατήσειν, καὶ ξυμφερομένους 6
αὐτούς, ἢν πῃ βιάζωνται, ἐς ὀλίγον τε καὶ πάντας ἐς τὸ αὐτό, προσπίπτοντας ἀλλήλοις ταράξεσθαι· ὅπερ καὶ ἔβλαπτε μάλιστα τοὺς Ἀθηναίους ἐν ἁπάσαις ταῖς ναυμαχίαις, οὐκ οὔσης αὐτοῖς ἐς πάντα τὸν λιμένα τῆς ἀνακρούσεως, ὥσπερ τοῖς Συρακοσίοις. περιπλεῦσαι δὲ ἐς τὴν εὐρυχωρίαν, σφῶν 7
ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους τε καὶ ἀνάκρουσιν, οὐ δυνήσεσθαι αὐτούς, ἄλλως τε καὶ τοῦ Πλημμυρίου πολεμίου τε αὐτοῖς ἐσομένου καὶ τοῦ στόματος οὐ μεγάλου ὄντος τοῦ λιμένος.

Τοιαῦτα οἱ Συρακόσιοι πρὸς τὴν ἑαυτῶν ἐπιστήμην τε 37
καὶ δύναμιν ἐπινοήσαντες καὶ ἅμα τεθαρσηκότες μᾶλλον ἤδη ἀπὸ τῆς προτέρας ναυμαχίας ἐπεχείρουν τῷ τε πεζῷ ἅμα καὶ ταῖς ναυσίν. καὶ τὸν μὲν πεζὸν ὀλίγῳ πρότερον τὸν ἐκ τῆς πόλεως Γύλιππος προεξαγαγὼν προσῆγε τῷ τείχει τῶν Ἀθηναίων, καθ' ὅσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα· καὶ οἱ ἀπὸ 2
τοῦ Ὀλυμπιείου, οἵ τε ὁπλῖται ὅσοι ἐκεῖ ἦσαν καὶ οἱ ἱππῆς καὶ ἡ γυμνητεία τῶν Συρακοσίων ἐκ τοῦ ἐπὶ θάτερα προσῄει

---

vielmehr πλέον Kr. Nicht übel Va.: am meisten dadurch überlegen zu sein. Doch wüßte ich den Superlativ in diesem Sinne sonst nicht gebraucht. — καὶ ταύτην bezieht Bd. auf ἀνάκρουσιν. Allein da würde man καὶ ταῦτα erwarten; jenes ist also vielmehr auf das nähere γῆν zu beziehen. (Py.) — δι' ὀλίγου in einem geringen Zwischenraume von dem Kampfplatze bis zur Küste. (Ps.) zu 2, 89, 7. — ἐς ὀλίγον auf einen beschränkten Raum hin, erklärt durch κατ' αὐτὸ τὸ στρατόπεδον τὸ ἑαυτῶν. (Ps.) vgl. § 6.

§ 6. αὐτούς, τοὺς Ἀθηναίους. (Sch.) — ταράξεσθαι. Gr. § 40 unter ταράσσω.

C. 37. § 1. πρός gemäß, ex Va. Gr. 68, 39 A. 5. — τεθαρσηκότες für τεθαρρηκότες eine gute Hs. zu 1, 69, 3. — ἐπεχείρουν, τοῖς Ἀθηναίοις δηλονότι σὺν τῷ πεζῷ. (Sch.) — τὸν ἐκ τῆς πόλεως. Entgegen stehen οἱ ἀπὸ τοῦ Ὀλυμπιείου. (Py.) — αὐτοῦ, τοῦ τείχους, hängt von καθ' ὅσον ab: κατὰ τοῦτο ὅσον αὐτοῦ. vgl. 4, 18, 2. (Abr.)

§ 2. γυμνητεία für γυμνητία mehrere u. einige sehr gute Hsn. — ἐκ τοῦ ἐπὶ θ. Gr. 43, 4 A. 3. vgl. 8, 33, 2. — προσῄει bloß

τῷ τείχει· αἱ δὲ νῆες μετὰ τοῦτο εὐθὺς ἐπεξέπλεον τῶν Συ-
3 ρακοσίων καὶ ξυμμάχων. καὶ οἱ Ἀθηναῖοι τὸ πρῶτον αὐ-
τοὺς οἰόμενοι τῷ πεζῷ μόνῳ πειράσειν, ὁρῶντες δὲ καὶ τὰς
ναῦς ἐπιφερομένας ἄφνω ἐθορυβοῦντο, καὶ οἱ μὲν ἐπὶ τὰ
τείχη καὶ πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντιπαρετάσσοντο,
οἱ δὲ πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου καὶ τῶν ἔξω κατὰ
τάχος χωροῦντας ἱππέας τε πολλοὺς καὶ ἀκοντιστὰς ἀντεπεξ-
ῆεσαν, ἄλλοι δὲ τὰς ναῦς ἐπλήρουν καὶ ἅμα ἐπὶ τὸν αἰγι-
αλὸν παρεβοήθουν, καὶ ἐπειδὴ πλήρεις ἦσαν, ἀνηνῆγον
πέντε καὶ ἑβδομήκοντα ναῦς· καὶ τῶν Συρακοσίων ἦσαν
38 ὀγδοήκοντα μάλιστα. τῆς δὲ ἡμέρας ἐπὶ πολὺ προσπλέονιες
καὶ ἀναχρονόμενοι καὶ πειράσαντες ἀλλήλων καὶ οὐδέτεροι
δυνάμενοι ἄξιόν τι λόγου παραλαβεῖν, εἰ μὴ ναῦν μίαν ἢ
δύο τῶν Ἀθηναίων οἱ Συρακόσιοι καταδύσαντες, διεκρίθη-
σαν· καὶ ὁ πεζὸς ἅμα ἀπὸ τῶν τειχῶν ἀπῆλθεν.

2 Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακόσιοι ἡσύχαζον, οὐδὲν δη-
λοῦντες ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν· ὁ δὲ Νικίας ἰδὼν
ἀντίπαλα τὰ τῆς ναυμαχίας γενόμενα καὶ ἐλπίζων αὐτοὺς
αὖθις ἐπιχειρήσειν τούς τε τριηράρχους ἠνάγκαζεν ἐπισκευά-
ζειν τὰς ναῦς, εἴ τίς τι ἐπεπονήκει, καὶ ἑλκάδας προώρμισε
πρὸ τοῦ σφετέρου σταυρώματος, ὃ αὐτοῖς πρὸ τῶν νεῶν ἀντὶ
3 λιμένος κλῃστοῦ ἐν τῇ θαλάσσῃ ἐπεπήγει. διαλειπούσας δὲ
τὰς ὁλκάδας ὅσον δύο πλέθρα ἀπ' ἀλλήλων κατέστησεν, ὅπως

---

nach γυμνητεία gerichtet, das noch dazu nur Appoſition iſt. (Pp.) Gr. 63, 4. — ἐπεξέπλεον für ἐξέπλεον eine gute Hſ.

§ 3. ἐπὶ τὰ τείχη mit Andeutung des Hinaufgehens. Matth. 586, c. (Pp.) Eine in der Proſa ziemlich beſchränkte Sprechweiſe. — ναῦς. ναυσὶν Bk. So ἀνάγειν ναῦς 8, 95, 2 und oft Her., wie 7, 100. 8, 57. 70. 76. 79. (Arn.)

C. 38. § 1. τῆς ἡμέρας ἐπὶ πολύ, wie 7, 39. 1. (Pp.) zu 7, 11, 3. — οὐδέτεροι. Gr. 56, 9 A. 1. — παραλαβεῖν, κτήσασθαι. (Sch.) abgewinnen. (Ba.) Her. 7, 211: οὐδὲν ἐδυνέατο παραλαβεῖν τῆς ἐσόδου. (Arn.) — καταδύσαντες erg. ἀξιόν τι λόγου παρέλαβον. (Pp.) Wohl bloß παρέλαβον.

§ 2. ὁποῖόν τι τὸ μέλλον, ὁποῖόν τί ἐστι τὸ μέλλον ὅ. Gr. 57, 3 A. 5. — τὰ τῆς ναυμαχίας verdächtigt Kr. pari eventu fuisse pugnatum Ba. — ἐπεπονήκει, ἤγουν ἐπεπόνθει κατεαγυῖα. (Sch.) — σφετέρου. Gr. 58, 4 A. 3.

§ 3. διαλειπούσας für διαλιπούσας der Sch. u. St. Gr. 52, 2 A. 11.

εἴ τις βιάζοιτο ναῦς, εἴη κατάφευξις ἀσφαλὴς καὶ πάλιν καθ' ἡσυχίαν ἔκπλους. παρασκευαζόμενοι δὲ ταῦτα ὅλην τὴν ἡμέραν διετέλεσαν οἱ Ἀθηναῖοι μέχρι νυκτός.

Τῇ δ' ὑστεραίᾳ οἱ Συρακόσιοι τῆς μὲν ὥρας πρωΐτερον, 39
τῇ δ' ἐπιχειρήσει τῇ αὐτῇ τοῦ τε πεζοῦ καὶ τοῦ ναυτικοῦ προσέμισγον τοῖς Ἀθηναίοις, καὶ ἀντικαταστάντας ταῖς ναυσὶ τὸν αὐτὸν τρόπον αὖθις ἐπὶ πολὺ διῆγον τῆς ἡμέρας πειρώμενοι ἀλλήλων, πρὶν δὴ Ἄριστων ὁ Πυρρίχου Κορίνθιος, 2
ἄριστος ὢν κυβερνήτης τῶν μετὰ Συρακοσίων, πείθει τοὺς σφετέρους τοῦ ναυτικοῦ ἄρχοντας, πέμψαντας ὡς τοὺς ἐν τῇ πόλει ἐπιμελομένους, κελεύειν ὅτι τάχιστα τὴν ἀγορὰν τῶν πωλουμένων μεταναστήσαντας ἐπὶ τὴν θάλασσαν κομίσαι, καὶ ὅσα τις ἔχει ἐδώδιμα, πάντας ἐκεῖσε φέροντας ἀναγκάσαι πωλεῖν, ὅπως αὐτοῦ ἐκβιβάσαντες τοὺς ναύτας εὐθὺς παρὰ τὰς ναῦς ἀριστοποιήσονται, καὶ δι' ὀλίγου αὖθις καὶ αὐθημερὸν ἀπροσδοκήτοις τοῖς Ἀθηναίοις ἐπιχειρῶσιν. καὶ οἱ 40
μὲν πεισθέντες ἔπεμψαν ἄγγελον καὶ ἡ ἀγορὰ παρεσκευάσθη, καὶ οἱ Συρακόσιοι ἐξαίφνης πρύμναν κρουσάμενοι πάλιν πρὸς τὴν πόλιν ἔπλευσαν καὶ εὐθὺς ἐκβάντες αὐτοῦ ἄριστον ἐποιοῦντο· οἱ δ' Ἀθηναῖοι νομίσαντες αὐτοὺς ὡς ἡσσημένους 2
σφῶν πρὸς τὴν πόλιν ἀναχρούσασθαι καθ' ἡσυχίαν ἐκβάντες τά τε ἄλλα διεπράσσοντο καὶ τὰ ἀμφὶ τὸ ἄριστον, ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι. ἐξαίφνης δ' οἱ Συρακόσιοι πληρώσαντες τὰς ναῦς ἐπέπλεον αὖθις· οἱ 3
δὲ διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους οὐδενὶ κόσμῳ ἐσβάντες μόλις ποτὲ ἀντανήγοντο. καὶ χρόνον μέν τινα ἀπέσχοντο ἀλλήλων φυλασσόμενοι· ἔπειτ' οὐκ ἐδόκει τοῖς Ἀθηναίοις ὑπὸ σφῶν αὐτῶν διαμέλλοντας κόπῳ ἁλίσκεσθαι

C. 39. § 1. *τῆς ὥρας*, wie *ὀψὲ τῆς ὥρας*. (Pp.) Gr. 47, 10 A. 4.

§ 2. *Ἀριστων-ἄριστος*. zu 3, 70, 3. — *ἀγοράν*. zu 1, 62, 1. — *μεταστήσαντας ἐπὶ τὴν θάλασσαν κομίσαι* für *παρὰ τὴν θάλασσαν μεταστῆσαι κομίσαντας* der Sch. u. einige Hſn. *Παρά* kann bei lebloſen Dingen in Proſa nicht für *ἐπί* ſtehen. — *αὐτοῦ* für *αὐτοῖς* A. Pb.

C. 40. § 1. *πρύμναν κρουσάμενοι*. zu 1, 50, 5.

§ 2. *ὡς οἰόμενοι*. zu 6, 32, 3.

§ 3. *διὰ θορύβου καὶ ἄσιτοι*. Gr. 59, 2 A. 3. — *ἁλίσκεσθαι* iſt ungewöhnlich. (Bl.) *κατίσχεσθαι*! Aeſch. Eum. 67: *ἅλοῦσαι ὕπνῳ* iſt jetzt anders unterpungirt. — *διαμέλλοντας*. Gr. 55, 2 A. 7.

ἀλλ' ἐπιχειρεῖν ὅτι τάχιστα, καὶ ἐπιφερόμενοι ἐκ παρακελεύ-
4 σεως ἐναυμάχουν. οἱ δὲ Συρακόσιοι δεξάμενοι καὶ ταῖς τε ναυσὶν ἀντιπρῴροις χρώμενοι, ὥσπερ διενοήθησαν, τῶν ἐμβόλων τῇ παρασκευῇ ἀνερρήγνυσαν τὰς τῶν Ἀθηναίων ναῦς ἐπὶ πολὺ τῆς παρεξειρεσίας, καὶ οἱ ἀπὸ τῶν καταστρωμάτων
5 αὐτοῖς ἀκοντίζοντες μεγάλα ἔβλαπτον τοὺς Ἀθηναίους, πολὺ δ' ἔτι μείζω οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες τῶν Συρακοσίων καὶ ἐς τε τοὺς ταρσοὺς ὑποπίπτοντες τῶν πολε-
μίων νεῶν καὶ ἐς τὰ πλάγια παραπλέοντες καὶ ἐξ αὐτῶν ἐς
41 τοὺς ναύτας ἀκοντίζοντες. τέλος δὲ τούτῳ τῷ τρόπῳ κατὰ κράτος ναυμαχοῦντες οἱ Συρακόσιοι ἐνίκησαν, καὶ οἱ Ἀθη-
ναῖοι τραπόμενοι διὰ τῶν ὁλκάδων τὴν καταφευξιν ἐποιοῦντο ἐς τὸν ἑαυτῶν ὅρμον. αἱ δὲ τῶν Συρακοσίων νῆες μέχρι μὲν τῶν ὁλκάδων ἐπεδίωκον· ἔπειτ' αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι

---

§ 4. ταῖς für ταῖς τε mehrere Hſn. — ἐμβόλων für ἐμβολῶν Abr. Doch jenes kann, wenn auch nicht durch 7, 36, 4, ſo doch durch 2, 76, 3 vertheidigt werden. (Pv.) Kaum. — αὐτοῖς. Gr. 48, 12 A. 1.

§ 5. λεπτοῖς. zu 2, 83, 4; den Trieren entgegengeſetzt [Dem.] 17, 27. — ἐς τοὺς ταρσοὺς ὑποπίπτοντες, ὑποδυόμενοι ὑπὸ τοὺς ταρσούς. (Sch.) Aehnlich wie εἰς —, ἐμπίπτειν. — καί vor ἐς verdächtigt Pv. — αὐτῶν, τῶν πλοίων. (Pß.)

S. 41. § 1. κατὰ κράτος verbindet der Sch. mit ἐνίκησαν. vgl. 2, 87, 2. Doch auch κατὰ κράτος προσβάλλειν 4, 131, 1, ἐπικεῖσθαι 8, 1, 3, πολεμεῖν 1, 118, 3. 2, 54, 3. vgl. 4, 23, 2. 6, 91, 6. Und die Verbindung mit ναυμαχοῦντες iſt hier natürlicher. — κεραῖαι, wohl Stangen die über die Schiffe hinausgelehnt und etwa mit einem Schwengel verſehen waren, um die Delphine herabzuſchnellen. (Hl.) Liv. 38, 5: tollenonibus libramenta plumbi incutiebant. (Ba.) — ὑπέρ. αἱ ὑπέρ Kr. — τῶν ἔσπλων den Einfahrtslücken zwiſchen den Laſtſchiffen. (Ac.) — ἀπό iſt mit ἠρμέναι zu verbinden. (Ba.) — δελφινοφόροι. ἐκ τῶν κεραιῶν δελφῖνες ἦσαν ἠρτημέναι μολίβδινοι, ὥστε ἐμβάλλεσθαι ταῖς προσπλεούσαις πολεμίαις ναυσίν· οἱ ἐμπίπτοντες αὐταῖς διέκοπτον τοὔδαφος αὐτῶν καὶ κατέδυνον. (Sch.) (δελφίς) σιδηροῦν κατασκεύασμα ἢ μολίβδινον εἰς δελφῖνα ἐσχηματισμένον· τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἠφίεσαν εἰς τὰς τῶν πολεμίων καὶ κατεδύοντο. (Sch. Ar. Ritter 759.) „Die Geſtalt eines Delphins bezieht ſich wohl auf den geſpaltenen breiten und ſcharfen Schwanz deſſelben; und dieſer war vermuthlich von Eiſen mit einer ſchneidenden Schärfe. Um aber dieſer Gattung einer doppelten Art den nöthigen Schwung und Nachdruck durch die vermehrte Schwere zu geben, ſo war ſie vielleicht in eine Maſſe von Blei gelöthet, welche den übrigen Körper des Delphins vorſtellte. Dieſes Inſtrument nun ward von der Höhe herunter geſtürzt und ſpaltete das worauf es fiel.“ (Hl.)

ἐκώλυον. δύο δὲ νῆες τῶν Συρακοσίων ἐπαιρόμεναι τῇ νίκῃ 2
προσέμιξαν αὐτῶν ἐγγὺς καὶ διεφθάρησαν, καὶ ἡ ἑτέρα αὐ-
τοῖς ἀνδράσιν ἑάλω. καταδύσαντες δ' οἱ Συρακόσιοι τῶν
Ἀθηναίων ἑπτὰ ναῦς καὶ κατατραυματίσαντες πολλάς, ἄν-
δρας τε τοὺς μὲν ζωγρήσαντες τοὺς δὲ ἀποκτείναντες ἀπεχώ-
ρησαν, καὶ τροπαῖά τε ἀμφοτέρων τῶν ναυμαχιῶν ἔστησαν
καὶ τὴν ἐλπίδα ἤδη ἐχυρὰν εἶχον ταῖς μὲν ναυσὶ καὶ πολὺ
κρείσσους εἶναι, ἐδόκουν δὲ καὶ τὸν πεζὸν χειρώσεσθαι.

Καὶ οἱ μὲν ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα παρεσκευά-
ζοντο αὖθις, ἐν τούτῳ δὲ Δημοσθένης καὶ Εὐρυμέδων ἔχόν- 12
τες τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν παραγίγνονται, ναῦς
τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα ξὺν ταῖς ξενικαῖς καὶ
ὁπλίτας περὶ πεντακισχιλίους ἑαυτῶν τε καὶ τῶν ξυμμάχων,
ἀκοντιστάς τε βαρβάρους καὶ Ἕλληνας οὐκ ὀλίγους καὶ σφεν-
δονήτας καὶ τοξότας καὶ τὴν ἄλλην παρασκευὴν ἱκανήν. καὶ 2
τοῖς μὲν Συρακοσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐ-
τίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι τοῦ
ἀπαλλαγῆναι τοῦ κινδύνου, ὁρῶντες οὔτε διὰ τὴν Δεκέλειαν
τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον καὶ παραπλήσιον τῷ
προτέρῳ ἐπεληλυθότα, τήν τε τῶν Ἀθηναίων δύναμιν παν-
ταχόσε πολλὴν φαινομένην· τῷ δὲ προτέρῳ στρατεύματι τῶν 3
Ἀθηναίων ὡς ἐκ κακῶν ῥώμη τις ἐγεγένητο. ὁ δὲ Δημο-
σθένης ἰδὼν ὡς εἶχε τὰ πράγματα καὶ νομίσας οὐχ οἷόν

---

§ 2. ἑτέρα ohne ἡ Ba. Doch würde Thuk. ein anderes vielmehr durch ἄλλη ausgedrückt haben. — κατατραυματίσαντες. zu 4, 14, 1.

§ 3. καί vor πολύ mehrere Hs. zu τροπαῖα τῶν ναυμαχιῶν. Gr. 47, 7 A. 3. — κατ' ἀμφότερα, τῷ τε πεζῷ καὶ τῷ ναυτικῷ. (A. Ps.)

C. 12. § 1. Ἀθηναίων. Ἀθηνῶν Bk.

§ 2. εἰ. Gr. 65, 5 A. 7. — πέρας τοῦ ἀπαλλαγῆναι endliches Gelangen zur Befreiung. Dem. 40, 40: τί ἂν ἦν πέρας ἡμῖν τοῦ διαλυθῆναι. „Her. 2, 139: τέλος δὲ τῆς ἀπαλλαγῆς ὧδε ἔλεγον γενέσθαι." (Arn.) vgl. Lobeck Parall. p. 534 u. Heindorf zu Plat. Phäd. 104. — ὁρῶντες. zu 3, 36, 2. — ἴσον καὶ παραπλήσιον. Lobeck Parall. p. 62. vgl. zu 1, 27, 1. — διὰ τὴν Δ. als ob etwa ein Verbum wie gehindert worden ꝛc. folgen sollte.

§ 3. ὡς ἐκ κακῶν wie es nach Unfällen möglich war. (Ba.) vgl. über ὡς Gr. 69, 63 A. 4; über ἐκ 68, 17 A. 7. — ῥώμη.

τ' εἶναι διατρίβειν οὐδὲ παθεῖν ὅπερ ὁ Νικίας ἔπαθεν — ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ Νικίας φοβερός, ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις ἀλλ' ἐν Κατάνῃ διεχείμαζεν, ὑπερώφθη τε καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς Πελοποννήσου στρα-
4 τιᾷ ὁ Γύλιππος ἀφικόμενος, ἣν οὐδ' ἂν μετέπεμψαν οἱ Συρακόσιοι, εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο· ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι ἅμα τ' ἂν ἔμαθον ἧσσους ὄντες καὶ ἀποτειχισμένοι ἂν ἦσαν, ὥσιε μηδ' εἰ μετέπεμψαν ἔτι ὁμοίως ἂν
5 αὐτοὺς ὠφελεῖν — ταῦτα οἶν ἀνασκοπῶν ὁ Δημοσθένης καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις, ἐβούλετο ὅτι τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακοσίων, ᾧ ἐκώλυσαν περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν ὂν καὶ εἰ ἐπικρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς ἀναβάσεως καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως ἂν αὐτὸ ληφθέν — οὐδὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα — ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ,
6 καὶ [οἱ] ξυντομωτάτην ἡγεῖτο διαπολέμησιν· ἢ γὰρ κατορθώσας ἕξειν Συρακούσας ἢ ἀπάξειν τὴν στρατιὰν καὶ οὐ τρίψεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους καὶ τὴν ξύμπασαν πόλιν. πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακοσίων ἕτεμον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον καὶ τῷ στρατεύματι ἐπεκράτουν, ὥσπερ τὸ πρῶτον, τῷ τε πεζῷ

---

zu 7, 18, 2. — οὐχ οἱόν τε εἶναι es ſei nicht ſtatthaft. (Ps.) — ὑπερώφθη, ἦγουν κατεφρονήθη. (Sch.)

§ 4. μηδ' εἰ. Gr. 65, 5 A. 17.

§ 5. ταῦτα οὖν ἀνασκοπῶν erneuert die Begriffe ἰδὼν καὶ νομίσας § 3. Gr. 65, 9 A. 2. — μάλιστα δεινότατος vorzugsweiſe in hohem Grade furchtbar. — ἐστι. ἔσται Kr. zu Xen. An. 7, 2, 22 kl. A. — ὅ τι τάχος für ὅτι τάχιστα iſt mehr poetiſch, auch bei Th. nur hier vorkommend. — ἀποχρήσασθαι. zu 1, 68, 4. — τῇ τοῦ στρατεύματος ἐκπλήξει der Schreck vor dem Heere. (St.) Gr. 47, 7 A. 5. — κρατήσειε für ἐπικρατήσειε viele und gute Hſn. Letzteres wird mehr von perſönlichen Objecten geſagt. — αὖθις ſodann. Kr. z. Dion. p. 293. (Pv.) — αὐτό, τὸ παρατείχισμα. (Sch.) — ὑπομεῖναι, ἐνόμιζεν aus ὁρῶν. (Ps.) Gr 65, 11 A. 7. — οἱ fehlt in vielen und guten Hſn. — διαπολέμησιν mit dem Artikel wäre Subject; ohne ihn gehört es dem Prädicat an.

§ 6. τρίψεσθαι für τρίβεσθαι einige gute Hſn. — ἄλλως, ἦγουν ἀπράκτως. (Sch.) zu 1, 109, 2. — τε τούς. τε καὶ τούς einige

καὶ ταῖς ναυσίν — οὐδὲ γὰρ καθ' ἕτερα οἱ Συρακόσιοι ἀντεπεξῄσαν ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ὑπὸ τοῦ Ὀλυμπιείου· — ἔπειτα μηχαναῖς ἔδοξε τῷ Λημοσθένει πρό- 43
τερον ἀποπειρᾶσαι τοῦ παρατειχίσματος. ὡς δὲ αὐτῷ προσαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ τοῦ τείχους ἀμυνομένων αἱ μηχαναὶ καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν, ἀλλὰ πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ὡς ἐπενόει, καὶ τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. καὶ ἡμέ- 2
ρας μὲν ἀδύνατα ἐδόκει εἶναι λαθεῖν προσελθόντας τε καὶ ἀναβάντας, παραγγείλας δὲ πέντ' ἡμερῶν σιτία καὶ τοὺς λιθολόγους καὶ τέκτονας πάντας λαβὼν καὶ ἄλλην παρασκευὴν τοξευμάτων τε καὶ ὅσα ἔδει, ἢν κρατῶσι, τειχίζοντας ἔχειν, αὐτὸς μὲν ἀπὸ πρώτου ὕπνου καὶ Εὐρυμέδων καὶ Μένανδρος ἀναλαβὼν τὴν πᾶσαν στρατιὰν ἐχώρει πρὸς τὰς Ἐπιπολάς, Νικίας δ' ἐν τοῖς τείχεσιν ὑπελείπετο. καὶ ἐπειδὴ ἐγένοντο 3
πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον, ᾗπερ καὶ ἡ προτέρα στρατιὰ τὸ πρῶτον ἀνέβη, λανθάνουσί τε τοὺς φύλακας τῶν Συρακοσίων καὶ προσβάντες τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακοσίων αἱροῦσι καὶ ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν. οἱ 4
δὲ πλείους διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα, ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία, ἓν μὲν τῶν Συρακοσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον καὶ τοῖς ἑξακοσίοις τῶν Συρακοσίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον.

---

andere Hſn. — οὐδὲ καθ' ἕτερα, weder zu Waſſer noch zu Lande, wie κατ' ἀμφότερα 7, 41, 3. vgl. zu 2, 68, 5.

C. 43. § 1. καί vor τήν boten viele u. gute Hſn. vgl. zu 2, 93, 3. — τὴν ἐπιχείρησιν τῶν Ἐ. Gr. 47, 7 A. 5. vgl. 1, 33, 3.

§ 2. ἀδύνατα. ἀδύνατον viele u. gute Hſn. — προσελθόντας, τοὺς Ἀθηναίους. (Sch.) — πέντε ἡμερῶν σιτία. Gr. 47, 8 A. 1. — παρασκευήν, Maſchinen, eiſerne Werkzeuge ꝛc. (Ba.) — τοξευμάτων. Hier erwarte ich ein anderes Wort. — ἀπό, wie de, von — an. So ἀφ' ἑσπέρας 3, 112, 2. — ἀναλαβών dem Hauptſubject angefügt. Gr. 63, 4.

§ 3. ἤδη vor κατά boten eine gute Hſ. u. Ba. — ᾗ ἦν αὐτόθι τῶν Σ. Gr. 47, 9 A. 5. — ἄνδρας τῶν φυλακῶν wie ἀνὴρ τῶν ἀστῶν 6, 54, 2. 8, 71, 3. vgl. 68, 2. Gr. 47, 9.

§ 4. ἃ ἦν τρία. Gr. 47, 28 A. 4. — τῶν ξυμμάχων, derer aus Hellas. (Ds.) — πρῶτοι 6, 96, 3.

5 οἱ δ' ἐβοήθουν τ' εὐθὺς καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ
Ἀθηναῖοι ἐντυχόντες ἀμυνομένους προθύμως ἔτρεψαν. καὶ
αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν, ὅπως τῇ παρούσῃ
ὁρμῇ τοῦ περαίνεσθαι ὧν ἕνεκα ἦλθον μὴ βραδεῖς γένωνται·
ἄλλοι δὲ τὸ ἀπὸ τῆς πρώτης παρατείχισμα τῶν Συρακοσίων,
οὐχ ὑπομενόντων τῶν φυλάκων, ᾕρουν τε καὶ τὰς ἐπάλξεις
6 ἀπέσυρον. οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ Γύλιπ-
πος καὶ οἱ μετ' αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων,
καὶ ἀδοκήτου τοῦ τολμήματος σφίσιν ἐν νυκτὶ γενομένου
προσέβαλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι καὶ βιασθέντες
7 ὑπ' αὐτῶν τὸ πρῶτον ὑπεχώρησαν. προϊόντων δὲ τῶν Ἀθη-
ναίων ἐν ἀταξίᾳ μᾶλλον ἤδη ὡς κεκρατηκότων καὶ βουλομέ-
νων διὰ παντὸς τοῦ μήπω μεμαχημένου τῶν ἐναντίων ὡς
τάχιστα διελθεῖν, ἵνα μὴ ἀνέντων σφῶν τῆς ἐφόδου αὖθις
ξυστραφῶσιν, οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον, καὶ
προσβαλόντες ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν.

44 Καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο
οἱ Ἀθηναῖοι, ἣν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ' ἀφ' ἑτέρων
ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη. ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα
μέν, ὅμως δὲ οὐδὲ ταῦτα οἱ παραγενόμενοι πάντα πλὴν τὸ
2 καθ' ἑαυτὸν ἕκαστος μόλις οἶδεν· ἐν δὲ νυκτομαχίᾳ, ἣ μόνη
δὴ στρατοπέδων μεγάλων ἔν γε τῷδε τῷ πολέμῳ ἐγένετο,
πῶς ἄν τις σαφῶς τι ᾔδει; ἦν μὲν γὰρ σελήνη λαμπρά,

---

§ 5. ὁρμῇ τοῦ περαίνεσθαι Streben auszuführen. Der Dativ wäre passender wenn folgte: etwas leisteten. vgl. 4, 34, 1. — ἀπὸ τῆς πρώτης, ὁρμῆς δηλονότι. (Sch.) zu 1, 77, 2. Kr. nimmt ein Hyperbaton an; Bd. erklärt: den zunächst gelegenen, zuerst erreichbaren Theil des syrakosischen Festungswerkes.

§ 7. τοῦ μήπου μεμαχημένου den Theil der noch nicht gekämpft hatte (Ac.), wie τὸ μαχόμενον 4, 96, 3. (Py.) Gr. 43, 4 A. 17. — διελθεῖν durchdringen. (Ba.) — ἀνέντων τῆς. Gr. 47, 13. — ξυστραφῶσιν, οἱ Συρακούσιοι. (Sch.)

C. 44. § 1. ἦν. Anticipation (Gr. 61, 6), als ob ἕκαστα nicht hinzugefügt werden sollte. (Arn.) — οὐδ' ἀφ' ἑτέρων. zu 2, 67, 5. Ein Beleg daß Th. von beiden Partheien Erkundigungen eingezogen. (Ba.) — ξυνηνέχθη sich begab, ein bei Her. häufiger Gebrauch, der sich bei Attikern wohl so ziemlich auf den Thuk. beschränken wird. vgl. 1, 23, 1. 8, 83, 1. 84, 1. — σαφέστερα gehört zu οἶδεν. (Ba.) — οὐδὲ ταῦτα. οὐδ' ἐνταῦθα Kr. — οἶδεν, dem nähern ἕκαστος angefügt. (Ba.) Gr. 63, 1 A. 3.

§ 2. ᾔδει für εἰδείη die besten Hsn.: wie hätte Jemand er-

ἑώρων δὲ οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκὸς τὴν μὲν ὄψιν τοῦ σώματος προορᾶν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. ὁπλῖται δὲ ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο. καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δ' ἔτι 3
τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. πολὺ δὲ καὶ τοῖ ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀναβεβήκει, τὸ δ' ἔτι προσανῄει, ὥσι' οὐκ ἠπίσταντο πρὸς ὅ τι χρὴ χωρῆσαι. ἤδη γὰρ τὰ πρόσθεν, τῆς τροπῆς γεγενημένης, ἐτετάραχτο πάντα καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι. οἵ τε γὰρ Συρακό- 4
σιοι καὶ οἱ ξύμμαχοι κρατοῦντες παρεκελεύοντό τε, κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι, καὶ ἅμα τοὺς προσφερομένους ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζήτουν τε σφᾶς αὐτοὺς καὶ πᾶν τὸ ἐξ ἐναντίας, καὶ εἴ φιλιον εἴη τῶν ἤδη πάλιν φευγόντων, πολέμιον ἐνόμιζον, καὶ 5
τοῖς ἐρωτήμασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοi διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι σφίσι τε αὐτοῖς θόρυβον πολὺν παρεῖχον, ἅμα πάντες ἐρωτῶντες, καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν· τὸ δ' ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνοεῖ-

---

kennen ſollen? εἰδείη gab Jemand der den (ſchon mit ᾗ anfangenden) Uebergang vom allgemeinen Satze zu dem vorliegenden Falle anſtößig fand. — εἰκός würden wir doppelt erfordern: ὡς ἐν σελήνῃ εἰκός· εἰκὸς γάρ. — ὄψιν, θέαμα, mit dem Ge., wie auch ſonſt hin und wieder. Lobeck Parall. p. 512. — τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι die Erkennung des Befreundeten angezweifelt wurde, unſicher war. (Ba.)

§ 3. ἐφόδῳ, ὁρμῇ. (Sch.) — τὰ πρόσθεν die vorderen Theile des Heeres. (Ac.) — ὑπὸ τῆς βοῆς, διὰ τὴν βοήν. (Sch.)

§ 4. τοὺς προσφερομένους ἐδέχοντο, hielten den Angriff der Andringenden aus. (St.) — σφᾶς αὐτούς. Gr. 51, 2 A. 16. vgl. Arndt de pron. refl. 1 p. 11. — ἐξ ἐναντίας für ἐναντίον eine gute u. zwei andere Hſn. nebſt dem Sch. wie 4, 33, 2. 35, 2. (Bk.) — τῶν ἤδη πάλιν φευγόντων, nämlich von denen die bereits flüchtig wieder umkehrten, alſo mit εἴη zu verbinden. (Hl.)

§ 5. τοῖς ἐρωτήμασι πυκνοῖς. Gr. 50, 11 A. 1. πυκνά könnte auch ſtehen. zu 1, 3, 4. E. — ξύνθημα λόγος ἐν πολέμῳ ἐπὶ γνωρισμῷ τῶν οἰκείων διδόμενος. Etym. M. (Hudſon.) Tac. H. 3, 22: crebris interrogationibus notum pugnae signum. vgl. Lips. mil. Rom. 4 ult (Dr.)

6 σθαι, ὥστ' εἰ μὲν ἐντύχοιέν τισι κρείσσους ὄντες τῶν πολε-
μίων, διέφευγον αὐτούς, ἅτε ἐκείνων ἐπισταμένοι τὸ ξύν-
θημα, εἰ δ' αὐτοὶ μὴ ἀποκρίνοιντο, διεφθείροντο. μέγιστον
δὲ καὶ οὐχ ἥκιστα ἔβλαψεν ὁ παιωνισμός· ἀπὸ γὰρ ἀμφο-
7 τέρων παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν. οἵ τε γὰρ Ἀργεῖοι
καὶ οἱ Κερκυραῖοι καὶ ὅσον Δωρικὸν μετ' Ἀθηναίων ἦν,
ὁπότε παιωνίσειαν, φόβον παρεῖχε τοῖς Ἀθηναίοις, οἵ τε
πολέμιοι ὁμοίως. ὥστε τέλος ξυμπεσόντες αὐτοῖς κατὰ πολλὰ
τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις
καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον κατέστησαν, ἀλλὰ
8 καὶ ἐς χεῖρας ἀλλήλοις ἐλθόντες μόλις ἀπελύοντο. καὶ διω-
κόμενοι κατά τε τῶν χρημνῶν [οἱ] πολλοὶ ῥίπτοντες ἑαυτοὺς
ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν κα-
ταβάσεως, καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σωζόμενοι ἄνωθεν
καταβαῖεν, οἱ μὲν πολλοὶ αὐτῶν καὶ ὅσοι ἦσαν τῶν προτέρων
στρατιωτῶν ἐμπειρίᾳ μᾶλλον τῆς χώρας ἐς τὸ στρατόπεδον
διεφύγγανον, οἱ δὲ ὕστερον ἥκοντες εἰσὶν οἳ διαμαρτόντες
τῶν ὁδῶν κατὰ τὴν χώραν ἐπλανήθησαν· οὓς, ἐπειδὴ ἡμέρα
ἐγένετο, οἱ ἱππῆς τῶν Συρακοσίων περιελάσαντες διέφθειραν.
45 Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακόσιοι δύο τροπαῖα ἔστησαν,
ἐπί τε ταῖς Ἐπιπολαῖς ᾗ ἡ πρόσβασις καὶ κατὰ τὸ χωρίον ᾗ
οἱ Βοιωτοὶ πρῶτον ἀντέστησαν, οἱ δ' Ἀθηναῖοι τοὺς νε-

---

§ 6. *των πολεμίων* hängt von *τισίν* ab. (Sch.) — *διέφευγον*, οἱ πολέμιοι. (Sch.) — *ἐκείνων*, τῶν Ἀθηναίων. (Va.) — *ἀποκρίνοιντο* für *ὑποκρίνοιντο* eine gute Hs. Doch bezeugen auch Grammatiker daß Th. wie Her. dieses für jenes gebraucht. — *μέγιστον*. zu 24, 3. Ueber den Pleonasmos zu 6, 87, 2.

§ 7. *παρεῖχε*, τὸ παιωνίσαι. (Ps.) — οἱ πολέμιοι, παρεῖχον. (Sch.) — *φίλοι — πολίταις* gehören zu *ξυμπεσόντες αὐτοῖς*. (Va.)

§ 8. οἱ vor *πολλοί* dürfte aus *οἱ μὲν πολλοί* entstanden sein. (Kr.) multi Va. — *τῆς πάλιν καταβάσεως*. vgl. 7, 62, 3. Gr. 50, 8 A. 8. vgl. 9 A. 6. — *καταβαῖεν* für *καταβαίνοιεν* eine gute u. zwei andere Hsn., der Sch. u. Va. — *οἱ μέν* fehlt in mehrern, z. Th. guten Hsn. — *ἐμπειρίᾳ μᾶλλον* weil sie mehr als die übrigen kundig waren. (Va.) — *διεφύγγανον*. *φυγγάνω* Aesch. Prom. 511, Soph. El. 132, *ἀποφυγγάνειν* Dem. 23, 74, *διαφυγγάνω* Aeschin. 3, 10, *ἐκφυγγάνω* Aesch. Prom. 523, *καταφυγγάνω* Aeschin. 3, 208. (Abr. u. Kr.) — *εἰσὶν οἳ* appositiv wie *ἔνιοι*. — *διέφθειραν*. *διέφθειρον* mehrere gute Hsn.

C. 45. *ἡ πρόσβασις* der Zugang. (St.) — *πρῶτον* für

χρους ὑποσπόνδους ἐκομίσαντο. ἀπέθανον δὲ οὐκ ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων, ὅπλα μέντοι ἔτι πλείω ἢ κατὰ τοὺς νεκροὺς ἐλήφθη· οἱ γὰρ κατὰ τῶν χρημνῶν βιασθέντες ἄλλεσθαι ψιλοὶ ἄνευ τῶν ἀσπίδων οἱ μὲν ἀπώλλυντο οἱ δ' ἐσώθησαν.

Μετὰ δὲ τοῦτο οἱ μὲν Συρακόσιοι ὡς ἐπὶ ἀπροσδοκήτῳ 46
εὐπραγίᾳ πάλιν αὖ ἀναρρωσθέντες, ὥσπερ καὶ πρότερον, ἐς μὲν Ἀκράγαντα σιασιάζοντα πεντεκαίδεκα ναυσὶ Σικανὸν ἀπέστειλαν, ὅπως ὑπαγάγοιτο τὴν πόλιν, εἰ δύναιτο· Γύλιππος δὲ κατὰ γῆν ἐς τὴν ἄλλην Σικελίαν ᾤχετο αὖθις, ἄξων στρατιὰν ἔτι, ὡς ἐν ἐλπίδι ὢν καὶ τὰ τείχη τῶν Ἀθηναίων αἱρήσειν βίᾳ, ἐπειδὴ τὰ ἐν ταῖς Ἐπιπολαῖς οὕτω ξυνέβη. οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τούτῳ ἐβουλεύοντο 47
πρός τε τὴν γεγενημένην ξυμφορὰν καὶ πρὸς τὴν παροῦσαν ἐν τῷ στρατοπέδῳ κατὰ πάντα ἀρρωστίαν. τοῖς τε γὰρ ἐπιχειρήμασιν ἑώρων οὐ κατορθοῦντες καὶ τοὺς στρατιώτας ἀχθομένους τῇ μονῇ· νόσῳ τε γὰρ ἐπιέζοντο κατ' ἀμφότερα, 2
τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα, καὶ τὸ χωρίον ἅμα ἐν ᾧ ἐστρατοπεδεύοντο ἑλῶδες καὶ χαλεπὸν ἦν, τά τε ἄλλα ὅτι ἀνέλπιστα αὐτοῖς ἐφαίνετο. τῷ οὖν Δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν, ἀλλ' ἅπερ καὶ διανοηθεὶς ἐς τὰς Ἐπιπολὰς διακινδυνεῦσαι, ἐπειδὴ ἔσφαλτο, ἐξιέναι ἐψηφίζετο καὶ μὴ διατρίβειν, ἕως ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι καὶ τοῦ στρατεύματος

πρῶτον mehrere u. gute Hsn. wie Pa. — πλείω ἢ κατά. Gr. 49, 4. — ἄνευ verdächtigt Hk.

S. 46. ὑπαγάγοιτο unterwerfe Pö.; gewinne? — ἔτι, außer dem schon erhaltenen.

S. 47. § 1. πρός in Bezug auf. Kr. zu Xen. An. 1, 3, 19. — ἀρρωστίαν. Gegensatz von ῥώμη. zu 1, 8, 1. vgl. 3, 15 u. 8, 83, 1.

§ 2. τῆς ὥρας. μετοπώρου γὰρ ἦν ἡ ἀρχή Plut. Nik. 22. (Hudf.) — οὔσης — καὶ ἦν. zu 6, 18, 4. — ὅτι wollte Reiske tilgen oder ἀνελπιστότατα lesen; ich ἐφαίνετο, τῷ Δημοσθένει. — διακινδυνεῦσαι, ἔφη aus ἐδόκει. (Arn.) Es könnte auch von ἐψηφίζετο abhängen. — ἀπιέναι für διεξιέναι eine gute u. zwei andere Hsn.; die meisten ἐξιέναι. — τοῦ στρατεύματος ist der partitive Ge. und κρατεῖν steht absolut (Hk.): wenigstens mit dem Theile des Heeres der aus den hinzugekommenen Schiffen bestände die Oberhand zu behaupten.

3 ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν. καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη εἶναι πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι ἢ Συρακοσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι χειρώσασθαι· οὐδ' αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς εἶναι προσκαθῆσθαι.

48 Καὶ ὁ μὲν Δημοσθένης τοιαῦτα ἐγίγνωσκεν· ὁ δὲ Νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς πονηρὰ σφῶν τὰ πράγματα εἶναι, τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ' ἐμφανῶς σφᾶς ψηφιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν τοῖς πολεμίοις καταγγέλτους γίγνεσθαι· λαθεῖν γὰρ ἄν, ὁπότε
2 βούλοιντο, τοῦτο ποιοῦντες πολλῷ ἧσσον. τὸ δέ τι καὶ τὰ τῶν πολεμίων ἀφ' ὧν ἐπὶ πλέον ἢ οἱ ἄλλοι ᾐσθάνετο αὐτῶν ἐλπίδος τι ἔτι παρεῖχε πονηρότερα τῶν σφετέρων ἔσεσθαι, ἢν καρτερῶσι προσκαθήμενοι· χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς ἐκτρυχώσειν, ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς ὑπαρχούσαις
3 ναυσὶ θαλασσοκρατούντων. καὶ ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι, ἐπεκηρυκεύετο ὡς αὐτὸν καὶ οὐκ εἴα ἀναπίστασθαι. ἃ ἐπιστάμενος τῷ μὲν ἔργῳ ἔτι ἐπ' ἀμφότερα ἔχων καὶ διασκοπῶν ἀνεῖχεν, τῷ δ' ἐμφανεῖ τότε λόγῳ οὐχ ἔφη ἀπάξειν τὴν στρατιάν. εὖ γὰρ εἰδέναι ὅτι Ἀθηναῖοι σφῶν ταῦτα

---

§ 3. ἐπιτειχίζοντες, Dekeleia. — ἢ Συρακοσίους, ἢ πρὸς Σ. (Sch.) Gr. 68, 9.

C. 48. § 1. ἀσθενῆ ἀποδεικνύναι. Gr. 55, 7 A. 4. — καταγγέλτους γίγνεσθαι. zu 3, 30, 1. — ποιοῦντες. zu 6, 25, 3.

§ 2. τὸ δέ τι. zu 1, 107, 3. — ἀφ' ὧν, ἀπὸ τούτων ἃ vermöge deſſen was. (Hl.) vgl. Gr. 68, 16 A. 8. — αὐτῶν hängt von dem in ἀφ' ὧν enthaltenen ἃ ab. Gr. 47, 10 A. 2. — αὐτούς, τοὺς Συρακοσίους, iſt Objectsaccuſativ. (Va.) Das Subject würde hier gar nicht oder im No. ausgedrückt worden ſein. — ἐπὶ πλέον in größerer Ausdehnung als vorher, latius Va. — θαλασσοκρατούντων, σφῶν, τῶν Ἀθηναίων (Va.)

§ 3. καὶ ἦν γάρ. zu 1, 31, 2. — βουλόμενον, wie 7, 49, 1. (Abr.) Gr. 43, 3 A. 17. — ἐνδοῦναι. zu 4, 76, 2. — ἐπεκηρυκεύετο hier vom Schicken geheimer Sendlinge, διάγγελοι 7, 73, 4 (Ps.), wie 7, 49, 1. (Dr.) 8, 44, 1. (Pp.) vgl. Her. 1, 60. Subject iſt τὸ βουλόμενον. — ἐπ' ἀμφότερα ἔχων nach beiden Seiten geneigt, hin und her ſchwankend. (St.) νοῦν ergänzt Va.; durch διακείμενος erklärt ἔχων Arn. vgl. Her. 6, 49: ἐπὶ σφίσιν ἔχοντας δεδωκέναι. — διασκοπῶν, διστάζων. (Sch.) — ἀνεῖχε, οὐδεμιᾷ προσετίθετο

οὐκ ἀποδέξονται, ὥστε μὴ αὐτῶν ψηφισαμένων ἀπελθεῖν. καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε περὶ σφῶν [αὐτῶν] 4
καὶ τὰ πράγματα ὥσπερ καὶ αὐτοὶ ὁρῶντας καὶ οὐκ ἄλλων ἐπιτιμήσει ἀκούσαντας γνώσεσθαι, ἀλλ' ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι, ἐκ τούτων αὐτοὺς πείσεσθαι. τῶν τε παρόντων στρατιωτῶν πολλούς, καὶ τοὺς πλείους ἔφη οἳ νῦν βοῶσιν ὡς ἐν δεινοῖς ὄντες, ἐκεῖσε ἀφικομένους τἀναντία βοήσεσθαι ὡς ὑπὸ χρημάτων καταπροδόντες οἱ στρατηγοὶ ἀπῆλθον. οὔκουν βούλεσθαι αὐτός γε, ἐπιστάμενος τὰς Ἀθη- 5
ναίων φύσεις, ἐπ' αἰσχρῷ τε αἰτίᾳ καὶ ἀδίκως ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον ἢ ὑπὸ τῶν πολεμίων, εἰ δεῖ, κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ. τά τε Συρακοσίων ἔφη ὅμως ἔτι ἥσσω τῶν σφετέρων εἶναι· καὶ χρήμασι γὰρ αὐτοὺς ξενοτροφοῦντας καὶ ἐν περιπολίοις ἅμα ἀναλίσκοντας καὶ ναυτικὸν πολὺ ἔτι ἐνιαυτὸν ἤδη βόσκοντας, τὰ μὲν ἀπορεῖν τὰ δ' ἔτι ἀμηχανή-

---

γνώμη. (Sch.) Also intransitiv. (Pp.) vgl. Gr. 52, 2 A. 3. — ἀποδέξονται. zu 3, 57, 1. — αὐτῶν. Gr. 51, 6 A. 3.

§ 4. τοὺς αὐτούς ist unklar; vielleicht τοὺς αὐτοῦ (Kr.): nicht die dort, in Sikelien, befindlichen, würden über sie, das Heer, beschließen und, während sie die Lage der Dinge wie sie selbst, die Feldherren, sähen, nicht aber durch Ausstellungen Anderer vernommen hätten, ein Urtheil darüber fällen. — αὐτῶν verdächtigt Bk.; doch s. Gr. 51, 2 A. 7 u. Arndt de pron. refl. 1 p. 30. — ὥσπερ καί. Gr. 62, 4 A. 1. — ἐπιτίμησις, ein seltenes Wort, gebraucht auch Arrian. 5, 7, 5 und Luci. 3, 164. (Bl.) Dreimal Diod. 5, 1. — εὖ, πιθανῶς. (Sch.) — τούτων ist, da nicht ἅ sondern ἐξ ὧν vorhergeht, evanaleptisch (Gr. 51, 11 A. 2) nicht correlativ. So Isokr. 8, 32: τοῖς ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ, τούτοις χτώμεθα καὶ τὰς ἄλλας ὠφελείας. vgl. Lys. 20, 30: ὧν ὁ πατὴρ διαβάλλεται εἰς ὑμᾶς οὐ δικαίως, τούτων δεῖ ἡμᾶς ἕνεκα ἀπολέσθαι. — καί und zwar. (Ba.) vgl. 80, 3. — καταπροδόντες objectlos: als Verräther. Gr. 52, 1 A. 2.

§ 5. ἰδίᾳ für seine Person. (Arn.) Doch damit wurde dem Heere nicht geholfen; vielleicht ἤδη. (Kr.) — ὅμως, so schlecht es auch mit ihnen selbst stände, doch. (Ps.) — καὶ — γάρ. zu 1, 77, 1. καί fehlt in vielen Hss. — χρήμασι gehört zu ξενοτροφοῦντας. — ἔτι überdies. (Ps.) vgl. 6, 31, 2. 7, 7, 3 46. Sonst könnte man ἐπί vermuthen. — βόσκων. Her. 6, 39: πεντακοσίους βόσκων ἐπικούρους. (Bl.) Hier minder verächtlich als Ar. Ritter 256. 1258. (Dr.) vgl. Thesm. 449, Eur. Her. 826, Phaeth. 9, Her. 1, 44, Arr. An. 7, 8, 6, Luc. Pseudol. 25. In der att. Prosa wird es von Menschen eben nicht gebraucht. — ἔτι noch, fünftig. zu 6, 86, 4.

6 σειν· δισχίλιά τε γὰρ τάλαντα ἤδη ἀναλωκέναι καὶ ἔτι πολλὰ προσοφείλειν, ἥν τε καὶ ὁτιοῦν ἐκλίπωσι τῆς νῦν παρασκευῆς τῷ μὴ διδόναι τροφήν, φθερεῖσθαι αὐτῶν τὰ πράγματα, ἐπικουρικὰ μᾶλλον ἢ δι' ἀνάγκης, ὥσπερ τὰ σφέτερα, ὄντα. τρίβειν οὖν ἔφη χρῆναι προσκαθημένους, καὶ μὴ χρήμασιν, ὡς πολὺ κρείσσους εἰσί, νικηθέντας ἀπιέναι.

49 Ὁ μὲν Νικίας τοσαῦτα λέγων ἰσχυρίζετο, αἰσθόμενος τὰ ἐν ταῖς Συρακούσαις ἀκριβῶς, καὶ τὴν τῶν χρημάτων ἀπορίαν καὶ ὅτι ἦν αὐτόθι [που] τὸ βουλόμενον τοῖς Ἀθηναίοις γίγνεσθαι τὰ πράγματα καὶ ἐπικηρυκευόμενον πρὸς αὐτὸν ὥστε μὴ ἀπαναστασθαι, καὶ ἅμα ταῖς γοῦν ναυσὶν ἢ πρότερον
2 θαρσήσει κρατηθείς. ὁ δὲ Δημοσθένης περὶ μὲν τοῦ προσκαθῆσθαι οὐδ' ὁπωσοῦν ἐνεδέχετο· εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν ἄνευ Ἀθηναίων ψηφίσματος ἀλλὰ τρίβειν αὐτούς, ἔφη χρῆναι ἢ ἐς τὴν Θάψον ἀναστάντας τοῦτο ποιεῖν ἢ ἐς τὴν Κατάνην, ὅθεν τῷ τε πεζῷ ἐπὶ πολλὰ τῆς χώρας ἐπιόντες θρέψονται πορθοῦντες τὰ τῶν πολεμίων καὶ ἐκεί-

---

§ 6. τε γάρ für γάρ zwei gute Hsn. — προσοφείλειν, an rückständigen Zahlungen für Geräthe, Sold ꝛc. (Bl.) — καὶ ὁτιοῦν. Gr. 52, 15 A. 3. — τῆς νῦν παρασκευῆς ist wohl Glossem zu ὁτιοῦν; Ba. hat es nicht. (Kr.) — δι' ἀνάγκης zwangspflichtige. (Sch.) — τρίβειν, διατρίβειν καὶ παρέλκειν. (Sch.) — χρήμασι zieht Benedict zu κρείσσους, das Komma nach μή setzend. So übersetzte Hl., als Subject zu εἰσί richtig οἱ Ἀθηναῖοι denkend. Zu νικηθέντας könnte man χρήμασι nicht füglich auch denken; es müßte jenes auf die Niederlage der Athener bezogen werden. — ὡς. ᾧ eine gute und einige schlechte Hsn., was Pp. mit Hf. billigt. vgl. 1, 80, 3: ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν. Allein der Gedanke ist dann nicht recht gehörig.

C. 49. § 1. που fehlt in vielen und guten Hsn. Es ist unpassend und wohl aus der letzten Sylbe eines über αὐτόθι geschriebenen αὐτοῦ entstanden. — τό, da es schon 48, 3 erwähnt ist. — μή. μηδ' viele und gute Hsn. — γοῦν. γ' ἄν gute Hsn. — ἤ. ᾗ Ba. θαρρῶν ἢ eine gute Hs. — θαρσήσει. ἐθάρσησε zwei gute Hsn., θαρσήσας eine. θαρσήσας νῦν δηλονότι μᾶλλον ἢ πρότερον κρατηθεὶς καὶ νικηθείς. (Sch) — κρατηθείς. κρατυνθείς Ba. u. Reiske. fretus classe tunc magis quam antea quum victus esset Ba. Hl. nimmt θαρσήσει für das Substantiv: weil er von dem Vertrauen auf die Flotte mehr als je zuvor eingenommen war. Noch Unzulässigeres bieten Matth. § 359 A. 1 u. A.

§ 2. οὐδ' ὁπωσοῦν. zu 1, 77, 2. — ψηφίσματος ist vielleicht zu tilgen. (Ba. u. Kr.) injussu civitatis Ba. vgl. zu 1, 91, 4. — θρέψονται für τρέψονται einige Hsn. u. Schäfers Ausg.

νους βλάψουσιν, ταῖς τε ναυσὶν ἐν πελάγει καὶ οὐκ ἐν στε- 3
νοχωρίᾳ, ἢ πρὸς τῶν πολεμίων μᾶλλόν ἐστι, τοὺς ἀγῶνας
ποιήσονται ἀλλ' ἐν εὐρυχωρίᾳ, ἐν ᾗ τά τε τῆς ἐμπειρίας
χρήσιμα σφῶν ἔσται καὶ ἀναχωρήσεις καὶ ἐπίπλους οὐκ ἐκ
βραχέος καὶ περιγραπτοῦ ὁρμώμενοί τε καὶ καταίροντες ἔξου-
σιν. τό τε ξύμπαν εἰπεῖν, οὐδενὶ τρόπῳ οἱ ἔφη ἀρέσκειν ἐν 4
τῷ αὐτῷ ἔτι μένειν, ἀλλ' ὅτι τάχιστα ἤδη καὶ μὴ μέλλειν
ἐξανίστασθαι· καὶ ὁ Εὐρυμέδων αὐτῷ ταῦτα ξυνηγόρευεν.
ἀντιλέγοντος δὲ τοῦ Νικίου ὄκνος τις καὶ μέλλησις ἐνεγένετο
καὶ ἅμα ὑπόνοια μή τι καὶ πλέον εἰδὼς ὁ Νικίας ἰσχυρί-
ζηται. καὶ οἱ μὲν Ἀθηναῖοι τούτῳ τῷ τρόπῳ διεμέλλησάν
τε καὶ κατὰ χώραν ἔμενον.

Ὁ δὲ Γύλιππος καὶ ὁ Σικανὸς ἐν τούτῳ παρῆσαν ἐς τὰς 50
Συρακούσας, ὁ μὲν Σικανὸς ἁμαρτὼν τοῦ Ἀκράγαντος — ἐν
Γέλᾳ γὰρ ὄντος αὐτοῦ ἔτι ἡ τοῖς Συρακοσίοις στάσις ἐς
φιλία ἐξεπεπιώκει — · ὁ δὲ Γύλιππος ἄλλην τε στρατιὰν
πολλὴν ἔχων ἦλθεν ἀπὸ τῆς Σικελίας καὶ τοὺς ἐκ τῆς Πελο-
ποννήσου τοῦ ἦρος ἐν ταῖς ὁλκάσιν ὁπλίτας ἀποσταλέντας,
ἀφικομένους ἀπὸ τῆς Λιβύης ἐς Σελινοῦντα. ἀπενεχθέντες 2
γὰρ ἐς Λιβύην καὶ δόντων Κυρηναίων τριήρεις δύο καὶ τοῦ
πλοῦ ἡγεμόνας καὶ ἐν τῷ παράπλῳ Εὐεσπερίταις πολιορκου-
μένοις ὑπὸ Λιβύων ξυμμαχήσαντες καὶ νικήσαντες τοὺς Λί-
βυς καὶ αὐτόθεν παραπλεύσαντες ἐς Νέαν πόλιν Καρχηδο-
νιακὸν ἐμπόριον, ὅθεν πρὸς Σικελίαν ἐλάχιστον δύο ἡμερῶν

---

§ 3. *χρήσιμα* ist Prädicat. (Sch.) — *σφῶν* hängt von *ἐμπει-ρίας* ab. (Sch.) — *ἔσται*. Nach *ἔσται* fügt Vat., einige a. Hsn. u. Va. *ὥσπερ νῦν* hinzu.

§ 4. *τό τε ξύμπαν εἰπεῖν*. Gr. 55, 1 A. 2. vgl. 1, 138, 4. — *ἀλλ', ἀρέσκειν οἱ*. (Va.) — *ἤδη, ἐξανίστασθαι*, was also zweimal zu denken ist. (Hk.) Haase will *ἐξανίστασθαι* nach *ἤδη* stellen. — *ἐνεγένετο*. *ἐγένετο* mehrere u. gute Hsn. — *μή*. Gr. 54, 8 A. 10. — *ἰσχυρίζηται* beharre. (St.) vgl. 4, 23, 1. 68, 6. (Dr.)

C. 50. § 1. *Γύλιππος* 7, 46. — *ἡ τοῖς Σ. στάσις* die für die S. wirkende Parthei. (Ac.) Es ist der Da. commodi. (Pp.) — *ἐς* verdächtigt Ba., *φιλία* billigend, was die besten Hsn. für *φιλίαν* haben. Vielleicht steckt hier ein Ortsname, etwa Psintia. — *τοῦ ἦρος* 7, 17, 2. (Ds.) — *ἀποσταλέντας*. Gr. 50, 10 A. 3.

§ 2. *ἀπενεχθέντες*. *ἀπενεχθέντων* viele und gute Hsn., wegen *καὶ δόντων* hineincorrigirt. Gr. 56, 14 A. 2. — *πρὸς Σικελίαν* ist wohl aus dem Sch. eingeflickt und *Σελινοῦς* nach *πλοῦν* ausgefallen. (Kr.) — *δύο* für *δυοῖν* viele und gute Hsn. Zur Erklärung denke man

καὶ νυκτὸς πλοῦν ἀπέχει, καὶ ἀπ' αὐτοῦ περαιωθέντες ἀφίκοντο ἐς Σελινοῦντα. καὶ οἱ μὲν Συρακόσιοι εὐθὺς αὐτῶν ἐλθόντων παρεσκευάζοντο ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα
3 αὖθις τοῖς Ἀθηναίοις, καὶ ναυσὶ καὶ πεζῷ· οἱ δὲ τῶν Ἀθηναίων στρατηγοί, ὁρῶντες στρατιάν τε ἄλλην προσγεγενημένην αὐτοῖς καὶ τὰ ἑαυτῶν ἅμα οὐκ ἐπὶ τὸ βέλτιον χωροῦντα ἀλλὰ καθ' ἡμέραν τοῖς πᾶσι χαλεπώτερον ἴσχοντα, μάλιστα δὲ τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων πιεζόμενα, μετεμέλοντό τε πρότερον οὐκ ἀναστάντες, καὶ ὡς αὐτοῖς οὐδὲ ὁ Νικίας ἔτι ὁμοίως ἠναντιοῦτο ἀλλ' ἢ μὴ φανερῶς γε ἀξιῶν ψηφίζεσθαι, προεῖπον ὡς ἠδύναντο ἀδηλότατα ἔκπλουν ἐκ τοῦ στρατοπέδου
4 πᾶσιν καὶ παρασκευάσασθαι ὅταν τις σημήνῃ. καὶ μελλόντων αὐτῶν, ἐπειδὴ ἑτοῖμα ἦν, ἀποπλεῖν ἡ σελήνη ἐκλείπει· ἐτύγχανε γὰρ πανσέληνος οὖσα. καὶ οἱ Ἀθηναῖοι οἵ τε πλείους ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγούς, ἐνθύμιον ποιούμενοι, καὶ ὁ Νικίας, ἦν γάρ τι καὶ ἄγαν θειασμῷ τε καὶ τῷ τοιούτῳ προσκείμενος, οὐδ' ἂν διαβουλεύσασθαι ἔτι ἔφη, πρίν, ὡς οἱ μάντεις ἐξηγοῦντο, τρὶς ἐννέα ἡμέρας μεῖναι,

---

πλοῦν zweimal: *ἐλάχιστον πλοῦν ἀπέχει πλοῦν δύο ἡμερῶν* die kürzeste Fahrt die es entfernt ist ist eine Fahrt von zwei Tagen. vgl. Gr. 47, 8 A. 3. — *πλοῦν* für *πλοῦς* eine gute Hs. — *ἀπέχει* weiß ich so wenig als Pp. u. Arn. impersonal gebraucht für es ist eine Entfernung.

§ 3. *ἐπὶ τὸ βέλτιον.* Din. 1, 65: *ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγματα ἐλθεῖν.* vgl. Lex. Xen. *βελτίων* 6. — *τοῖς πᾶσι, κατὰ πάντα.* (Sch.) — *ἀναστάντες.* Gr. 56, 6 A. 4. — *ἀλλ' ἢ. ἄλλο εἰ,* ein *μή* vor *ψηφίζεσθαι* einschiebend, die besten Hsn. — *παρεσκευάσασθαι. παρεσκευάσθαι* Abr. *εὐτρεπεῖς εἶναι* Plut. Nik. 22. (Pp.) Auch mir eingefallen. — *σημήνῃ.* Drei *η* hinter einander finden sich öfter. Lobeck Parall. p. 22.

§ 4. *ἑτοῖμα ἦν.* zu 2, 3, 3. — *ἐκλείπει,* am 27 Aug. nach 8 Uhr Abends. — *πανσέληνος. πασσέληνος* Bk. — *ἐνθύμιον ποιούμενοι, ἐκλογισάμενοι, κατὰ νοῦν σχόντες τὸ τῆς σελήνης.* (Sch.) Her. 8, 54: *ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱερόν.* Eur. Herk. 722: *σοὶ τόδ' ἔστ' ἐνθύμιον.* (Bl.) vgl. Soph. Oed. T. 739, Eu. Ion 1347, Antiph. 2, *γ*, 10. 3, *α*, 2. *δ*, 9, App. Mac. 1, Syr. 43, Bürg. 5, 133. — *καὶ ἄγαν.* Gr. 69, 32 A. 18. — *θειασμῷ, εὐχῇ καὶ μαντείᾳ.* (Sch.) So *θειάζειν* 8, 1. (Pp.) — *τῷ τοιούτῳ προσκείμενος, τῷ τοιούτῳ φησὶν εἴδει τοῦ θειασμοῦ προσέχων, τῷ παραφυλάττειν τὰς ἐκλείψεις καὶ τὰ οὐράνια.* (Sch.) — *πρὶν μεῖναι.* Gr. 54, 17 A. 6. — *ὡς* für *ἅς* viele u. gute Hsn. *ἅς ὡς* eine. — *ἐξηγοῦντο.* Der ei-

ὅπως ἂν πρότερον κινηθείη. καὶ τοῖς μὲν Ἀθηναίοις μελλήσασι διὰ τοῦτο ἡ μονὴ ἐγεγένητο.

Οἱ δὲ Συρακόσιοι καὶ αὐτοὶ τοῦτο πυθόμενοι πολλῷ 51
μᾶλλον ἐγηγερμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων, ὡς καὶ αὐτῶν κατεγνωκότων ἤδη μηκέτι κρεισσόνων εἶναι σφῶν μήτε [ταῖς] ναυσὶ μήτε τῷ πεζῷ — οὐ γὰρ ἂν τὸν ἔκπλουν ἐπιβουλεῦσαι — καὶ ἅμα οὐ βουλόμενοι αὐτοὺς ἄλλοσέ ποι τῆς Σικελίας καθεζομένους χαλεπωτέρους εἶναι προσπολεμεῖν, ἀλλ' αὐτοῦ ὡς τάχιστα καὶ ἐν ᾧ σφίσι ξυμφέρει ἀναγκάσαι αὐτοὺς ναυμαχεῖν. τὰς οὖν ναῦς ἐπλήρουν καὶ ἀνε- 2
πειρῶντο ἡμέρας ὅσαι αὐτοῖς ἐδόκουν ἱκαναὶ εἶναι. ἐπειδὴ δὲ καιρὸς ἦν, τῇ μὲν προτέρᾳ πρὸς τὰ τείχη τῶν Ἀθηναίων προσέβαλλον, καὶ ἐπεξελθόντος μέρους τινὸς οὐ πολλοῦ καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων κατά τινας πύλας ἀπολαμβάνουσί τε τῶν ὁπλιτῶν τινας καὶ τρεψάμενοι καταδιώκουσιν· οὔσης δὲ στενῆς τῆς ἐσόδου οἱ Ἀθηναῖοι ἵππους τε ἑβδομήκοντα ἀπολλύουσι καὶ τῶν ὁπλιτῶν οὐ πολλούς. καὶ ταύτῃ 52
μὲν τῇ ἡμέρᾳ ἀπεχώρησεν ἡ στρατιὰ τῶν Συρακοσίων· τῇ δ' ὑστεραίᾳ ταῖς τε ναυσὶν ἐκπλέουσιν, οὔσαις ἓξ καὶ ἑβδο-

---

gentliche Ausdruck von Zeichendeutern. Hemsterhuys z. Poll. 8, 124 u. Casaub. zu Theophr. Char. 17. (Dr.) — *τρίς*. *τρεῖς* einige Hsn.; und *ἐννέα* verdächtigte schon Dodwell. Indeß daß sie später nicht wirklich sieben und zwanzig Tage blieben ist kein genügender Grund, da der Drang der Umstände sie zwang früher abzumarschiren. (Arn.) — *ὅπως* ist an *διαβουλεύσασθαι* anzuschließen. (Sch.)

C. 51. § 1. *ἀνιέναι*, wie 6, 18, 3. (Abr.) — *τὰ τῶν Α.*, *ἀντὶ τοῦ τοὺς Ἀθηναίους, φεύγειν δηλονότι.* (Sch.) — *κρεισσόνων.* Gr. 55, 2 A. 5. — *σφῶν*, *τῶν Συρακουσίων.* (Sch.) als sie. — *ταῖς* fehlt in vielen u. guten Hsn.; *τῷ* nur in zweien. — *οὐ γάρ* denn sonst. Gr. 54, 12 A. 9. — *ἂν ἐπιβουλεῦσαι.* Gr. 54, 6 A. 6; über den Ac. zu 6, 54, 3. — *ἄλλοσέ ποι* 7, 49, 2. — *καὶ βουλόμενοι* mit *ὡς κατεγνωκότων* verbunden. Gr. 56, 14 A. 2.

§ 2. *ἀνεπειρῶντο* für *ἀνεπαύοντο* nur einige Hsn. u. der Sch. — *προτέρᾳ* für *προτεραίᾳ* viele u. gute Hsn. Letzteres ist unpassend, da hier noch kein anderer Tag bezeichnet ist. Der Gegensatz *τῇ δὲ ὑστεραίᾳ* 52, 1. — *πύλας*, in einer Verschanzung der Athener. (Hk.) — *ἐσόδου* für *ἐξόδου* eine gute u. einige a. Hsn.: der Eingang zu der Verschanzung der Athener. (Pp.) — *ἀπολλύουσι. ἀπολλύασι* eine Hs. zu 4, 25, 3. Ueber die Sache 7, 54.

C. 52. § 1. *ναυσίν. ναῦς* steht 37, 3. vgl. 3, 16, 1. Doch intransitiv 8, 38, 3. 83, 1. 104, 1.

μήκοντα, καὶ τῷ πεζῷ ἅμα πρὸς τὰ τείχη ἐχώρουν. οἱ δ' Ἀθηναῖοι ἀντανῆγον ναυσὶν ἑξ καὶ ὀγδοήκοντα καὶ προς-
2 μίξαντες ἐναυμάχουν· καὶ τὸν Εὐρυμέδοντα ἔχοντα τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ βουλόμενον περικλῄσασθαι τὰς ναῦς τῶν ἐναντίων καὶ ἐπεξαγαγόντα τῷ πλῷ πρὸς τὴν γῆν μᾶλλον νικήσαντες οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι τὸ μέσον πρῶτον τῶν Ἀθηναίων ἀπολαμβάνουσι κἀκεῖνον ἐν τῷ κοίλῳ καὶ μυχῷ τοῦ λιμένος καὶ αὐτόν τε διαφθείρουσι καὶ τὰς μετ' αὐτοῦ ναῦς ἐπισπομένας· ἔπειτα δὲ καὶ τὰς πάσας ἤδη ναῦς τῶν Ἀθηναίων κατεδίωκόν τε καὶ ἐξεώθουν ἐς τὴν γῆν.

53 Ὁ δὲ Γύλιππος, ὁρῶν τὰς ναῦς τῶν πολεμίων νικωμένας καὶ ἔξω τῶν σταυρωμάτων καὶ τοῦ ἑαυτῶν στρατοπέδου καταφερομένας, βουλόμενος διαφθείρειν τοὺς ἐκβαίνοντας καὶ τὰς ναῦς ῥᾷον τοὺς Συρακοσίους ἀφέλκειν τῆς γῆς, φιλίας οὔσης, παρεβοήθει ἐπὶ τὴν χηλὴν μέρος τι ἔχων τῆς στρατιᾶς.
2 καὶ αὐτοὺς οἱ Τυρσηνοί — οὗτοι γὰρ ἐφύλασσον τοῖς Ἀθηναίοις ταύτῃ — ὁρῶντες ἀτάκτως προσφερομένους ἐπεκβοηθήσαντες καὶ προσπεσόντες τοῖς πρώτοις τρέπουσι καὶ ἐσβάλ-
3 λουσιν ἐς τὴν λίμνην τὴν Λυσιμέλειαν καλουμένην. ὕστερον δὲ πλείονος ἤδη τοῦ στρατεύματος παρόντος τῶν Συρακοσίων καὶ ξυμμάχων καὶ οἱ Ἀθηναῖοι ἐπιβοηθήσαντες καὶ δείσαντες περὶ ταῖς ναυσὶν ἐς μάχην τε κατέστησαν πρὸς αὐτοὺς καὶ νικήσαντες ἐπεδίωξαν, καὶ ὁπλίτας τε οὐ πολλοὺς ἀπέκτειναν καὶ τὰς ναῦς τὰς μὲν πολλὰς διέσωσάν τε καὶ ξυνήγαγον κατὰ τὸ στρατόπεδον, δυοῖν δὲ δεούσας εἴκοσιν οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἔλαβον αὐτῶν καὶ τοὺς ἄνδρας πάντας
4 ἀπέκτειναν. καὶ ἐπὶ τὰς λοιπάς, ἐμπρῆσαι βουλόμενοι, ὁλ-

---

§ 2. ἐπεξαγαγόντα. ἐξάγοντα die meiſten; ἐπεξάγοντα eine gute. vgl. zu 5, 71, 3. — μετ' αὐτοῦ. Kr. zu Xen. An. 1, 3, 9.

S. 53. § 1. τῶν σταυρωμάτων. τοῦ σταυρώματος 7, 38, 2. (Pp.) — ἑαυτῶν. Gr. 58, 4 A. 3. — βουλόμενος mit dem bloßen Inf. und mit dem Acc. c. inf. wie δοκεῖν 4, 3, 3. vgl. 8, 27, 1. — χηλήν. zu 1, 63, 1.

§ 2. ταύτῃ fehlt in vielen u. guten Hſn; zu ἐφύλασσον ſtatt zu ὁρῶντες zog es ſchon Va.

§ 3. τοῦ. Gr. 50, 11 A. 1. — καὶ δείσαντες. Ueber καί zu 1, 1, 1. — δυοῖν δέ für δυοῖν eine gute Hſ. u. drei a. Hſn. wie Va Gr. 24, 2 A. 9. — εἴκοσιν οἱ für εἴκοσιν ἃς οἱ eine gute Hſ. u. Va

κάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες, ἦν γὰρ ἐπὶ τοὺς Ἀθηναίους ὁ ἄνεμος οὔριος, ἀφεῖσαν τὴν ναῦν πῦρ ἐμβαλόντες. καὶ οἱ Ἀθηναῖοι δείσαντες περὶ ταῖς νανσὶν ἀντεμηχανήσαντό τε σβεστήρια κωλύματα καὶ παύσαντες τὴν φλόγα καὶ τὸ μὴ προσελθεῖν ἐγγὺς ὁλκάδα τοῦ κινδύνου ἀπηλλάγησαν. μετὰ δὲ τοῦτο Συρακόσιοι μὲν τῆς τε ναυ- 54
μαχίας τροπαῖον ἔστησαν καὶ τῆς ἄνω τῆς πρὸς τῷ τείχει ἀπολήψεως τῶν ὁπλιτῶν, ὅθεν καὶ τοὺς ἵππους ἔλαβον, Ἀθηναῖοι δὲ ἧς τε οἱ Τυρσηνοὶ τροπῆς ἐποιήσαντο τῶν πεζῶν ἐς τὴν λίμνην καὶ ἧς αὐτοὶ τῷ ἄλλῳ στρατοπέδῳ.

Γεγενημένης δὲ τῆς νίκης τοῖς Συρακοσίοις λαμπρᾶς ἤδη 55
καὶ τοῦ ναυτικοῦ — πρότερον μὲν γὰρ ἐφοβοῦντο τὰς μετὰ τοῦ Δημοσθένους ναῦς ἐπελθούσας — οἱ μὲν Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν, πολὺ δὲ μείζων ἔτι τῆς στρατιᾶς ὁ μετάμελος. πόλεσι γὰρ 2
ταύταις μόναις ἤδη ὁμοιοτρόποις ἐπελθόντες, δημοκρατουμέναις τε, ὥσπερ καὶ αὐτοί, καὶ ναῦς καὶ ἵππους καὶ μεγέθη ἐχούσαις, οὐ δυνάμενοι ἐπενεγκεῖν οὔτ' ἐκ πολιτείας τι μεταβολῆς τὸ διάφορον αὐτοῖς ᾧ προσήγοντο ἄν, οὔτ' ἐκ πα-

---

§ 4. *κληματτίδες αἱ ἐκ τῶν κλημάτων δεσμοί* Hesych. vgl. Jungerm. zu Poll. 7, 109. (Dr.) — *κωλύματα* ist wohl eingefälscht; machinamenta ad ignem restinguendum Va. *προκαλύμματα* Kr. — *μή* weil *παύσαντες* ein Verhindern bezeichnet. Gr. 68, 12 A. 4.

C. 54. *τῆς ἀπολήψεως* 7, 51, 2. — *καὶ ἧς, καὶ προπαῖον ἐστήσαντο ἧς.* Gr. 47, 7 A. 3.

C. 55. § 1. *λαμπρᾶς* ist Prädicat: *ἡ νίκη ἣν ἐνίκησαν ἐγένετο λαμπρὰ νίκη.* (Py.) Gr. 61, 7. — *μέν.* Gr. 69, 35 A. 2. — *ἐπελθούσας.* Gr. 50, 10 A. 3. — *ἐν παντὶ ἀθυμίας* in voller Entmuthigung. Plat. Rep. 579, b: *ἐν παντὶ κακοῦ εἴη.* vgl. Gr. 47, 10 A. 3. — *στρατιᾶς. στρατείας* Ps. doch s. zu 1, 3, 4. — *μετάμελος* Reue, erst von Spätern nachgebraucht.

§ 2. *ἤδη* gehört zum ganzen Satze: jetzt, wie früher noch nie. vgl. zu 6, 31, 6. Ueber die Sache vgl. 8, 96, 4. (Kr.) — *ὥσπερ καὶ αὐτοί.* zu 5, 29, 2. — *ναῦς καὶ ἵππους καὶ μεγέθη. ναυσὶ καὶ ἵπποις καὶ μεγέθει* viele und gute Hss., wobei mit Dr. *ἰσχνούσαις* für *ἐχούσαις* zu lesen wäre. — *μεγέθη* ist kein seltener Plural. vgl. Ar. Frösche 1057, Plat. Prot. 356, Kriti. 115, Ges. 860, b. 861, e. Doch bemerkt Py. daß sich sonst auch von der Größe mehrerer Dinge nur der Singular finde, wie 1, 2, 1. — *ἐκ* gehört zu *μεταβολῆς.* (Sch.) — *τὸ διάφορον* ist wohl nicht Epexegem zu *τι* (Gö.), sondern zu erklären: *τὸ διάφορον ὃ αὐτοῖς ἐδύναντο ἐπενεγκεῖν οὐδέν ἦν.* vgl. zu 1,

ρασκευῆς πολλῷ κρείσσους [ὄντας], σφαλλόμενοι δὲ τὰ πλείω, τά τε πρὸ αὐτῶν ἠπόρουν καὶ ἐπειδή γε καὶ ταῖς ναυσὶν
56 ἐκρατήθησαν, ὃ οὐκ ἂν ᾠόντο, πολλῷ δὴ μᾶλλον ἔτι. οἱ δὲ Συρακόσιοι τόν τε λιμένα εὐθὺς παρέπλεον ἀδεῶς καὶ τὸ στόμα αὐτοῦ διενοοῦντο κλῄσειν, ὅπως μηκέτι, μηδ' εἰ βούλοιντο, λάθοιεν αὐτοὺς οἱ Ἀθηναῖοι ἐκπλεύσαντες. οὐ γὰρ περὶ τοῦ αὐτοὶ σωθῆναι μόνον ἔτι τὴν ἐπιμέλειαν ἐποιοῦντο, ἀλλὰ καὶ ὅπως ἐκείνους κωλύσωσι, νομίζοντες, ὅπερ ἦν, ἀπό τε τῶν παρόντων πολὺ σφῶν καθυπέρτερα τὰ πράγματα εἶναι, καὶ εἰ δύναιντο κρατῆσαι Ἀθηναίων τε καὶ τῶν ξυμμάχων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καλὸν σφίσιν ἐς
2 τοὺς Ἕλληνας τὸ ἀγώνισμα φανεῖσθαι· τούς τε γὰρ ἄλλους Ἕλληνας εὐθὺς τοὺς μὲν ἐλευθεροῦσθαι τοὺς δὲ φόβου ἀπολύεσθαι — οὐ γὰρ ἔτι δυνατὴν ἔσεσθαι τὴν ὑπόλοιπον Ἀθηναίων δύναμιν τὸν ὕστερον ἐπενεχθησόμενον πόλεμον ἐνεγκεῖν — καὶ αὐτοὶ δόξαντες αὐτῶν αἴτιοι εἶναι ὑπό τε τῶν ἄλλων ἀνθρώπων καὶ ὑπὸ τῶν ἔπειτα πολὺ θαυμα-
3 σθήσεσθαι. καὶ ἦν δὲ ἄξιος ὁ ἀγὼν κατά τε ταῦτα καὶ ὅτι

140, 6 u. 4, 27, 3; über die Sache 6, 17, 2. — *κρείσσους.* λείπει τὸ *ὄντες.* (Sch.) Dies *ὄντες* schieben hier einige Hsn. ein, woher Bk. *ὄντας* aufgenommen hat, mir unklar; *κρείσσονος* las, durch *μείζονος* erklärend, ein Sch. u. Va. Dies scheint mir richtig und *δυνάμενοι ἐπενεγκεῖν* hier wieder zu denken in dem Sinne: ihnen nichts anzuhaben vermögend. Denn *προσάγεσθαι* zu ergänzen und *κρείσσους* für den Ac. zu nehmen duldet weder die Sprache noch die Sache. — *τὰ πρὸ αὐτῶν* vor der letzten Seeschlacht. — *ἔτι* erg. *ἠπόρουν.* (Dr.) zu 1, 19. Sonst war *ἠθύμουν* zugefügt, was in den besten Hsn. fehlt. — *ἂν ᾠοντο.* Gr. 54, 3 A. 10.

C. 56. § 1. *μηδ' εἰ.* Gr. 65, 5 A. 17. — *κωλύσωσι, σωθῆναι.* Gr. 55, 4 A. 11. — *ἀλλὰ καὶ ὅπως.* Gr. 59, 2 A. 4. — *ἀπὸ τῶν παρόντων* nach dem gegenwärtigen Stande der Dinge. Gr. 68, 16 A. 8. Sonst bei Th. immer *ἐκ τῶν π.* vgl. jedoch 2, 77, 1. — *ἐς τούς.* Gr. 68, 21 A. 6.

§ 2. *ἐλευθεροῦσθαι.* Die Präsentia bezeichnen hier sofortiges Eintreten. Wie hier bei *εὐθύς*, so bei *αὐτίκα* Soph. Oed. K. 323: *αὐδᾷ αὐτίκ' ἔξεστιν μαθεῖν*, wo man jedoch wie auch Xen. Symp. 4, 7 *αὐτίκα* zum Infinitiv ziehen kann. — *καὶ ὑπό* für *καί* die besten Hsn. So wird die Präposition wiederholt bei *καί* 7, 62, 1. 8, 75, 1; bei *τε-καί* 1, 97, 2. 105, 3. 7, 65. 8, 97, 3. (Pp.)

§ 3. *καὶ ἦν δέ* und wirklich auch war. zu 1, 132, 4. —

οὐχὶ Ἀθηναίων μόνον περιεγίγνοντο, ἀλλὰ καὶ τῶν ἄλλων πολλῶν ξυμμάχων, καὶ οὐδ' αὐτοὶ αὖ μόνον ἀλλὰ καὶ μετὰ τῶν ξυμβοηθησάντων σφίσιν, ἡγεμόνες τε γενόμενοι μετὰ Κορινθίων καὶ Λακεδαιμονίων, καὶ τὴν σφετέραν πόλιν ἐμπαρασχόντες προκινδυνεῦσαί τε καὶ τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες. ἔθνη γὰρ πλεῖσια δὴ ἐπὶ μίαν πόλιν ταύτην 4
ξυνῆλθε, πλήν γε δὴ τοῦ ξύμπαντος λόγου τοῦ ἐν τῷδε τῷ πολέμῳ πρὸς τὴν Ἀθηναίων τε πόλιν καὶ Λακεδαιμονίων.

Τοσοίδε γὰρ ἑκάτεροι ἐπὶ Σικελίᾳ τε καὶ περὶ Σικελίας, 57
τοῖς μὲν ξυγκτησόμενοι τὴν χώραν ἐλθόντες τοῖς δὲ ξυνδιασώσοντες, ἐπὶ Συρακούσας ἐπολέμησαν, οὐ κατὰ δίκην τι μᾶλλον οὐδὲ κατὰ ξυγγένειαν μετ' ἀλλήλων στάντες, ἀλλ' ὡς ἕκαστος τῆς ξυντυχίας ἢ κατὰ τὸ ξυμφέρον ἢ ἀνάγκῃ ἔσχεν.

περιεγίγνοντο ohne *ἄν* weil der Gedanke als eine, wenn auch fingirte, Thatsache vorschwebt. — *ἄλλων*. Gr. 50, 4 A. 11. — *μόνον, περιεγίγνοντο*, und nicht sie allein wurden dann Sieger. (St.) Aber das verringerte ja den Ruhm der Syrakosier; auch ist *μόνον* für *μόνοι* anstößig. Erklärbar scheint die Stelle nicht; geholfen würde ihr durch Tilgung der Worte *καὶ οὐδ' αὐτοὶ αὖ μόνον ἀλλὰ καί*. Leichter wäre freilich bloß *αὐτοί* in *αὐτό* zu ändern (Kr.), erg. *ἐγίγνετο, ἀλλὰ καὶ — περιεγίγνοντο*; doch hart. — *ἐμπαρασχόντες προκινδυνεῦσαι*. Dion. Arch. 3, 12 p. 441: *τὰς ἑαυτῶν ψυχὰς προκινδυνεῦσαι τῶν κοινῶν παρέσχον*. (Bl.) — *τε* ist mir verdächtig. — *τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες*. (Sch.) in Ansehung des Seewesens um ein Bedeutendes gefördert. vgl. zu 4, 60, 2. — *μέρος* verdächtigt Kr.

§ 4. *γάρ* bezieht sich auf *τῶν ἄλλων πολλῶν ξυμμάχων*, nicht auch auf *τῶν ξυμβοηθησάντων σφίσιν*. — *ταύτην*. *ταῦτα* Kr., wie vielleicht der Sch. las. — *λόγου, ἀριθμοῦ*. (Sch.) *λόγου τοῦ πρός* das Verhältniß welches statt fand zu. (Py.) Kaum erträglich. Vielleicht *ὄχλου τοῦ πρός* die Gesammtmasse die gegen — aufgeboten wurde.

C. 57. § 1. *Σικελίᾳ* Kr. *Σικελίαν* ist die La. — *ξυγκτησόμενοι* schließt sich an *ἐλθόντες* an: *ἦλθον ξυγκτησόμενοι*. zu 1, 18, 3. — *Συρακούσαις* für *Συρακούσας* Ba. — *ἕκαστος* für *ἑκάστοις*, von einer Hs. bestätigt, Kr., der auch *τῆς* in *τις* ändern wollte zum Dion. S. 122. vgl. zur An. 6, 4, 12. Den Artikel gebrauchten bei *ἔχειν* und einem Adverbium mit dem Genitiv die frühern Schriftsteller nicht leicht ohne Deixis. — *ἀνάγκῃ* für *ἀνάγκης* mehrere Hsn., zum Theil ohne *ι*. *ἐξ ἀνάγκης* Sch. — *ἔσχεν* für *ἔσχον* die besten Hsn. Der Sinn: wie ein Jeder rücksichtlich des Zusammentreffens, seiner Theilnahme am Kampfe für die Einen oder die Andern, sei es einem Interesse gemäß oder durch ein Zwangsverhältniß, bestimmt war. Für die La. *ὡς ἑκάστοις τῆς — ἔσχεν* führt Ar. an Her. 7, 188:

2 Ἀθηναῖοι μὲν αὐτοὶ Ἴωνες ἐπὶ Λωριέας Συρακοσίους ἐκόντες ἦλθον, καὶ αὐτοῖς τῇ αὐτῇ φωνῇ καὶ νομίμοις ἔτι χρώμενοι Λήμνιοι καὶ Ἴμβριοι καὶ Αἰγινῆται, οἳ τότε Αἴγιναν εἶχον, καὶ ἔτι Ἑστιαιῆς οἱ ἐν Εὐβοίᾳ Ἑστίαιαν οἰκοῦντες,
3 ἄποικοι ὄντες ξυνεστράτευσαν. τῶν δ' ἄλλων οἱ μὲν ὑπήκοοι, οἱ δ' ἀπὸ ξυμμαχίας αὐτόνομοι, εἰσὶ δὲ καὶ οἳ μισθοφόροι ξυνεστράτευον. καὶ τῶν μὲν ὑπηκόων καὶ φόρου ὑποτελῶν Ἐρετριῆς καὶ Χαλκιδῆς καὶ Στυρῆς καὶ Καρύστιοι ἀπ' Εὐβοίας ἦσαν, ἀπὸ δὲ νήσων Κεῖοι καὶ Ἄνδριοι καὶ Τήνιοι,
4 ἐκ δ' Ἰωνίας Μιλήσιοι καὶ Σάμιοι καὶ Χῖοι. τούτων Χῖοι οὐχ ὑποτελεῖς ὄντες φόρου, ναῦς δὲ παρέχοντες αὐτόνομοι ξυνέσποντο. καὶ τὸ πλεῖστον Ἴωνες ὄντες οὗτοι πάντες καὶ ἀπ' Ἀθηναίων πλὴν Καρυστίων — οὗτοι δ' εἰσὶ Δρύοπες — ὑπήκοοι δ' ὄντες καὶ ἀνάγκῃ ὅμως Ἴωνές τε ἐπὶ Λωριέας ἠκολούθουν. πρὸς δ' αὐτοῖς Αἰολῆς, Μηθυμναῖοι μὲν ναυσὶ καὶ οὐ φόρῳ ὑπήκοοι, Τενέδιοι δὲ καὶ Αἴνιοι ὑποτελεῖς.

τοῖσι οὕτω εἶχε ὅρμου. Wenn nur auch hier das Imperfect stände und τῆς fehlte.

§ 2. ἐχόντες hat Va. nicht übersetzt; ἐπιόντες Kr. Doch kann es im Gegensatz der Gezwungenen gedacht werden. vgl. § 7 u. 9. — αὐτοῖς gehört zu τῇ αὐτῇ. (Hl.) Gr. 48, 13 A. 8. Doch könnte es auch für sie heißen. — ἔτι überdies, zu ἦλθον gehörig. — τότε 2, 27, 1. — ξυνεστράτευσαν zogen mit ins Feld; ξυνεστράτευον § 3 kriegten mit. — οἱ ἐν. οἱ τὴν ἐν? Oder Ἑστίαιαν οἰκοῦντες getilgt. (Kr.)

§ 3. ἀπό verbindet schon Va. mit αὐτόνομοι; zufolge Matth. § 573 E.; ich mit ξυνεστράτευον. — δὲ καὶ οἵ für δ' οἱ καί eine Anzahl auch guter Hsn. So hat Xen. Hell. 4, 8, 19 die beste ἦσαν δὲ καὶ οἵ für ἦσαν δὲ οἵ καί. (Pp.) — Τήνιοι für Τήϊοι Valckenaer z. Her. 7, 95 u. eine gute Hs.

§ 4. φόρου hat eine gute Hs. nach Χῖοι. vgl. zu 1, 19. — τὸ πλεῖστον der Hauptmasse nach, da z.B. den Styrern, wie den Bewohnern der Kykladen, auch Menschen andern Stammes untermischt waren. (Pp.) — Ἀθηναίων. Ἀθηνῶν Bk. u. Dobree zu 6, 76, 3 u. Her. 8, 46: ἔθνος ἐὸν Ἰωνικὸν ἀπὸ Ἀθηνέων, wo Wesselings Aenderung Ἀθηναίων jetzt aufgenommen ist. — ὅμως Ἴωνες γε doch wenigstens als Joner, und in sofern mit Stammfeindschaft, wenn auch aus Zwang. (Ba.) — γε für τε Bd. u. einige gute Hsn. Doch könnte hier wohl die Erwähnung der Naxier, die der Sch. aufführt, und der Chersonesiten ausgefallen sein.

οὗτοι δὲ Αἰολῆς Αἰολεῦσι τοῖς κτίσασι Βοιωτοῖς τοῖς μετὰ 5
Συρακοσίων καὶ' ἀνάγκην ἐμάχοντο, Πλαταιῆς δὲ κατὰντικρὺ
Βοιωτοὶ Βοιωτοῖς μόνοι εἰκότως κατὰ τὸ ἔχθος. Ῥόδιοι
δὲ καὶ Κνθήριοι Δωριῆς ἀμφότεροι, οἱ μὲν Λακεδαιμονίων
ἄποικοι, Κυθήριοι, ἐπὶ Λακεδαιμονίους τοὺς ἅμα Γυλίππῳ
μετ' Ἀθηναίων ὅπλα ἔφερον, Ῥόδιοι δέ, Ἀργεῖοι γένος,
Συρακοσίοις μὲν Δωριεῦσι Γελῴοις δὲ καὶ ἀποίκοις ἑαυτῶν
οὖσι, μετὰ Συρακοσίων στρατευομένοις, ἠναγκάζοντο πολε-
μεῖν. τῶν τε περὶ Πελοπόννησον νησιωτῶν Κεφαλλῆνες μὲν 6
καὶ Ζακύνθιοι αὐτόνομοι μέν, κατὰ δὲ τὸ νησιωτικὸν μᾶλλον
κατειργόμενοι, ὅτι θαλάσσης ἐκράτουν οἱ Ἀθηναῖοι, ξυνείποντο·
Κερκυραῖοι δὲ οὐ μόνον Δωριῆς ἀλλὰ καὶ Κορίνθιοι σαφῶς
ἐπὶ Κορινθίους τε καὶ Συρακοσίους, τῶν μὲν ἄποικοι ὄντες
τῶν δὲ ξυγγενεῖς, ἀνάγκῃ μὲν ἐκ τοῦ εὐπρεποῦς, βουλήσει δὲ
κατὰ ἔχθος τὸ Κορινθίων οὐχ ἧσσον εἵποντο. καὶ οἱ Μεσσήνιοι 7
νῦν καλούμενοι ἐκ Ναυπάκτου καὶ ἐκ Πύλου, τότε ὑπ' Ἀθη-
ναίων ἐχομένης, ἐς τὸν πόλεμον παρελήφθησαν. καὶ ἔτι
Μεγαρέων φυγάδες οὐ πολλοὶ Μεγαρεῦσι, Σελινουντίοις οὖσι,
κατὰ ξυμφορὰν ἐμάχοντο. τῶν δὲ ἄλλων ἑκούσιος μᾶλλον

---

§ 5. *τοῖς μετά* für *μετά* Lindau. — *κατανντικρύ* gegenüber. (St.) auf der Gegenseite, wie bei Homer *ἀντικρὺ μάχεσθαι*. — *Βοιωτοῖς, ἐμάχοντο.* — *εἰκότως* natürlich, nämlich aus Feindschaft. Sonst könnte man *ἐκόντες* vermuthen. — *κατὰ τό* für *κατ'* oder *κατά* Vat. u. einige andere Hss. — *οἱ μὲν — Κυθήριοι.* Gr. 50, 1 A. 11. — *καὶ ἀποίκοις* nicht bloß Doriern sondern auch Colonisten.

§ 6. *κατὰ τὸ νησιωτικόν* vermöge ihrer Lage als Insulaner. (Ba.) — *μᾶλλον* als Bewohner des Festlandes. (Ps.) — *σαφῶς* anerkannter Maßen, gehört zu *Κορίνθιοι* (Ba.) — *ἐκ τοῦ εὐπρεποῦς. ἔλεγον, φησίν, ἐξ ἀνάγκης ἀκολουθεῖν, ἵν' εὐπρεπὴς ἀπολογισμὸς αὐτοῖς ᾖ.* (Sch.) zu 1, 37, 3.

§ 7. *νῦν καλούμενοι* jetzt nur sogenannte, ohne wirklich aus Messenien zu sein. — *ἐκ N.* für *ἐν N.* eine gute Hs. u. Ba. von 1550, der auch das folgende *καί* nicht hat. Dies getilgt und etwa noch *οἱ* nach *καλούμενοι* eingeschoben wäre der Sinn: diejenigen Messenier die jetzt die Messenier aus N. heißen. (Kr.) — *Μεγαρεῦσι* ist Prädicat zu *Σελινουντίοις* (Ps.), vorangestellt um den Gegensatz daß Megarer gegen Megarer gekämpft zu verschärfen. — *ξυμφορὰν ἄρτι τὴν φυγὴν λέγει.* (Sch.)

8 ἡ στρατεία ἐγίγνετο ἤδη. Ἀργεῖοι μὲν γὰρ οὐ τῆς ξυμμαχίας ἕνεκα μᾶλλον ἢ τῆς Λακεδαιμονίων τε ἔχθρας καὶ τῆς παραυτίκα ἕκαστοι ἰδίας ὠφελίας Λωριῆς ἐπὶ Λωριέας μετὰ Ἀθηναίων Ἰώνων ἠκολούθουν, Μαντινῆς δὲ καὶ ἄλλοι Ἀρκάδων μισθοφόροι ἐπὶ τοὺς ἀεὶ πολεμίους σφίσιν ἀποδεικνυμένους εἰωθότες ἰέναι, καὶ τότε τοὺς μετὰ Κορινθίων ἐλθόντας Ἀρκάδας οὐδὲν ἧσσον διὰ κέρδος ἡγούμενοι πολεμίους, Κρῆτες δὲ καὶ Αἰτωλοὶ μισθῷ καὶ οὗτοι πεισθέντες·
9 ξυνέβη δὲ τοῖς Κρησὶ τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας μὴ ξὺν τοῖς ἀποίκοις ἀλλ' ἐπὶ τοὺς ἐποίκους ἔχοντας μετὰ μισθοῦ ἐλθεῖν. καὶ Ἀκαρνάνων τινὲς ἅμα μὲν κέρδει, τὸ δὲ πλέον Δημοσθένους φιλίᾳ καὶ Ἀθηναίων εὐνοίᾳ ξύμμαχοι ὄντες ἐπεκούρησαν, καὶ οἵδε μὲν τῷ Ἰονίῳ κόλπῳ ὁριζό-
10 μενοι· Ἰταλιωτῶν δὲ Θούριοι καὶ Μεταπόντιοι, ἐν τοιαύταις ἀνάγκαις τότε στασιωτικῶν καιρῶν κατειλημμένων ξυνεστράτευον καὶ Σικελιωτῶν Νάξιοι καὶ Καταναῖοι, βαρβάρων δὲ Ἐγεσταῖοι, οἵπερ ἐπηγάγοντο, καὶ Σικελῶν τὸ πλέον καὶ τῶν ἔξω Σικελίας Τυρσηνῶν τέ τινες κατὰ διαφορὰν Συρακοσίων καὶ Ἰάπυγες μισθοφόροι.

58 Τοσάδε μὲν μετὰ Ἀθηναίων ἔθνη ἐστράτευον· Συρακοσίοις δὲ ἀντεβοήθησαν Καμαριναῖοι μὲν ὅμοροι ὄντες καὶ Γελῷοι οἰκοῦντες μετ' αὐτούς, ἔπειτα Ἀκραγαντίνων ἡσυχα-

---

§ 8. γάρ hat nur eine gute Hs. — ὠφελίας haben nur Va., zwei gute Hsn. u. zwei am Rande. — ἀεί jedes Mal gehört zu ἀποδεικνυμένους. (St.) zu 1, 2, 1. — εἰωθότες ἰέναι für ἰέναι εἰωθότες eine gute Hs. — οὐδὲν ἧσσον als die nicht stammverwandten. (St.) — πολεμίους, ἠκολούθουν, was auch nach πεισθέντες zu denken.

§ 9. τοῖς Κρησὶ — ξυγκτίσαντας. Gr. 55, 2 A. 7. vgl. 6, 55, 4. Ueber die Sache 6, 4, 3. — ἐποίκους für ἀποίκους eine gute Hs. — ἔχόντας für ἄχοντας Va., A. Ps. u. eine gute Hs. — κέρδει Gewinnes halber. — τὸ δὲ πλέον. zu 1, 90, 1. vgl. 8, 47, 2. — ὁριζόμενοι schließe ich an ἐπεκούρησαν an. vgl. 7, 58, 1; Bk. an ξυνεστράτευον.

§ 10. ἐν τοιαύταις ἀνάγκαις in solchen, zur Theilnahme an fremden Kriegen nöthigenden, Drangsalen. (St.) — τότε 7, 33, 5 f. (Kr.) — κατειλημμένων. κατειλημμένοι eine Hs. u. Reiske; doch kann jenes abs. Ge. sein; erg. τῶν Θουρίων καὶ Μεταποντίων. (Hl.) Gr. 47, 4 A. 3. — Σικελῶν für Σικελιωτῶν zwei Hsn. u. Va., wie schon Valckenaer z. Phal. p. XXIV.

C. 58. § 1. μετ' αὐτούς, räumlich. — ἡσυχαζόντων wa-

ζόντων ἐν τῷ ἐπ' ἐκεῖνα ἱδρυμένοι Σελινούντιοι, καὶ οἵδε μὲν τῆς Σικελίας τὸ πρὸς Λιβύην μέρος τετραμμένον νεμόμενοι· Ἱμεραῖοι δ' ἀπὸ τοῦ πρὸς τὸν Τυρσηνικὸν πόντον μορίου, ἐν ᾧ καὶ μόνοι Ἕλληνες οἰκοῦσιν, οὗτοι δὲ καὶ ἐξ αὐτοῦ μόνοι, ἐβοήθησαν. καὶ Ἑλληνικὰ μὲν ἔθνη τῶν ἐν 2
Σικελίᾳ τοσάδε, Λωριῆς τε καὶ [οἱ] αὐτόνομοι πάντες, ξυνεμάχουν, βαρβάρων δὲ Σικελοὶ μόνοι, ὅσοι μὴ ἀφέστασαν πρὸς τοὺς Ἀθηναίους· τῶν δ' ἔξω Σικελίας Ἑλλήνων Λα- 3
κεδαιμόνιοι μὲν ἡγεμόνα Σπαρτιάτην παρεχόμενοι, νεοδαμώδεις δὲ τοὺς ἄλλους καὶ Εἵλωτας — δύναται δὲ τὸ νεοδαμῶδες ἐλεύθερον ἤδη εἶναι —, Κορίνθιοι δὲ καὶ ναυσὶ καὶ πεζῷ μόνοι παραγενόμενοι καὶ Λευκάδιοι καὶ Ἀμπρακιῶται κατὰ τὸ ξυγγενές, ἐκ δὲ Ἀρκαδίας μισθοφόροι ὑπὸ 4
Κορινθίων ἀποσταλέντες καὶ Σικυώνιοι ἀναγκαστοὶ στρατεύοντες καὶ τῶν ἔξω Πελοποννήσου Βοιωτοί. πρὸς δὲ τοὺς ἐπελθόντας τούτους οἱ Σικελιῶται αὐτοὶ πλῆθος πλέον κατὰ πάντα παρέσχοντο, ἅτε μεγάλας πόλεις οἰκοῦντες· καὶ γὰρ 5
ὁπλῖται πολλοὶ καὶ νῆες καὶ ἵπποι καὶ ὁ ἄλλος ὅμιλος ἄφθονος ξυνελέγη. καὶ πρὸς ἅπαντας αὖθις, ὡς εἰπεῖν, τοὺς ἄλλους Συρακόσιοι αὐτοὶ πλείω ἐπορίσαντο διὰ μέγεθός τε πόλεως καὶ ὅτι ἐν μεγίστῳ κινδύνῳ ἦσαν. καὶ αἱ μὲν 59
ἑκατέρων ἐπικουρίαι τοσαίδε ξυνελέγησαν, καὶ τότε ἤδη πᾶσαι ἀμφοτέροις παρῆσαν καὶ οὐκέτι οὐδὲν οὐδετέροις ἐπῆλθεν.

Οἵ τε οὖν Συρακόσιοι καὶ οἱ ξύμμαχοι εἰκότως ἐνό-

---

ren partheilos. (Ba.) vgl. 7, 32, 2. 33, 2. (Pp.) — *οἰκοῦσιν· οὗτοι — αὐτοῦ μόνοι ἐβοήθησαν* interpungirt man.

§ 2. *οἱ αὐτόνομοι. αὐτόνομοι οἱ* Reiske; ganz tilgen will das *οἱ* Pp. mit Bk.

§ 3. *τοὺς ἄλλους. οἱ ἄλλοι οὓς παρέσχον Νεοδαμώδεις ἦσαν.* Gr. 50, 11 A. 1. — *δύναται* bedeutet, wie 6, 40, 3. (Hl.) — *μόνοι* die einzigen die zugleich mit Schiffen und mit Landtruppen herbeigekommen. (Hk.)

§ 4. *πρός* im Verhältniß zu. (Ba.) — *κατὰ πάντα* in allen Truppengattungen.

§ 5. *ὁ* vor *ἄλλος* hat nur eine gute Hs. — *πόλεως.* Der Artikel fehlt wohl weil auch bei *μέγεθος.*

C. 59. § 1. *αἱ μὲν — ξυνελέγησαν* für *τοσαίδε ἦσαν αἱ ἑκατέρων ἐπικουρίαι αἳ ξυνελέγησαν.* Gr. 50, 11 A. 1. — *καὶ οἱ*

μισαν καλὸν ἀγώνισμα σφίσιν εἶναι ἐπὶ τῇ γεγενημένῃ νίκῃ τῆς ναυμαχίας ἑλεῖν τε τὸ στρατόπεδον ἅπαν τῶν Ἀθηναίων τοσοῦτον ὄν, καὶ μηδὲ καθ' ἕτερα αὐτούς, μήτε διὰ θαλάσ-
2 σης μήτε τῷ πεζῷ, διαφυγεῖν. ἔκλῃον οὖν τόν τε λιμένα εὐθὺς τὸν μέγαν, ἔχοντα τὸ στόμα ὀκτὼ σταδίων μάλιστα, τριήρεσι πλαγίαις καὶ πλοίοις καὶ ἀκάτοις, ἐπ' ἀγκυρῶν ὁρμίζοντες, καὶ τἆλλα, ἤν ἔτι ναυμαχεῖν οἱ Ἀθηναῖοι τολμήσωσι, παρεσκευάζοντο, καὶ ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν.
60 τοῖς δὲ Ἀθηναίοις τήν τε ἀπόκλῃσιν ὁρῶσι καὶ τὴν ἄλλην διάνοιαν αὐτῶν αἰσθομένοις βουλευτέα ἐδόκει. καὶ ξυνελθόντες οἵ τε στρατηγοὶ καὶ οἱ ταξίαρχοι πρὸς τὴν παροῦσαν ἀπορίαν τῶν τε ἄλλων καὶ ὅτι τὰ ἐπιτήδεια οὔτε αὐτίκα ἔτι εἶχον — προπέμψαντες γὰρ ἐς Κατάνην ὡς ἐκπλευσόμενοι ἀπεῖπον μὴ ἐπάγειν — οὔτε τὸ λοιπὸν ἔμελλον ἕξειν, εἰ μὴ ναυκρατήσουσιν, ἐβουλεύσαντο τὰ μὲν τείχη τὰ ἄνω ἐκλιπεῖν,
2 πρὸς δ' αὐταῖς ταῖς ναυσὶν ἀπολαβόντες διατειχίσματι ὅσον οἷόν τ' ἐλάχιστον τοῖς τε σκεύεσι καὶ τοῖς ἀσθενοῦσιν ἱκανὸν γενέσθαι, τοῦτο μὲν φρουρεῖν, ἀπὸ δὲ τοῦ ἄλλου πεζοῦ τὰς ναῦς ἁπάσας, ὅσαι ἦσαν καὶ δυναταὶ καὶ ἁπλοώτεραι, πάντα τινὰ ἐσβιβάζοντες πληρῶσαι, καὶ διαναυμαχήσαντες, ἢν μὲν

ξύμμαχοι lassen die meisten Hss. aus. — ἀγώνισμα. ἀγῶνα viele und gute Hss. vgl. zu 86, 2. — ἕτερα. ἑκάτερα die meisten Hss., unzulässig. (Kr.) Denn der Sinn würde sein: nicht einmal auf beiden Elementen. vgl. zu 2, 67, 5. — διαφυγεῖν man würde noch ἐᾶν erwarten; doch ist es nicht nöthig: und daß nicht entkomme.

§ 2. σταδίων. Gr. 47, 8 A. 3. — πλαγίαις mit queer gestellten (Hl.), die Seiten, nicht die Vordertheile, den Feinden zugekehrt. (Ba.) — ὀλίγον οὐδέν. zu 2, 8, 1. — ἐς οὐδέν in Bezug auf keinen Punct, wie 7, 87, 6. vgl. 8, 15, 3. (Dr.)

C. 60. § 1. οἱ ταξίαρχοι. νῦν διὰ τὸ ἄπορον καὶ τοὺς στρατηγοὺς οἱ ταξίαρχοι συνήγαγον, καθ' αὑτοὺς πρότερον βουλευόμενοι. (Sch.) — πρός ist wohl an ἐβουλεύσαντο anzufügen. — τῶν τε ἄλλων καὶ ὅτι. Gr. 59, 2 A. 4.

§ 2. διατειχίσματι für διατείχισμά τι eine gute Hs. u. Ba. — ὅσον — γενέσθαι ist Object zu ἀπολαβόντες: so viel Raum als in der geringsten Ausdehnung hinreichend werden mochte. — γενέσθαι hängt von οἷόν τε ab. — φρουρεῖν hängt, wie die folgenden Infinitive, von ἐβουλεύσαντο ab. (Ba.) — ἁπάσας für πάσας eine gute Hs. — δυναταί dienstfähig. — ἁπλοώτεραι weniger seefähig. (Kist.)

νικῶσιν, ἐς Κατάνην κομίζεσθαι, ἢν δὲ μή, ἐμπρήσαντες τὰς ναῦς πεζῇ ξυνταξάμενοι ἀποχωρεῖν ἢ ἂν τάχιστα μέλλωσί τινος χωρίου ἢ βαρβαρικοῦ ἢ Ἑλληνικοῦ φιλίου ἀντιλήψεσθαι. καὶ οἱ μέν, ὡς ἔδοξεν αὐτοῖς ταῦτα, καὶ ἐποίησαν· ἔκ τε 3
γὰρ τῶν ἄνω τειχῶν ὑποκατέβησαν καὶ τὰς ναῦς ἐπλήρωσαν πάσας, ἀναγκάσαντες ἐσβαίνειν ὅστις καὶ ὁπωσοῦν ἐδόκει ἡλικίας μετέχων ἐπιτήδειος εἶναι. καὶ ξυνεπληρώθησαν νῆες αἱ πᾶσαι δέκα μάλιστα καὶ ἑκατόν· τοξόται τε ἐπ' αὐτὰς πολλοὺς καὶ ἀκοντιστὰς τῶν τε Ἀκαρνάνων καὶ τῶν ἄλλων ξένων ἐσεβίβαζον καὶ τἆλλα ὡς οἷόν τ' ἦν ἐξ ἀναγκαίου τε καὶ τοιαύτης διανοίας ἐπορίσαντο. ὁ δὲ Νικίας, ἐπειδὴ τὰ 4
πολλὰ ἑτοῖμα ἦν, ὁρῶν τοὺς στρατιώτας τῷ τε παρὰ τὸ εἰωθὸς πολὺ ταῖς ναυσὶ κρατηθῆναι ἀθυμοῦντας καὶ διὰ τὴν τῶν ἐπιτηδείων σπάνιν ὡς τάχιστα βουλομένους διακινδυνεύειν, ξυγκαλέσας ἅπαντας παρεκελεύσατό τε πρῶτον καὶ ἔλεξε τοιάδε.

"Ἄνδρες στρατιῶται Ἀθηναίων τε καὶ τῶν ἄλλων ξυμ- 61
μάχων, ὁ μὲν ἀγὼν ὁ μέλλων ὁμοίως κοινὸς ἅπασιν ἔσται, περί τε σωτηρίας καὶ πατρίδος ἑκάστοις οὐχ ἧσσον ἢ τοῖς πολεμίοις· ἢν γὰρ κρατήσωμεν νῦν ταῖς ναυσίν, ἔστι τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πόλιν ἐπιδεῖν. ἀθυμεῖν δὲ οὐ χρὴ οὐδὲ πάσχειν ὅπερ οἱ ἀπειρότατοι τῶν ἀνθρώπων, οἳ τοῖς πρώτοις ἀγῶσι σφαλέντες ἔπειτα διὰ παντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν. ἀλλ' ὅσοι τε Ἀθη- 2

---

§ 3. ὡς — καί. zu 2, 93, 3. — ὁπωσοῦν. zu 1, 77, 2. — ἡλικίας, νεότητος. (Sch.) — αἱ πᾶσαι. Gr. 50, 11 A. 13. — ἐξ ἀναγκαίου von einer bedrängten Lage aus. (St.) Pp. vermißt dabei den Artikel; ich nicht. Ba. u. A. verbinden: aus einer bedrängten und einer solchen Gesinnung!! — τοιαύτης, die nahe an Verzweifelung grenzte.

§ 4. καί nach ὁρῶν ist mit einer guten Hs. getilgt. Arn. erklärt es: auch die Soldaten wie die Befehlshaber. — πολύ, λιαν. (Sch.) Gr. 48, 15 A. 13.

C. 61. § 1. ἄλλων. Gr. 50, 4 A. 11. — τῳ. Gr. 51, 16 A. 10. — ἐλπίδα. zu 1, 1, 1. vgl. 6, 87, 4. — φόβου, κακοῦ, δεινοῦ. (Ba.) Vielmehr ist die Erwartung der Furcht so v. a. das was die Furcht, der Fürchtende, erwartet. So πενίας ἐλπίς 2, 42, 3. Dr. vergleicht Luc. Tyrannem. 11: τίς ἐλπὶς τοῦ φόβου. — ὁμοίαν. προσδοκῶσιν ὁμοίως (ὅμοια) ταῖς γεγενημέναις συμφοραῖς τὰ μέλλοντα. (Sch.)

ναίων πάρεστε, πολλῶν ἤδη πολέμων ἔμπειροι ὄντες, καὶ ὅσοι τῶν ξυμμάχων, ξυστρατευόμενοι ἀεί, μνήσθητε τῶν ἐν τοῖς πολέμοις παραλόγων, καὶ τὸ τῆς τύχης κἂν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι καὶ ὡς ἀναμαχούμενοι ἀξίως τοῦδε τοῦ πλήθους, ὅσον αὐτοὶ ὑμῶν αὐτῶν ἐφορᾶτε, παρασκευάζεσθε.

62 ἃ δὲ ἀρωγὰ ἐνείδομεν ἐπὶ τῇ τοῦ λιμένος στενότητι πρὸς τὸν μέλλοντα ὄχλον τῶν νεῶν ἔσεσθαι καὶ πρὸς τὴν ἐκείνων ἐπὶ τῶν καταστρωμάτων παρασκευήν, οἷς πρότερον ἐβλαπτόμεθα, πάντα καὶ ἡμῖν νῦν ἐκ τῶν παρόντων μετὰ τῶν κυ-
2 βερνητῶν ἐσκεμμένα ἡτοίμασται. καὶ γὰρ τοξόται πολλοὶ καὶ ἀκοντισταὶ ἐπιβήσονται καὶ ὄχλος, ᾧ ναυμαχίαν μὲν ποιούμενοι ἐν πελάγει οὐκ ἂν ἐχρώμεθα διὰ τὸ βλάπτειν ἂν τὸ τῆς ἐπιστήμης τῇ βαρύτητι τῶν νεῶν, ἐν δὲ τῇ ἐνθάδε ἠναγ-
3 κασμένῃ ἀπὸ τῶν νεῶν πεζομαχίᾳ πρόσφορα ἔσται. εὕρηται δ' ἡμῖν ὅσα χρὴ ἀντιναυπηγεῖσθαι, καὶ πρὸς τὰς τῶν ἐπωτίδων αὐτοῖς παχύτητας, ᾗπερ δὴ μάλιστα ἐβλαπτόμεθα,

---

§ 2. ξυμμάχων, πάρεστε. — τὸ τῆς τύχης. Gr. 47, 5 A. 10. vgl. 4, 18, 2. — στῆναι. zu 3, 11, 3 u. 4, 56, 4. — καὶ vor ὡς verdächtigt Pp.; es verbindet ἐλπίσαντες und ὡς ἀναμαχούμενοι so v. a. καὶ προσδοκῶντες ἀναμαχεῖσθαι. vgl. Gr. 56, 14 A. 1. — ἀναμαχούμενοι durch einen neuen Kampf die erlittene Niederlage wieder gut machen. Heindorf zu Plat. Hipp. M. 15 u. Wesseling zu Her. 5, 121. — ὑμῶν αὐτῶν. Gr. 47, 9 A. 5. vgl. 2, 45, 1. 67, 4.

C. 62. § 1. ἀρωγά, mehr dichterisch. (Ba.) — ἐνείδομεν zu 7, 36, 2. — ἐπὶ τῇ gegen die. Gr. 68, 41 A. 7. — ἔσεσθαι hängt von μέλλοντα ab. (Ba.) — οἷς bezieht sich auf ὄχλον und παρασκευήν. (Pp.) Gr. 58, 2 (3) A. 5. — καὶ ἡμῖν, wie von den Syrakosiern. — ἐκ τῶν παρόντων. zu 3, 29, 2.

§ 2. διὰ τὸ βλάπτειν ἄν weil es behindern, stören würde; das folgende τό ist Objectsac. (Ps.) — ἐν δὲ — ἔσται, ἐν δὲ τῇ νῦν κατὰ ἀνάγκην ἀπὸ νεῶν γενησομένῃ πεζομαχίᾳ ἐπιτήδεια ἔσται. (Sch.) vgl. 1, 49, 1. Doch ist ἐνθάδε örtlich; über πρόσφορος zu 1, 125, 1. Zum Neutrum Pl. denke ich ταῦτα mit A. Ps., für πρόσφορον erg. χρῆσθαι nimmt es Matth. § 437 A. 4.

§ 3. ἡμῖν. Ba. scheint noch ἄλλα τε gelesen zu haben. (Pp.) — χρή. μή die meisten u. besten Hsn. — ἀντιναυπηγεῖσθαι. ἀντιναυπηγῆσαι einige Hsn., [vielleicht auch die Martinsche] u. d. Sch. Allein Thuk. hat das Activ nirgends, das Medium zweimal. (Pp.) 1, 31, 1. 6, 90, 3. Doch findet sich das Activ, wiewohl selten, neben dem Med. Plat. Alk. α p. 107. — αὐτοῖς. ἀντὶ τοῦ τῶν Συρακουσίων. (Sch.) Gr. 47, 12 A. 1. — δή bot nur eine gute Hs. — καὶ-

χειρῶν σιδηρῶν ἐπιβολαί, αἳ σχήσουσι τὴν πάλιν ἀνάκρουσιν τῆς προσπεσούσης νεώς, ἣν τὰ ἐπὶ τούτοις οἱ ἐπιβάται ὑπουργῶσιν. ἐς τοῦτο γὰρ δὴ ἠναγκάσμεθα ὥστε πεζομα- 4
χεῖν ἀπὸ τῶν νεῶν, καὶ τὸ μήτ' αὐτοὺς ἀναχρούεσθαι μήτ' ἐκείνους ἐᾶν ὠφέλιμον φαίνεται, ἄλλως τε καὶ τῆς γῆς, πλὴν ὅσον ἂν ὁ πεζὸς ἡμῶν ἐπέχῃ, πολεμίας οὔσης. ὧν 63
χρὴ μεμνημένους διαμάχεσθαι ὅσον ἂν δύνησθε καὶ μὴ ἐξωθεῖσθαι ἐς αὐτήν, ἀλλὰ ξυμπεσούσης νηὶ νεὼς μὴ πρότερον ἀξιοῦν ἀπολύεσθαι ἢ τοὺς ἀπὸ τοῦ πολεμίου καταστρώματος ὁπλίτας ἀπαράξητε. καὶ ταῦτα τοῖς ὁπλίταις οὐχ ἧσσον τῶν ναυτῶν παρακελεύομαι, ὅσῳ τῶν ἄνωθεν μᾶλλον τὸ ἔργον τοῦτο· ὑπάρχει δ' ἡμῖν ἔτι νῦν γε τὰ πλείω τῷ πεζῷ ἐπικρατεῖν. τοῖς δὲ ναύταις παραινῶ καὶ ἐν τῷ αὐτῷ 2
τῷδε καὶ δέομαι μὴ ἐκπεπλῆχθαί τι ταῖς ξυμφοραῖς ἄγαν, τήν τε παρασκευὴν ἀπὸ τῶν κατεστρωμάτων βελτίω νῦν ἔχοντας καὶ τὰς ναῦς πλείους, ἐκείνην τε τὴν ἡδονὴν ἐνθυμεῖσθαι ὡς ἀξία ἐστὶ διασώσασθαι οἳ τέως Ἀθηναῖοι νομιζόμενοι

ρῶν σιδηρῶν. vgl. 4, 25, 2. — ἐπιβολαί, ἤγουν ἀντιλαβαὶ εὕρηνται ἡμῖν. (Sch.) — τὴν πάλιν. zu 7, 44, 8. — τῆς νεώς jedes beliebigen Schiffes, wie 7, 65. vgl. Gr. 50, 2 A. 4. — τὰ ἐπὶ τούτοις was demnächst erforderlich ist (Ps.), auf die feindlichen Schiffe überzusetzen und zu kämpfen. (Ba.) quae his consentanea sunt St. vgl. zu 6, 45, 1. — ὑπουργεῖν mit dem Ac. wie Soph. Phil. 15 τὰ λοιπὰ ὑπηρετεῖν.

§ 4. ἐς τοῦτο ἠναγκάσμεθα. Gewöhnlicher wäre ἐς τοῦτο ἀνάγκης ἀφίγμεθα. — ἔᾶν, ἀναχρούεσθαι. Gr. 55, 4 A. 11.

S. 63. § 1. διαμάχεσθαι ausdauernd bis zur Entscheidung kämpfen. vgl. 5, 41, 2. — ἀξιοῦν für ἄξιον eine gute Hs. u. a. wie Ba. — ἤ für ἢν μή mehrere z. Th. sehr gute Hsn. vgl. zu 1, 69, 4 u. 7, 63, 1. — ἀπαράξητε, ἀντὶ τοῦ εἰς τὴν θάλατταν καταβάλητε. (Sch.) Her. 8, 90: τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νεὸς βάλλοντες ἀπήραξαν. (Bl.) — τῶν ναυτῶν. zu 1, 85, 2. — ὅσῳ. zu 1, 68, 2. — τῶν ἄνωθεν der von oben her kämpfenden Epibaten. (St.) — μᾶλλον gehört nicht zu ὅσῳ sondern bezeichnet: vielmehr als der Matrosen. — τὰ πλείω ἐπικρατεῖν. zu 4, 19, 2.

§ 2. ἐν τῷ αὐτῷ τῷδε, ἐν τῷ παραινεῖν. (Sch.) — ἀπό. ἐπί 7, 62, 1. (Py.) Aber ἀπό bezeichnet mit die vom Verdeck ausgehende Wirksamkeit. Gr. 50, 8 A. 17. — πλείους, ἤτοι τῶν πολεμίων νεῶν ἢ νῦν πλείους ἢπερ πρότερον. (Sch.) Letzteres, wegen νῦν. — ἐκείνην — διασώσασθαι. ἐνθυμεῖσθαί τε ἄξιόν ἐστιν ὅτι δεῖ διαφυλάξασθαι τὴν ἡδονήν. ἡδονὴν δὲ λέγει ἣν ἐπιφέρει, ἐπὶ τῷ θαυμάζεσθαί τε κατὰ τὴν Ἑλλάδα καὶ κατὰ τὸ ὠφελεῖσθαι, ἔν τε τῷ μὴ ἀδικεῖσθαι αὐτοὶ καὶ ἐν τῷ φοβεροὶ τοῖς ὑπηκόοις φαίνεσθαι. (Sch.) Ueber die Anticipation Gr. 61, 6 A. 2; über ἀξία für ἄξιον 55, 3 A. 7. — οἵ. τούτους οἵ. Gr.

καὶ μὴ ὄντες ὑμῶν τῆς τε φωνῆς τῇ ἐπιστήμῃ καὶ τῶν τρόπων τῇ μιμήσει ἐθαυμάζεσθε κατὰ τὴν Ἑλλάδα, καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας οὐκ ἔλασσον κατὰ τὸ ὠφελεῖσθαι, ἔς τε τὸ φοβερὸν τοῖς ὑπηκόοις καὶ τὸ μὴ ἀδικεῖσθαι πολὺ πλεῖον
3 μετείχετε. ὥσιε κοινωνοὶ μόνοι ἐλευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες δικαίως αὐτὴν νῦν μὴ καταπροδίδοτε, καταφρονήσαντες δὲ Κορινθίων τε, οὓς πολλάκις νενικήκατε, καὶ Σικελιωτῶν, ὧν οὐδ' ἀντιστῆναι οὐδείς, ἕως ἤκμαζε τὸ ναυτικὸν ἡμῖν, ἠξίωσεν, ἀμύνασθε αὐτοὺς καὶ δείξατε ὅτι καὶ μετ' ἀσθενείας καὶ ξυμφορῶν ἡ ὑμετέρα ἐπιστήμη κρείσσων ἐστὶν ἑτέ-
64 ρας εὐτυχούσης ῥώμης. τούς τε Ἀθηναίους ὑμῶν πάλιν αὖ καὶ τάδε ὑπομιμνήσκω, ὅτι οὔτε ναῦς ἐν τοῖς νεωσοίκοις ἄλλας ὁμοίας ταῖσδε οὔτε ὁπλιτῶν ἡλικίαν ὑπελίπετε, εἴ τε ξυμβήσεταί τι ἄλλο ἢ τὸ κρατεῖν ὑμῖν, τούς τ' ἐνθάδε πολεμίους εὐθὺς ἐπ' ἐκεῖνα πλευσουμένους καὶ τοὺς ἐκεῖ ὑπολοίπους ἡμῶν ἀδυνάτους ἐσομένους τούς τ' αὐτοῦ καὶ τοὺς
2 ἐπελθόντας ἀμύνασθαι. καὶ οἱ μὲν ἂν ὑπὸ Συρακοσίοις εὐθὺς γίγνοισθε, οἷς αὐτοὶ ἴστε οἵᾳ γνώμῃ ἐπήλθετε, οἱ δ' ἐκεῖ ὑπὸ Λακεδαιμονίοις. ὥστε ἐν ἑνὶ τῷδε ὑπὲρ ἀμφο-

---

51, 13 A. 2. — *Ἀθηναῖοι νομιζόμενοι. τοὺς μετοίκους λέγει.* (Sch.) — *ὑμῶν* hängt von *οἵ* ab. (Va.) Gr. 47, 28 A. 2. — *ὠφελεῖσθαι, ἤγουν κερδαίνειν.* (Sch.) mit Bezug auf den Handel der Metoiken. — *ἔς τε. ἐς δέ* Reiske. — *τὸ φοβερὸν τοῖς* den Respect bei den. (Va.) — *μή* fehlt in den meisten Hsn.; Va. hat es. Doch ist es entbehrlich: in Bezug auf das Beleidigtwerden, in wiefern es statt fand oder nicht. Aehnlich *δύναμις* vom Mangel der Macht Xen. An. 1, 6, 7 u. dort Kr. — *πλεῖον. πλέον* eine gute und zwei andre Hsn.

§ 3. *δικαίως αὐτὴν νῦν μὴ καταπροδίδοτε* gerechter Weise müsset ihr sie nicht verrathen. Ueber den Imperativ nach *ὥστε* zu 6, 91, 3. Doch ist die La. unsicher; *ἄν* nach *δικαίως* nur mit einigen Hsn. weggelassen; *μή* fehlt in zweien; einige haben *καταπροδοίητε* für die ehemalige La. *καταπροδίδοιτε*, die mit *μή* unvereinbar ist. — *ἡμῖν* ziehe ich zu *ἀντιστῆναι.* — *ἠξίωσεν* sich unterfing. (Va.) — *ἑτέρας* für *ἑτέρων.* (Va.) vgl. 5, 26, 5 u. Kr. z. Dion. p. 45 f.

C. 64. § 1. *ἡλικίαν.* zu 3, 67, 2. — *ξυμβήσεταί τι ἄλλο. εὐφημότατα ᾐνίξατο τὴν ἧτταν.* (Sch.) vgl. Lobeck zu Soph. Aj. 516. — *τούς τ' —. ἀπὸ κοινοῦ τὸ ὑπομιμνήσκω.* (Sch.) Also ein Wechsel der Construction. Gr. 56, 7 A. 1 u. 12. — *ἐπ' ἐκεῖνα*, nach unserm Lande. (A. Bs.)

§. 2. *ὑπὸ Σ. ἐπὶ Σ.?* Denn hier ist nur von Gefangenschaft die

τέρων ἀγῶνι καθεστῶτες καρτερήσατε, εἴπερ ποτέ, καὶ ἐνθυμεῖσθε καθ' ἕκάστους τε καὶ ξύμπαντες ὅτι οἱ ἐν ταῖς ναυσὶν ὑμῶν νῦν ἐσόμενοι καὶ πεζοὶ τοῖς Ἀθηναίοις εἰσὶ καὶ νῆες καὶ ἡ ὑπόλοιπος πόλις καὶ τὸ μέγα ὄνομα τῶν Ἀθηνῶν, περὶ ὧν, εἴ τίς τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ ἀποδειξάμενος αὐτός τε αὑτῷ ὠφέλιμος γένοιτο καὶ τοῖς ξύμπασι σωτήριος."

Ὁ μὲν Νικίας τοσαῦτα παρακελευσάμενος εὐθὺς ἐκέλευε 65
πληροῦν τὰς ναῦς. τῷ δὲ Γυλίππῳ καὶ τοῖς Συρακοσίοις παρῆν μὲν αἰσθάνεσθαι, ὁρῶσι καὶ αὐτὴν τὴν παρασκευήν, ὅτι ναυμαχήσουσιν οἱ Ἀθηναῖοι, προηγγέλθη δ' αὐτοῖς καὶ ἡ ἐπιβολὴ τῶν σιδηρῶν χειρῶν, καὶ πρός τε τἆλλα ἐξηρτύσαντο ὡς ἕκαστα καὶ πρὸς τοῦτο· τὰς γὰρ πρῴρας καὶ τῆς νεὼς ἄνω ἐπὶ πολὺ κατεβύρσωσαν, ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιβαλλομένη. καὶ ἐπειδὴ ἑτοῖμα πάντα ἦν, παρεκελεύσαντο ἐκείνοις οἵ τε στρατηγοὶ καὶ Γύλιππος καὶ ἔλεξαν τοιάδε.

"Ὅτι μὲν καλὰ τὰ προειργασμένα καὶ ὑπὲρ καλῶν τῶν 66
μελλόντων ὁ ἀγὼν ἔσται, ὦ Συρακόσιοι καὶ ξύμμαχοι, οἵ τε πολλοὶ δοκεῖτε ἡμῖν εἰδέναι — οὐδὲ γὰρ ἂν οὕτως αὐτῶν προθύμως ἀντελάβεσθε —, καὶ εἴ τις μὴ ἐπὶ ὅσον δεῖ ἤσθηται, σημανοῦμεν. Ἀθηναίους γὰρ ἐς τὴν χώραν τήνδε 2
ἐλθόντας πρῶτον μὲν ἐπὶ τῆς Σικελίας καταδουλώσει,

Rede. Gr. 68, 41 A. 9 u. Kr. zu Xen. An. 1, 1, 4. — εἴπερ ποτέ. Gr. 65, 5 A. 11. — καθ' ἕκάστους. Gr. 60, 8 A. 4. — ἡ vor ὑπόλοιπος fehlt in den besten Hsn. — περὶ ὧν im Kampfe dafür, zu ἀποδειξάμενος gehörig. (Ba.) — προφέρει. zu 1, 93, 2 u. 2, 89, 2.

C. 65. ἐπιβολή als beabsichtigt. (Hk.) ἐπιβουλή mehrere Hsn. — πρὸς τοῦτο, πρὸς τὴν ἀντιλαβὴν τῶν σιδηρῶν χειρῶν. (Sch.) — τῆς νεώς. zu 7, 62, 3. — ἄνω. τὰ ἄνω eine Hs. u. Ba. Doch kann der Ge. von ἐπὶ πολύ abhängen. (Pp.) — οἵ τε στραιηγοί, die der Syrakosier. vgl. 69, 1.

C. 66. § 1. τὰ προειργασμένα. ἡ προγεγενημένη νίκη. (Sch.) — ὑπὲρ καλῶν τῶν μελλόντων. καλά ἐστι τὰ μέλλοντα ὑπὲρ ὧν. Gr. 50, 11 A. 1. — οἵ. Gr. 50, 8 A. 3. — οὐδὲ γὰρ ἄν. Gr. 54, 12 A. 9. — αὐτῶν an diese Dinge, die Vorbereitnngen zum Kampfe. — ἐπὶ ὅσον, ἐπὶ τοσοῦτον ἐφ' ὅσον. Gr. 51, 13 A. 7.

§ 2. Ἀθηναίους hängt von ὑποστάντες ab, gehört jedoch auch

ἔπειτ', εἰ κατορθώσειαν, καὶ τῆς Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος, καὶ ἀρχὴν τὴν ἤδη μεγίστην τῶν τε πρὶν Ἑλλήνων καὶ τῶν νῦν κεκτημένους πρῶτοι ἀνθρώπων ὑποστάντες τῷ ναυτικῷ, ᾧπερ πάντα κατέσχον, τὰς μὲν νενικήκατε ἤδη ναυ-
3 μαχίας, τὴν δ' ἐκ τοῦ εἰκότος νῦν νικήσετε. ἄνδρες γὰρ ἐπειδὰν ᾧ ἀξιοῦσι προὔχειν κολουθῶσι, τό γ' ὑπόλοιπον αὐτῶν τῆς δόξης ἀσθενέστερον αὐτὸ ἑαυτοῦ ἐστιν ἢ εἰ μηδ' ᾠήθησαν τὸ πρῶτον, καὶ τῷ παρ' ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι καὶ παρὰ ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν· ὃ
67 νῦν Ἀθηναίους εἰκὸς πεπονθέναι. ἡμῶν δὲ τό τε ὑπάρχον πρότερον, ᾧπερ καὶ ἀνεπιστήμονες ἔτι ὄντες ἀπετολμήσαμεν, βεβαιότερον νῦν, καὶ τῆς δοκήσεως προσγεγενημένης αὐτῷ [τὸ] κρατίστους εἶναι, εἰ τοὺς κρατίστους ἐνικήσαμεν, διπλασία ἑκάστου ἡ ἐλπίς· τὰ δὲ πολλὰ πρὸς τὰς ἐπιχειρήσαις ἡ μεγίστη ἐλπὶς μεγίστην καὶ τὴν προθυμίαν παρέχεται.
2 τά τε τῆς ἀντιμιμήσεως αὐτῶν τῆς παρασκευῆς ἡμῶν τῷ μὲν ἡμετέρῳ τρόπῳ ξυνήθη τέ ἐστι καὶ οὐκ ἀνάρμοστοι πρὸς

---

zu *νενικήκατε*. (Ba.) Gr. 46, 11 A. 1. — *ἔπειτ'*. *ἔπειτα δέ* eine gute Hs. — *τῆς Πελοποννήσου* hängt noch von *καταδουλώσει* ab. (Ba.) Gr. 50, 1 A. 22 u. 68, 9. *τε* fügt hier eine gute Hs. hinzu. — *καί* vor *ἀρχήν* verbindet *ἐλθόντας* und *κεκτημένους*. (Ps.) — *ἤδη* bietet nur eine gute Hs. — *μεγίστην τῶν πρίν*. zu 1, 1, 2.

§ 3. *ᾧ*. *τούτῳ ᾧ* um das worin. Der Dativ bei *κολούειν* wie bei *βλάπτειν* 4, 73, 4. Gr. 48, 15 A. 9. — *κολουθῶσι* für *κολουσθῶσι* mit einigen Hsn. Bk. vgl. Gr. 40 unter *κολούω*. Erklärt wird es vom Sch. *ἐλαττωθῶσιν*. — *τῆς δόξης, τοῦ φρονήματος*. (Sch.) — *αὐτὸ ἑαυτοῦ*. Gr. 51, 2 A. 12 u. über den Ge. 49, 3. — *ἢ εἰ, ἢ ἂν ἦν εἰ*. Gr. 54, 12 A. 11. — *ᾠήθησαν, προὔχειν*. (Bl.) — *τῷ παρ' ἐλπίδα* durch das Unverhoffte des Begegnisses. zu 2, 89, 3. — *τοῦ αὐχήματος* ist nach St. u. Ps. mit *σφαλλόμενοι* zu verbinden: in ihrer kecken Zuversicht sich täuschend, spe ob quam animos attollunt excidentes. (Kr. 40.) — *παρὰ ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν* sie zeigen sich wider den Gehalt ihrer Macht schwach, schwächer als sie es danach sollten. (Hl. u. Kr. 40.)

C. 67. § 1. *ἡμῶν*. *ὑμῶν* die meisten u. besten Hsn. — *τὸ ὑπάρχον πρότερον* unser früherer Muth. (Ps.) Allein ihn kann der Ausdruck nicht füglich bezeichnen. Also wohl: unsere frühere Macht. — *νῦν, ἔστιν*. (Ba.) Doch will Pp. mit einigen Hsn. das nächste *καί* und *ἡ* vor *ἐλπίς* tilgen. — *τό* tilgt Reiske; *τοῦ* Kr. Was als ähnlich angeführt wird ist verschieden oder unsicher. — *τοὺς κρατίστους* die Tüchtigsten im Seewesen.

ἕκαστον αὐτῶν ἐσόμεθα· οἱ δ', ἐπειδὰν πολλοὶ μὲν ὁπλῖται ἐπὶ τῶν καταστρωμάτων παρὰ τὸ καθεστηκὸς ὦσιν, πολλοὶ δὲ καὶ ἀκοντισταί, χερσαῖοι, ὡς εἰπεῖν, Ἀχαρνᾶνές τε καὶ ἄλλοι ἐπὶ ναῦς ἀναβάντες, οἳ οὐδ' ὅπως καθεζομένους χρὴ τὸ βέλος ἀφεῖναι εὑρήσουσιν, πῶς οὐ σφαλοῦσί τε τὰς ναῦς καὶ ἐν σφίσιν αὐτοῖς πάντες, οὐκ ἐν τῷ αὐτῶν τρόπῳ κινούμενοι, ταράξονται; ἐπεὶ καὶ τῷ πλήθει τῶν νεῶν οὐκ 3
ὠφελήσονται, εἴ τις καὶ τόδε ὑμῶν, ὅτι οὐκ ἴσαις ναυμαχήσει, πεφόβηται· ἐν ὀλίγῳ γὰρ πολλαὶ ἀργότεραι μὲν ἐς τὸ δρᾶν τι ὧν βούλονται ἔσονται, ῥᾷστα δὲ ἐς τὸ βλάπτεσθαι ἀφ' ὧν ἡμῖν παρεσκεύασται. τὸ δ' ἀληθέστατον γνῶτε ἐξ ὧν ἡμεῖς οἰόμεθα σαφῶς πεπύσθαι· ὑπερβαλλόντων γὰρ 4
αὐτοῖς τῶν κακῶν καὶ βιαζόμενοι ὑπὸ τῆς παρούσης ἀπορίας ἐς ἀπόνοιαν καθεστήκασιν, οὐ παρασκευῆς πίστει μᾶλλον ἢ τύχης ἀποκινδυνεύσει οὕτως ὅπως δύνανται, ἵν' ἢ βιασάμενοι ἐκπλεύσωσιν ἢ κατὰ γῆν μετὰ τοῦτο τὴν ἀποχώρησιν ποιῶνται, ὡς τῶν γε παρόντων οὐκ ἂν πράξαντες χεῖρον. πρὸς 68
οὖν ἀταξίαν τε τοιαύτην καὶ τύχην ἀνδρῶν ἑαυτὴν παραδεδωκυῖαν πολεμιωτάτων ὀργῇ προσμίξωμεν, καὶ νομίσωμεν ἅμα μὲν νομιμώτατον εἶναι πρὸς τοὺς ἐναντίους οἳ ἂν ὡς

---

§ 2. ἕκαστον für τὴν ἑκάστην Vat.; τήν fehlt noch in zwei Hss. — χερσαῖοι ὡς εἰπεῖν so zu reden bloße Landgeschöpfe. (Hl.) τοὺς ἀπείρους θαλάσσης λέγει. (Sch.) — ὅπως ist wohl nicht mit καθεζομένους sondern mit χρὴ τὸ βέλος ἀφεῖναι zu verbinden. (Ba.) vgl. Curt. 7, 9, 7. 9. — καθεζομένους in einer sitzenden, ruhigen, Stellung, bei der es ihnen an freiem Spielraum gebricht, den sie auf dem Lande zu haben gewohnt sind. (Ba.) — σφαλοῦσι werden sie in Gefahr bringen. (St.) — ταράξονται. Gr. 40 unter ταράσσω.

§ 3. ἐπεί denn bezieht sich auf σφαλοῦσι. vgl. zu 1, 12, 1. — ἐς τό, das zweite, würde nach der gewöhnlichen Sprechweise fehlen müssen. Gr. 55, 3 A. 7. 8. — ἀφ' ὧν für ἀπὸ τούτων ἅ, nicht gewöhnlich, da ἅ der Nominativ wäre. Gr. 51, 10 A. 3.

§ 4. ὑπερβαλλόντων. zu 2, 35, 3. — καὶ βιαζόμενοι. Gr. 56, 14 A. 2. — τύχης ἀποκινδυνεύσει. διακινδυνεῦσαι σπεύδοντες ἐπὶ τῇ τύχῃ τὸ μέλλον ποιοῦνται Sch., der ἀποκινδυνεῦσαι vor sich haben mochte, was Dr. wohl mit Recht billigt. Der Inf. hinge von ἐς ἀπόνοιαν καθεστήκασιν ab. Gr. 55, 3 A. 16. — τῶν παρόντων, ἢ τὰ παρόντα ἐστίν. (St.) Gr. 47, 27 A. 2.

C. 68. § 1. ὀργῇ. Zorn empfiehlt in einem solchen Falle auch Scipio bei Liv. 21, 41. (Ba.) — πρὸς τοὺς ἐναντίους gehört zu ἀποπλῆσαι. (Hl.) — οἳ ἄν bezieht sich auf νομιμώτατον: es sei

ἐπὶ τιμωρίᾳ τοῦ προσπεσόντος δικαιώσωσιν ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον, ἅμα δ' ἐχθροὺς ἀμύνασθαι ἐκγενη-
2 σόμενον ἡμῖν, τὸ λεγόμενόν που ἥδιστον εἶναι. ὡς δ' ἐχθροὶ καὶ ἔχθιστοι, πάντες ἴστε, οἵ γ' ἐπὶ τὴν ἡμετέραν ἦλθον δουλωσόμενοι, ἐν ᾧ, εἰ κατώρθωσαν, ἀνδράσι μὲν ἂν τἄλ-γιστα προσέθεσαν, παισὶ δὲ καὶ γυναιξὶ τὰ ἀπρεπέστατα, πόλει δὲ τῇ πάσῃ τὴν αἰσχίστην ἐπίκλησιν. ἀνθ' ὧν μὴ μα-λακισθῆναί τινα πρέπει, μηδὲ τὸ ἀκινδύνως ἀπελθεῖν αὐτοὺς
3 κέρδος νομίσαι. τοῦτο μὲν γὰρ καὶ ἐὰν κρατήσωσιν ὁμοίως δράσουσιν· τὸ δὲ πραξάντων ἐκ τοῦ εἰκότος ἃ βουλόμεθα τούσδε τε κολασθῆναι καὶ τῇ πάσῃ Σικελίᾳ καρπουμένῃ καὶ πρὶν ἐλευθερίαν βεβαιοτέραν παραδοῦναι, καλὸς ὁ ἀγών. καὶ κινδύνων οὗτοι σπανιώτατοι οἷ ἂν ἐλάχιστα ἐκ τοῦ σφα-λῆναι βλάπτοντες πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελῶσιν."

69 Καὶ οἱ μὲν τῶν Συρακοσίων στρατηγοὶ καὶ Γύλιππος τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις στρατιώταις παρακελευσά-μενοι ἀντεπλήρουν τὰς ναῦς εὐθὺς ἐπειδὴ καὶ τοὺς Ἀθη-
2 ναίους ᾐσθάνοντο. ὁ δὲ Νικίας ὑπὸ τῶν παρόντων ἐκπε-πληγμένος καὶ ὁρῶν οἷος ὁ κίνδυνος καὶ ὡς ἐγγὺς ἤδη ἦν,

---

vollkommen rechtmäßig wer (wenn man) gegen die Feinde. vgl. 2, 44, 1. Gr. 51, 13 A. 11. — *ἐπὶ τιμωρίᾳ* zur Bestrafung. — *τοῦ προσπεσόντος* des Angreifers. (Hl.) — *ἀποπλῆσαι*. ähnlich *ἐκπιμπλάναι* 3, 82, 8. (Vp.) vgl. Kr zu Xen. An. 1, 7, 8. — *τὸ θυμούμενον*. zu 1, 36, 1. — *ἐγγενησόμενον* hängt von *νομίσωμεν* ab. (Matthiä.) vgl. Xen. An. 6, 4, 24. (Vp.) Dem. 14, 9: *ἐγὼ νομίζω τὸν μὲν πόλεμον χαλεπὸν τῇ πόλει, τὸν δ' ἀγῶνα ῥᾴδιον ἂν συμβάντα.* — *καὶ* vor *τό* ist mit Reiske, Kr., Va. u. einer Hs. getilgt.

§ 2. *ἔχθιστοι, εἰσίν.* (Va.) Gr. 62, 1 A. 4. — *οἵ γε, οἱ Ἀθηναῖοι.* (Va.) — *τὰ ἄλγιστα*, den Tod. — *τὰ ἀπρεπέστατα, τοὺς ἀνδραποδισμούς.* (Sch.) — *τὴν αἰσχίστην ἐπίκλησιν, τὴν δουλείαν.* (Sch.)

§ 3. *τὸ κολασθῆναι*, angefangen als sollte folgen *καλὸς ἀγών* ohne *ὅ*, dessen Hinzufügung die Entfernung veranlaßte. — *πραξάντων. ἡμῶν* fügt eine Hs. hinzu, aus einer falschen Erklärung, die allgemein ist. Es ist *αὐτῶν* zu ergänzen (Gr. 47, 4 A. 3) und der Sinn: wenn sie, wie es sich erwarten läßt, ein Schicksal haben wie wir es wünschen; über *πράττειν τι* Gr. 46, 5 A. 11. — *ἐλευθερίαν* hängt von *καρπουμένῃ* ab und ist zu *βεβαιοτέραν* wieder zu ergänzen. (A. Ps.) — *ὠφελῶσι* für *ὠφελοῦσι* eine gute Hs.

C. 69. § 1. *ᾐσθάνοντο, πληρούντας τὰς ναῦς.* (Sch.) Gr. 56, 16 A. 1.

ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνάγεσθαι, καὶ νομίσας, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσιν, πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων καὶ αὐτοὺς ὀνομαστὶ καὶ φυλήν, ἀξιῶν τό τε 3
καθ' ἑαυτόν, ᾧ ὑπῆρχε λαμπρόιητός τι, μὴ προδιδόναι τινὰ καὶ τὰς πατρικὰς ἀρετὰς ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι μὴ ἀφανίζειν, πατρίδος τε τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας, ἄλλα τε λέγων ὅσα ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι, οὐ πρὸς τὸ δοκεῖν τινὶ ἀρχαιολογεῖν φυλαξάμενοι, εἴποιεν ἄν, καὶ ὑπὲρ ἁπάντων παραπλήσια ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ τῇ παρούσῃ ἐκπλήξει ὠφέλιμα νομίζοντες ἐπιβοῶνται. καὶ ὁ μὲν οὐχ 4
ἱκανὰ μᾶλλον ἢ ἀναγκαῖα νομίσας παρῃνῆσθαι, ἀποχωρήσας ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν καὶ παρέταξεν ὡς ἐπὶ πλεῖστον ἐδύνατο, ὅπως ὅτι μεγίστη τοῖς ἐν ταῖς ναυσὶν ὠφελία ἐς το θαρσεῖν γίγνοιτο· ὁ δὲ Δημοσθένης καὶ Μέ-

---

§ 2. *πάσχουσιν*, οἱ ἄνθρωποι δηλονότι. (Sch.) Gr. 61, 4 A. 7. — *πατρόθεν*. Hom. Il. *κ*, 68: *πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον*. (Sch.) vgl. Polyb. 11, 15, 1, Arr. An. 2, 7, 7. 10, 2. — *φυλήν* ohne Artikel. Gr. 50, 3 A. 8.

§ 3. *τὸ καθ' ἑαυτόν*, τὴν οἰκείαν ἀρετήν. (Sch.) Das *ἑαυτόν* bezieht sich auf *τινά*. — *ὧν*. ἐκείνους ὧν. (Sch.) Gr. 51, 13 A. 2. — *ἀνεπιτάκτου*. αὐτεξουσίου. (Sch.) Ein seltenes Wort, nachgebraucht von Dio Cass. 1347, 3. (Bl.) vgl. 2, 37, 2. 39, 2. 3, 37, 1. — *ἄλλα τε*. Das *τέ* schließt an das Vorhergehende an. — *ὄντες*. *ὄντος* viele Hss. vgl. Gr. 47, 10 A. 3. — *πρός* in Bezug auf. Gr. 68, 39 A. 5. — *τὸ δοκεῖν*, μὴ δόξωσι τοῖς ἀκροαταῖς. (Sch.) — *ἀρχαιολογεῖν* Veraltetes sagen, wie es etwa in der heroischen Zeit angebracht gewesen sei. — *φυλαξάμενοι*, τι αὐτῶν εἰπεῖν. (Sch.) Eigentlich *λέγειν* aus *λέγων*. — *ὑπὲρ ἁπάντων παραπλήσια* für alle Fälle der Art Aehnliches, was man unter solchen Umständen überall gleichmäßig ans Herz zu legen pflegt. (Hl.) Doch ist *παραπλήσια* wohl Prädicat zu *προφερόμενα*, dieses nicht Apposition zu jenem; und das Ganze Apposition zu *ὅσα — εἴποιεν ἄν*, indem das *καί* vor *ὑπέρ* nicht und heißt, sondern zu *ἁπάντων* zu ziehen ist: *ἃ καὶ ὑπὲρ ἁπάντων τοιαῦτα προφέρεται*. — *ἐς γυναῖκας* in Bezug auf die Weiber, Berücksichtigung derselben empfehlend. vgl. Gr. 68, 21 A. 7. — *ἀλλ' — ἐπιβοῶνται* steht dem *οὐ φυλαξάμενοι εἴποιεν ἄν* entgegen, aber nicht dem Particip das Verbum finitum, da ja auch hier ein Particip, *νομίζοντες* dem *φυλαξάμενοι*, entspricht.

νανδρος καὶ Εὐθύδημος — οὗτοι γαρ ἐπὶ τὰς ναῦς τῶν
Ἀθηναίων στρατηγοὶ ἐπέβησαν — ἄραντες ἀπὸ τοῦ ἑαυτῶν
στρατοπέδου εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα τοῦ λιμένος καὶ
τὸν παραλειφθέντα διέκπλουν, βουλόμενοι βιάσασθαι ἐς
τὸ ἔξω.

70 Προεξαγαγόμενοι δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι
ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν καὶ πρότερον κατά τε τὸν
ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον καὶ κατὰ τὸν ἄλλον κύκλῳ
λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις
καὶ ὁ πεζὸς ἅμα αὐτοῖς παραβοηθῇ ἦπερ καὶ αἱ νῆες κατί-
2 σχοιεν. ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακοσίοις Σικανὸς
μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυ-
θὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. ἐπειδὴ δ' οἱ [ἄλλοι]
Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ
ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ καὶ
ἐπειρῶντο λύειν τὰς κλῄσεις· μετὰ δὲ τοῦτο πανταχόθεν
σφίσι τῶν Συρακοσίων καὶ ξυμμάχων ἐπιφερομένων οὐ πρὸς
τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία ἀλλὰ καὶ κατὰ τὸν λι-
μένα ἐγίγνετο, καὶ ἦν καρτερὰ καὶ οἷα οὐχ ἑτέρα τῶν προ-
3 τέρων. πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυ-
τῶν ἐς τὸ ἐπιπλεῖν ὁπότε κελευσθείη ἐγίγνετο, πολλὴ δὲ ἡ
ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους·

---

§ 4. *Εὐθύδημος. Εὔδημος* viele Hſn. — *τὸ ζεῦγμα* die Verſperrung, gebildet von *τριήρεσι πλαγίαις καὶ πλοίοις καὶ ἀκάτοις* 7, 59, 2, ähnlich einer Schiffbrücke, welche die Griechen Zeugma nennen. vgl. Lipſ. Poliorc. 2 E. (Dr.) — *παραλειφθέντα. περιλειφθέντα* Bk. *ὃ παρελέλειπτο ὥστε μὴ ἐζεῦχθαι.* (Sch.) Allein davon iſt 7, 59 nichts geſagt. Daher iſt wohl mit einer Hſ. und Va. *καταληφθέντα* zu leſen, wofür auch die ehemalige La. *καταλειφθέντα.* (Pp.) — *διέκπλουν. ἔκπλουν* Pp. vgl. zu 1, 49, 2; vielleicht *δὴ ἔκπλουν.*

C. 70. § 1. *προεξαγαγόμενοι. προεξαναγόμενοι* Jacobs. Vom Fußvolk *προεξάγειν* 7, [6, 3.] 37, 1; nicht eben ſo von Schiffen *προεξάγεσθαι.* (Kr.) *προ —, πρότερον ἢ οἱ Ἀθηναῖοι.* (Sch.) — *παραπλησίαις καί*, wie 5, 112, 1 u. 7, 71, 6. (Dr.) Gr. 69, 32 A. 5. — *πίπτοιεν καὶ παραβοηθῇ.* Gr. 54, 8 A. 2.

§ 2. *τὸ μέσον, ἔχοντες*, wobei aber nicht mehr vorſchwebt daß *ἦρχον* das Verbum iſt. — *ἄλλοι* iſt aus vielen und guten Hſn. hinzugefügt. Gr. 50, 4 A. 11. — *πρὸς αὐτῷ.* Gr. 50, 10 A. 2. — *σφίσι. τοῖς Ἀθηναίοις.* (Sch.) zu 4, 113, 2. — *προτέρων* für *πρότερον* viele und gute Hſn.

§ 3. *ἡ ἀντιτέχνησις.* Der Artikel ſteht hier weil auf die *ἀντι-*

οἵ τ' ἐπιβάται ἐθεράπευον, ὅτε προσπέσοι ναῦς νηΐ, μὴ λεί-
πεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης· πῶς τέ
τις ἐν ᾧ προσετέταχτο αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαί-
νεσθαι. ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν — πλεῖ- 4
στοι γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ
ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι — αἱ μὲν ἐμ-
βολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀναχρούσεις καὶ διέκπλους ὀλίγαι
ἐγίγνοντο, αἱ δὲ προσβολαί, ὡς τύχοι ναῦς νηῒ προσπεσοῦσα
ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. καὶ 5
ὅσον μὲν χρόνον προσφέροιτο ναῦς οἱ ἀπὸ τῶν καταστρω-
μάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως
ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβάται ἐς
χεῖρας ἰόντες ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν.
ξυνετύγχανέ τε πολλαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν ἄλλοις 6
ἐμβεβληκέναι τὰ δ' αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν
καὶ ἔστιν ᾗ καὶ πλείους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι, καὶ
τοῖς κυβερνήταις τῶν μὲν φυλακὴν τῶν δ' ἐπιβουλήν, μὴ
καθ' ἓν ἕκαστον κατὰ πολλὰ δὲ πανταχόθεν, περιεστάναι,
καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν [τῶν] νεῶν ξυμπιπτου-

τέχνησις als eine in allen Seeſchlachten vorgekommene hingewieſen wird. Kr. de auth. p. 43. — ἐθεράπευον, ἐπεμελοῦντο καὶ ἠγωνίζοντο. (Sch.) zu 6, 61, 4. — τὰ ἀπὸ τοῦ καταστρώματος das vom Verdeck aus zu Leiſtende. (St.) — πᾶς τις. Gr. 51, 16 A. 11. — πρῶτος, ἀντὶ τοῦ ἔξοχος. (Sch.)

§ 4. βραχὺ ἀπέλιπον, ungewöhnlich für ὀλίγου ἐδέησαν. — ἐμβολαί ſind Angriffe welche die Schiffe mit den Vordertheilen auf einander machen; προσβολαί ſolche die man machte um zu entern. (Hl. u. Ba.) Doch erklärt Jacobs letzteres zufällige Angriffe, welche Bedeutung das Wort durch das hinzugefügte ὡς τύχοι — ἐπιπλέουσα ſo wie durch die Ausnahme der ἐμβολαί erhält. (Pp.) — διέκπλους ohne Artikel. Gr. 58, 3 A. 1. — φεύγειν. φυγεῖν gute Hſn. Der Gegenſatz iſt hier wie 6, 17, 2: ἢ ἐκ τοῦ λέγων πείθειν ἢ στασιάζων. Gr. 59, 2 A. 3.

§ 5. οἱ ἀπό. Gr. 50, 8 A. 17. — ἀκοντίοις. zu 4, 94, 1. — ἀλλήλων. Gr. 51, 3 A.

§ 6. κατ' ἀνάγκην im Gedränge. — ξυνηρτῆσθαι, συμπεπλέχθαι. (Sch.) — τῶν μὲν φυλακήν Wahrung gegen die einen. — μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δέ, nicht in Bezug auf einzelne Puncte, Gegenſtände, ſondern auf viele. (St.) — περιεστάναι. So περιέστηκε κίνδυνος 4, 34, 3. 5, 73, 1. 8, 15, 1, δεινόν 4, 10, 1, φόβος 8, 1, 2. — τὸν κτύπον

σῶν ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς ὧν οἱ κε-
7 λευσταὶ φθέγγοιντο παρέχειν. πολλὴ γὰρ δὴ ἡ παρακέλευσις
καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσιαῖς κατά τε τὴν τέχνην καὶ
πρὸς τὴν αὐτίκα φιλονεικίαν ἐγίγνετο, τοῖς μὲν Ἀθηναίοις
βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες καὶ περὶ τῆς ἐς τὴν
πατρίδα σωτηρίας νῦν, εἴ ποτε καὶ αὖθις, προθύμως ἀντι-
λαβέσθαι, τοῖς δὲ Συρακοσίοις καὶ ξυμμάχοις καλὸν εἶναι
κωλῦσαί τε αὐτοὺς διαφυγεῖν καὶ τὴν οἰκείαν ἑκάστους πα-
8 τρίδα νικήσαντας ἐπαυξῆσαι. καὶ οἱ στρατηγοὶ προσέτι ἑκα-
τέρων, εἴ τινά που ὁρῷεν μὴ κατ' ἀνάγκην πρύμναν κρουό-
μενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον ἠρώτων οἱ μὲν
Ἀθηναῖοι εἰ τὴν πολεμιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ
δι' ὀλίγου κεκτημένης θαλάσσης ἡγούμενοι ὑποχωροῦσιν, οἱ
δὲ Συρακόσιοι, εἰ οὕς σαφῶς ἴσασι προθυμουμένους Ἀθη-
ναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας
71 φεύγουσιν. ὅ τ' ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων ἰσορρόπου τῆς
ναυμαχίας καθεστηκυίας πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς
γνώμης εἶχεν, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος
ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ τῶν παρόντων ἔτι

μέγαν. Gr. 50, 11 A. 1. — τῶν fehlt in vielen u. den beſten Hſn. — ἀποστέρησιν τῆς ἀκοῆς, [τὸ?] μὴ δύνασθαι ἀκούειν. (Sch)

§ 7. κατά τε für κατά eine gute Hſ. u. Dion. — τὴν τέχνην λέγει τὴν ἰδίαν, τὴν κελευστικήν. (Sch.) — βιάζεσθαι, μετὰ βίας καὶ ἰσχύος ποιεῖσθαι. (Sch.) Gr. 46, 6 A. 3. Ueber den Inf. Gr. 55, 3 A. 13 u. Kr. zu Xen. An. 1, 8, 12. — ἐπιβοῶντες gehört zu τοῖς κελευσταῖς. (Sch.) zu 3, 36, 2. — σωτηρία ἐς glückliche Rückkehr nach. (Va.) — εἴ ποτε. Gr. 65, 5 A. 11. vgl. 4, 20, 1. 55, 3. 7, 64, 2. — αὖθις künftig, wie 2, 48, 2. vgl. 1, 22, 3. 4, 55, 4. — ἀντιλαβέσθαι, etwa τοῦ ἔργου. Gr. 53, 1 A. 2.

§ 8. μὴ κατ' ἀνάγκην ohne dringenden Grund. (Va.) — ὀλίγου. ὀλίγου πόνου eine gute Hſ. wohl aus der Erklärung des Sch. — κεκτημένης paſſiv. Gr. 40 unter κτάομαι. — φεύγοντας iſt des Gegenſatzes halber nochmals ausgedrückt. (Jacobs.)

C. 71. § 1. ἀγῶνα, ἀγωνίαν. — ξύστασιν Aufregung Eur. Hipp. 983: πάτερ, μένος μὲν ξύστασίς τε σῶν φρενῶν δεινή. (Jacobs.) Eigentlich iſt das Wort gleichfalls vom Kriegsweſen entlehnt. Kr. z. Dion. p. 142. — ὁ αὐτόθεν, ὁ Συρακούσιος στρατός. (Sch.) Ueber den Ausdruck zu 3, 7, 3; über die Appoſition Gr. 56, 9 A. 1. — περὶ τοῦ πλείονος ἤδη καλοῦ, ὑπὲρ τοῦ νικῆσαι κατὰ κράτος. (Sch.) — χείρω πράξωσιν. zu 5, 9, 4.

χείρω πράξωσιν. πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθη- 2
ναίοις ἐς τας ναῦς ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ
ἐοικὼς καὶ διὰ τὸ ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας
ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. δι' ὀλίγου γὰρ οὔσης τῆς
θέας καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν
τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν
τε ἂν καὶ πρὸς ἀνάκλησιν θεῶν μὴ στερῆσαι σφᾶς τῆς σω-
τηρίας ἐτρέποντο, οἱ δ' ἐπὶ τὸ ἡσσώμενον βλέψαντες ὀλο- 3
φυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο καὶ ἀπὸ τῶν δρωμένων
τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδου-
λοῦντο. ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπι-
δόντες, διὰ τὸ ἀκριῶς ξυνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμα-
σιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες ἐν τοῖς
χαλεπώταια διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον ἢ
ἀπώλλυντο. ἦν τε ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, 4
ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμός,
βοή, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ

---

§ 2. *πάντων — ναῦς*, *πάσης τῆς ἐλπίδος αὐτοῖς ἐν ταῖς ναυσὶν οὔσης.* (Sch.) *Πάντα* ſind wohl eigentlich alle ihre Mittel. (Ba.) Rettungsmittel; über *ἐς* Gr. 68, 21 A. 4. vgl. Lobeck zu Soph. Aj. 80. — *διὰ τό.* Daß *τό* nicht für *τοῦτο* ſtehen könne zeigt Kr. z. Dion. p. 143 f. Bks. Vorſchlag *δι' αὐτό*, von einer Hſ. beſtätigt, genügt zwar der Sprache, aber nicht dem Gedanken Ba. wollte (nach dem Sch.?) *ἀνώμαλον* verdoppelt leſen; aber wahrſcheinlich iſt mehr ausgefallen. — *ἀνεθάρσησαν ἄν.* Gr. 53, 10 A. 3.

§ 3. *ἐδουλοῦντο.* zu 4, 34, 1. — *καί* ſteht bei *ἄλλοι* wie bei *οἱ δέ.* vgl. § 5 u. Gr 69, 32 A. 15. — *διὰ τὸ ἀκριτως ξυνεχὲς τῆς ἁμίλλης, γενομένης δηλονότι ἀκριτως τῆς ἁμίλλης.* (Sch.) wegen des entſcheidungsloſ Fortdauernden des Kampfes. — *τοῖς σώμασιν — ξυναπονεύοντες, συνεξομοιοῦντες τὰ σώματα τῇ περὶ τῶν γιγνομένων προσδοκίᾳ ἀπόνευον τῷ σώματι τῇδε κἀκεῖσε.* (Sch.) *Τοῖς σώμασιν* iſt dynamiſch: mit. (Ba.) — *ἴσα*, Ac. vom Verbum regiert. Gr. 46, 5 A. 4. — *ἐν τοῖς.* zu 1, 6, 2. — *παρ' ὀλίγον, μόνον οὐκ.* (Sch.)

§ 4. *τῶν Ἀθηναίων* iſt mir verdächtig; erträglich wäre es mit *ἀκοῦσαι* verbunden. — *ὀλοφυρμός.* Der Nominativ iſt regelmäßig Aeſch. Perſ. 411: *θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν ναυαγίων πλήθουσα.* (Jacobs.) Eigentlich wohl eine Anticipation. Gr. 61, 6 A. 8. Ueblicher iſt es den Begriff der hier bei *ἔστιν* als Subject erſcheint als Object des Infinitivs zu ſetzen, wie Xen. An. 1, 5, 3: *τὰς ὠτίδας ἔστι λαμβάνειν.* 1, 9, 13: *ἦν ἰδεῖν ὀφθαλμῶν στερομένους ἀνθρώπους.* — *βοή* wünſcht Elmsley zu Eur. Her. 833 vor *ὀλοφυρμός* geſtellt. — *ἄλλα.* Ueber

μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον, πρίν γε δὴ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας ἔτρεψάν τε τοὺς Ἀθηναίους καὶ ἐπιχείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον
5 ἐς τὴν γῆν. τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἑάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρατόπεδον· ὁ δὲ πεζὸς οὐκέτι διαφόρως ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες, δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς φυλακήν, ἄλλοι δὲ καὶ οἱ πλεῖστοι ἤδη
6 περὶ σφᾶς αὐτοὺς καὶ ὅπῃ σωθήσονται διεσκόπουν. ἦν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. παραπλήσιά τε πεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ· διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις προσαπώλλυντο αὐταῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες, καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παρὰ λόγον γίγνηται.

72 Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τροπαῖον ἔστη-
2 σαν, οἱ δ' Ἀθηναῖοι ὑπὸ μεγέθους τῶν παρόντων κακῶν

---

das Asyndeton Kr. z. Dion. p. 145. — *αὐτοῖς, τοῖς πεζοῖς τοῖς ἐν τῇ γῇ διατεταγμένοις*, von *παραπλήσια* regiert. (Ba. u. A. Ps.)

§ 5. *τότε δέ* für *τότε δή* wohl nur wenige Hsn. — *κατενεχθέντες, ἤγουν πρὸς τὴν γῆν ἐλθόντες.* (Sch.) vgl. 53, 1. Gewöhnlich: durch Stürme verschlagen werden. — *ἐξέπεσον, ἐκ τῶν νεῶν.* (Py.) — *οὐκέτι διαφόρως* nicht mehr sich verschiedenartig äußernd, wie § 3. — *δυσανασχετεῖν* ist nach Poll. 3, 130 ein Gebilde des Thuk., bei ihm nur hier, öfter bei den Spätern. Ueber den Ac. Gr. 48, 8 A. 1. vgl. 46, 4 A. 4. — *τὸ λοιπὸν τοῦ τείχους* 7, 60, 2. (Py.) — *ἄλλοι δὲ καί* zu § 3. — *περὶ σφᾶς αὐτούς.* Herod. 2, 18: *τὸ ἐγὼ τῆς ἐμεωυτοῦ γνώμης ὕστερον περὶ Αἴγυπτον ἐπυθόμην.* — *καὶ ὅπῃ.* Gr. 59, 2 A. 4.

§ 6. *οὐδεμιᾶς.* Gr. 47, 27 A. 3. — *παραπλήσια καί.* zu 7, 70, 1. — *ἐν.* Gr. 69, 12 A. 2. — *καὶ τότε.* Gr. 69, 32 A. 8. — *παρὰ λόγον* für *παράλογον* Dion. Thuk. gebraucht *παράλογος* nie als Adjectiv, vgl. zu 1, 65, 1. (Kr.)

νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδ' ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβούλοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν γνώμην ἐποιεῖτο πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι, ἣν δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν, λέγων ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις· ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἑλάσσους ἢ πεντήκοντα. καὶ ξυγχωροῦντος Νικίου τῇ γνώμῃ καὶ βουλομένων πληροῦν αὐτῶν οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ καὶ μὴ ἂν ἔτι οἴεσθαι κρατῆσαι. καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον, Ἑρμοκράτης δὲ ὁ Συρακόσιος ὑπονοήσας αὐτῶν 73
τὴν διάνοιαν καὶ νομίσας δεινὸν εἶναι εἰ τοσαύτη στρατιὰ κατὰ γῆν ὑποχωρήσασα καὶ καθεζομένη ποι τῆς Σικελίας βουλήσεται αὖθις σφίσι τὸν πόλεμον ποιεῖσθαι, ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν ὡς οὐ χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιιδεῖν, λέγων ταῦτα ἃ καὶ αὐτῷ ἐδόκει, ἀλλὰ ἐξελθόντας ἤδη πάντας Συρακοσίους καὶ τοὺς ξυμμάχους τάς τε ὁδοὺς ἀποικοδομῆσαι καὶ τὰ στενόπορα τῶν χωρίων προφθάσαντας φυλάσσειν. οἱ δὲ ξυνεγίγνωσκον μὲν 2
καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου καὶ ἐδόκει ποιητέα εἶναι, τοὺς δὲ ἀνθρώπους ἄρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους καὶ ἅμα ἑορτῆς οὔσης — ἔτυχε γὰρ αὐτοῖς

C. 72. § 2. *νεκρῶν πέρι.* Anticipation mit hinzugefügter Präpoſition, wie 5, 63, 2. Gr. 61, 6 A. 8. — *αἰτῆσαι ἀναίρεσιν* iſt nur auf *νεκρῶν* beziehbar. — *χρήσιμαι. χρήσιμοι* einige ſchlechte Hſn. vgl. 8, 76, 5, Xen. Mem. 3, 8, 8, Dem. 14, 2 u. vorherrſchend bei Platon; *χρησίμη* Charm. 165, Dem. 15, 12, Iſä. 6, 30 u. wohl ſtäts bei Iſokrates.

C. 73. § 1. *καὶ ἅ* für *ἃ καί* einige Hſn. u. wohl auch Ba., andere *καὶ ἃ καί.* Der Sinn: und was ihm ſchien daß man dagegen thun müſſe. — *ἀποικοδομῆσαι, ἀποφράξαι διά τινος οἰκοδομῆς.* (Sch.) — *προφθάσαντας. διαλαβόντας* eine gute Hſ. Vielleicht ſind beide La. zu verbinden. Das erſtere noch 3, 69, 2. 7, 73, 3. 8, 51, 1; dieſes bei Thuk. ſonſt nirgends.

§ 2. *ξυνεγίγνωσκον, τὰ αὐτὰ ἐγίγνωσκον, τουτέστιν ὁμογνάμονες ἦσαν αὐτῷ.* (Sch.) vgl. 2, 60, 3. 8, 24, 5. Ueber den Pleonasmos mit *καὶ αὐτοί* zu 5, 6, 3. — *ἀναπεπαυμένους καὶ οὔσης.*

Ἡρακλεῖ ταύτην τὴν ἡμέραν θυσία οὖσα — οὐ δοκεῖν ἂν ῥᾳδίως ἐθελῆσαι ὑπακοῦσαι· ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ καὶ πάντα μᾶλλον ἐλπίζειν ἂν σφῶν πείθεσθαι αὐτοὺς ἢ ὅπλα
3 λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν. ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα καὶ οὐκέτι ἔπειθεν αὐτοὺς ὁ Ἑρμοκράτης, αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται, δεδιὼς μὴ οἱ Ἀθηναῖοι καθ' ἡσυχίαν προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες τὰ χαλεπώτατα τῶν χωρίων. πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων πρὸς τὸ τῶν Ἀθηναίων στρα-
4 τόπεδον, ἡνίκα ξυνεσκόταζεν· οἱ προσελάσαντες ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι καὶ ἀνακαλεσάμενοί τινας ὡς ὄντες τῶν Ἀθηναίων ἐπιτήδειοι — ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν — ἐκέλευον φράζειν Νικίᾳ μὴ ἀπάγειν τῆς νυκτὸς τὸ στράτευμα ὡς Συρακοσίων τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ καθ' ἡσυχίαν τῆς ἡμέρας παρασκευασάμενον ἀποχωρεῖν. καὶ οἱ μὲν εἰπόντες ἀπῆλθον, καὶ οἱ ἀκούσαντες
74 διήγγειλαν τοῖς στρατηγοῖς τῶν Ἀθηναίων· οἱ δὲ πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα, νομίσαντες οὐκ ἀπάτην εἶναι. καὶ ἐπειδὴ καὶ ὡς οὐκ εὐθὺς ὥρμησαν, ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖναι, ὅπως ξυσκευάσαιντο ὡς ἐκ

Gr. 56, 14 A. 2. — δοκεῖν, ἐγίγνωσκον aus ξυνεγίγνωσκον. — ὑπὸ τοῦ περιχαροῦς τῆς νίκης ob dem Erfreulichen des Sieges oder ob der Freude über den Sieg. (Ba.) Wohl das Letztere, da περιχαρής objectiv nicht leicht vorkommt; über den Ge. Gr. 47, 7 A. 5. — σφῶν πείθεσθαι. Ivh. A. 726: τί χρῆμα; πείθεσθαι γὰρ εἴθισμαι σέθεν. vgl. Schweighäuser zu Her. 1, 126. Doch ist diese Construction den Attikern sonst fremd.

§ 3. οὐκέτι für οὐκ die besten Hss., andeutend daß Hermokrates mit fortgesetztem Dringen nichts ausgerichtet. (Hk.) Doch ist es etwas seltsam und ἔτι könnte wohl aus ἐπ — entstanden sein. — ἐπὶ τούτοις darauf. (Ps.) zum Behuf dieser Dinge. (Hl.) Wohl jenes. — μηχανᾶται· δεδιὼς — χωρίων, πέμπει. Diese Interpunction hat Bk geändert.

§ 4. ἐξ ὅσου ähnlich wie ἔνθεν, ὅθεν für ἐκεῖσε ἔνθεν oder ὅθεν. Gr. 51, 13 A. 9. — τῶν ἔνδοθεν ist Neutrum. (Sch.) über ἔνδοθεν Gr. 50, 8 A. 14. — καὶ οἱ. καὶ οἵ Kr., auf τις bezogen.

C. 74. § 1. ἐπέσχον, Gr. 52, 3 A. 2. — καὶ ὡς auch so, wie sie doch nach der erhaltenen Mahnung gesollt hätten. — ὡς. Gr. 69, 63 A. 4. — ἐκ τῶν δ. Gr. 68, 17 A. 10. vgl. 2, 3, 3. 4, 51. —

τῶν δυνατῶν οἱ στρατιῶται ὅτι χρησιμώτατα, καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν, ἀναλαβόντες δὲ αὐτὰ ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια ἀφορμᾶσθαι. Συρακό- 2
σιοι δὲ καὶ Γύλιππος τῷ μὲν πεζῷ προεξελθόντες τάς τε ὁδοὺς τὰς κατὰ τὴν χώραν, ᾗ εἰκὸς ἦν τοὺς Ἀθηναίους ἰέναι, ἀπεφράγνυσαν καὶ τῶν ῥείθρων καὶ ποταμῶν τὰς διαβάσεις ἐφύλασσον καὶ ἐς ὑποδοχὴν τοῦ στρατεύματος ὡς κωλύσοντες ᾗ ἐδόκει ἐτάσσοντο· ταῖς δὲ ναυσὶ προσπλεύσαντες τὰς ναῦς 3
τῶν Ἀθηναίων ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλκον, ἐνέπρησαν δέ τινας ὀλίγας, ὥσπερ διενοήθησαν, αὐτοὶ οἱ Ἀθηναῖοι, τὰς δ' ἄλλας καθ' ἡσυχίαν οὐδενὸς κωλύοντος ὡς ἑκάστην ποι ἐκπεπτωκυῖαν ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.

Μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημο- 75
σθένει ἱκανῶς παρεσκευάσθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ στρατεύματος τριτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. δεινον οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες, ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἴσθεσθαι. τῶν τε γὰρ νεκρῶν ἀτά- 2
φων ὄντων, ὁπότε τις ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς

ἀναλαβόντες für ἀναλαβόντας viele u. gute Hſn., als ob ἔγνωσαν oder ἐψηφίσαντο vorherginge. (Hk.) vgl. Gr. 45, 1 A. 3. — αὐτὰ ὅσα gerade ſo viel als. (Ba.?) Gr. 51, 6 A. 9.

§ 2. ἀπεφράγνυσαν. Gr. 40 unter φράγνυμι, das der att. Proſa ſonſt fremd iſt. — ὑποδοχή hier im feindlichen Sinne; im freundlichen 1, 139, 2.

§ 3. ὥσπερ διενοήθησαν 7, 60, 2. (Pp.) — ὡς ἑκάστην. zu 1, 3, 4. — ἀναδησάμενοι, ἤγουν ἐξαρτήσαντες τῶν ἑαυτῶν νεῶν. (Sch.) zu 1, 50, 1.

C. 75. § 1. καὶ ἡ. zu 2, 93, 3. — οὐ καθ' ἓν μόνον τῶν πραγμάτων auf mehr als eine Weiſe, aus mehr als einer Urſache Ba., ſo daß als Subject noch ἡ ἀνάστασις zu denken wäre; wobei der Ge. nicht recht gehörig ſcheint. Beſſer nimmt Jacobs den ganzen Ausdruck als Subject: nicht bloß eine Einzelnheit der Vorgänge, die Geſammterſcheinung daß ſie ꝛc. vgl. Gr. 60, 8 A. 4. Haaſe denkt ὅτι — ἀπεχώρουν als Subject. — κινδυνεύοντες da hier αὐτοί Hauptbegriff. vgl. Gr. 63, 4 A. 2.

§ 2. κείμενον todt da liegend, Kr. zu Xen. An. 1, 8, 27.

λύπην μετα φόβου καθίστατο, καὶ οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι
3 λυπηρότεροι ἦσαν καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴ τινά πού τις ἴδοι ἢ ἑταίρων ἢ οἰκείων, τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι καὶ ἐπακολουθοῦντες ἐς ὅσον δύναιντο, εἴ τῳ δὲ προλίποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ὑπολειπόμενοι,
4 ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε καὶ μείζω ἢ κατὰ δάκρυα τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μὴ πάθωσιν. κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐφέποντο ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ μι-
5 κρᾷ· μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. καὶ τούτων οἵ τε ἄλλοι ἔφερον πάντες ὅ τι τις ἐδύνατο ἕκαστος χρήσιμον καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππῆς παρὰ τὸ εἰωθὸς αὐτοὶ τὰ σφέτερα αὐτῶν σιτία ὑπὸ

οἱ ζῶντες — ασθενεῖς die welche verwundet oder krank lebend zurück blieben. Gr. 50, 12 A. 1. vgl. zu 2, 5, 2.

§ 3. ἐπιβοώμενοι. zu 3, 59, 2. — ἐκκρεμαννύμενοι. Eur. Herk. 520: δεῦρ' ὦ τέκν' ἐκκρήμνασθε πατρῴων πέπλων. vgl. 627. (Didot.) — ἐς vor ὅσον hat nur eine gute Hs. — τῳ. Der Da. bei προλείπειν findet sich sonst in der guten Prosa vielleicht nicht. vgl. Eur. Or. 818. — προλίποι für προλείποι zwei gute Hsn. — ὀλίγων πολλῶν übersetzt Va. σύχνων vermuthet Pp. Ich möcht' es tilgen. — ἐπιθειασμῶν, θείων ἐπικλήσεων. (Sch.) zu 2, 75, 1. — ὑπολειπόμενοι für ἀπολειπόμενοι Bk. Ueber den Plural bei τις. Gr. 58, 4 A. 5.

§ 4. δάκρυσι. Gr. 19, 2 u. B. 2 § 21 unter δάκρυ. — οὐ ῥᾳδίως. zu 2, 16. — καίπερ. Gr. 56, 13 A. 2. — μείζω ἢ κατὰ δάκρυα. Her. 3, 14: μέζω κακὰ ἢ ὥστε ἀναχλαίειν. (Wasse.) Gr. 49, 4. — πεπονθότας. Gr. 58, 4 A. 1. — περὶ τῶν ἐν ἀφανεῖ, περὶ τῶν μελλόντων. (Sch.) — μὴ für μή τι eine gute Hs. — κατήφεια. Ein poetisches Wort. — κατάμεμψις Geringschätzung. vgl. 7, 77, 1. (Hk.) — οὐδὲν ἄλλο ἤ. Gr. 62, 3 A. 7. — μικρᾷ für σμικρᾷ eine Hs. zu 4, 13, 3.

§ 5. ὄχλου. Gr. 47, 8. — ἔφερον πάντες für πάντες ἔφερον eine gute Hs. — ἕκαστος für κατὰ τό eine gute Hs. Mir scheint es

τοῖς ὅπλοις, οἱ μὲν ἀπορίᾳ ἀκολούθων οἱ δὲ ἀπιστίᾳ· ἀπηυ- 6
τομολήκεσαν γὰρ πάλαι τε καὶ οἱ πλεῖστοι παραχρῆμα.
ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά· σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ
στρατοπέδῳ. καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἡ ἰσομοιρία τῶν
κακῶν, ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κούφισιν, οὐδ' ὡς
ῥᾳδία ἐν ιῷ παρόντι ἐδοξάζετο, ἄλλως τε καὶ ἀπὸ οἵας
λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ
ταπεινότητα ἀφῖκτο. μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο 7
Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς ἀντὶ μὲν τοῦ ἄλλους δου-
λωσομένους ἥκειν αὐτοὺς τοῦτο μᾶλλον δέδιότας μὴ πάθωσι
ξυνέβη ἀπιέναι, ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέ-
πλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶ-
σθαι, πεζούς τε ἀντὶ ναυβατῶν πορευομένους καὶ ὁπλιτικῷ
προσέχοντας μᾶλλον ἢ ναυτικῷ. ὅμως δὲ ὑπὸ μεγέθους τοῦ

Gloſſem zu τὶς. Denn man ſagte wohl ἕκαστός τις, aber ſchwerlich τὶς — ἕκαστος. — ἀκολούθων, ὑπηρετῶν. (Sch.) Eben ſo von einem Packträger Iſä. 5, 11; ſonſt gew. nur von Sklaven die ihren Herren folgen.

§ 6. παραχρῆμα, ἐν τῷ τότε παρόντι. (Sch) erg. ἀπηυτομόλουν. Gr. 62, 4 A. 2. — ἔφερον — ἱκανά. οὐδὲ ταῦτα ἃ ἔφερον ἱκανὰ ἦν. Gr. 57, 3 A. 6. — ἦν haben mehrere gute Hſn. — καὶ ἡ für καί mehrere Hſn. Beides tilgend will Dobree leſen: ἰσομοιρία τῶν κακῶν ἔχουσα, wie vielleicht Va. las. Pv. überſetzt: die Gemeinſchaftlichkeit der Leiden, obgleich ſie ſonſt einige Erleichterung hat, gewährt. vgl. zu 1, 9, 1. Der Sch.: καὶ τὸ κοινωνεῖν πάντας ἐπ' ἴσης τῶν κακῶν καὶ οἷον ἴσου μέρους ἕκαστον αὐτῶν μετέχειν. — τὸ μετὰ πολλῶν in der Erwägung daß man mit Vielen leide. Gr. 50, 5 A. 12 u. 57, 3 A. 1. — ἄλλως τε καί, ἐνθυμουμένοις. (Va.) Gr. 51, 13 A. 17. — ἐς οἵαν. Gr. 51, 14 A. 1. — ἀφῖκτο, τὸ στράτευμα δηλονότι. (Sch.) Oder vielmehr τὸ στρατόπεδον. (Pp.) τὸ πρᾶγμα denkt Hk. zu 1, 6, 4 u. Gr. 61, 5 A. 6.

§ 7. διάφορον Umſchlag. (Pſ. u. Hl.) — τῷ vor Ἑλληνικῷ, auch von Dobree verdächtigt, hat Bk. gegen die Hſn. getilgt, wie ſchon alte Erklärer wollten; τῷ Pp. vgl. 7, 77, 6: τοὐ ϕιλίου. — οἷς. Gr. 58, 4 A. 1. — αὐτούς folgt eben ſo auf einen Da. bezogen 3, 84, 3: ἅπασιν ἐλπὶς ὑπόκειται σῳαλεῖσι κἂν αὐτοὺς διασώζεσθαι. And. 1, 12: ἔδοξε τοῖς πρυτάνεσι τοὺς μὲν ἀνοήτους μεταστήσασθαι, αὐτοὺς δ' ἰέναι. (Arndt.) — δουλωσαμένους für δουλωσομένους eine Hſ. — εὐχῆς — ἐξέπλεον 6, 32, 1. 2. (Hudſon.) — πάλιν zurück gehört zu ἀφορμᾶσθαι. (Hl.) — τούτων hängt von ἐναντίοις ab. (Pſ.) Ueber die Stellung Gr. 50, 10 A. 1. — ἐπιφημίσμασιν, οἰωνισμασιν. Heſych. (Dr.) — πεζούς τε für πεζοὺς δέ eine gute Hſ. — ναυβατῶν, ναύτης ἢ ἐπιβάτης. (Sch.) zu 1, 121, 2. — προσέχοντας für προσχόντας eine gute Hſ.

ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἰστὰ ἐφαίνετο.

76 Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν καὶ ἐν μεγάλῃ μεταβολῇ ὄν, ἐπιπαριὼν οἷς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις καθ' οὓς γίγνοιτο ὑπὸ προθυμίας καὶ βουλόμενος
77 ὡς ἐπὶ πλεῖστον γεγωνίσκων ὠφελεῖν τι. "καὶ ἐκ τῶν παρόντων ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι ἐλπίδα χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν· μηδὲ καταμέμφεσθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς μήτε ταῖς
2 παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις. κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων — ἀλλ' ὁρᾶτε δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου — οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερός του εἶναι κατά τε τὸν ἴδιον βίον καὶ ἐς τἆλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιήτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια καὶ ἀνε-
3 πίφθονα. ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θρασεῖα τοῦ μέλλοντος, αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φοβοῦσιν. τάχα δ' ἂν καὶ λωφήσειαν· ἱκανὰ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται καὶ εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετι-

---

C. 76. ὡς ἐκ τῶν ὑπαρχόντων, ἐκ τῶν δυνατῶν. (Sch.) Es gehört zu den folgenden Verben. vgl. zu 6, 33, 3 u. 70, 4. — ἔτι μᾶλλον als 7, 69, 3. (Pp.) — ἑκάστοις, πρὸς ἑκάστους. (Ba.) — γεγωνίσκειν ist poetisch. Gr. B. 2 § 39 u. d. W. — τι eine gute Hs., die übrigen ἔτι zum folgenden C. gezogen.

C. 77. § 1. ἐκ τῶν παρόντων. zu 3, 29, 2. — ἤδη. Das Asyndeton rechtfertigt sich durch die Aufgeregtheit des Redenden. (Pp.) — καταμέμφεσθαι für καταμέμψασθαι eine gute Hs. vgl. 8, 106, 2. — ταῖς ξυμφοραῖς der Unfälle halber. Gr. 48, 15 A. 6. — παρὰ τὴν ἀξίαν wider Verdienst. (Wasse.) Verschulden.

§ 2. οὐδενός. Gr. 47, 19. — προφέρων. zu 64, 2. — διάκειμαι zugerichtet bin, gewöhnlicher von geistigen Zuständen. — ὑπό. Gr. 52, 3 A. 2. — ἐς τἆλλα, in Ansehung meiner politischen Bedeutsamkeit. — φαυλοτάτοις, ἀγεννέσιν. (Sch.) — αἰωροῦμαι schwebe. — νόμιμα positive Religionsgebräuche. — δεδιήτημαι, ἐπετήδευσα. (Sch.)

§ 3. ὅμως, obgleich ich in so großer Gefahr schwebe wie die Unbedeutendsten. (Matthiä.) — θρασεῖα für θαρσεῖα einige Hsn. — οὐ κατ' ἀξίαν δή, ἀλλὰ μειζόνως. (Sch.) Vielmehr μειόνως. Gut nur Hl.: schrecken mich nicht so wie sie sonst wohl sollten. — εὐτύχηται, ἤγουν μετ' εὐτυχίας κατώρθωται. (Sch.) Gr. 52, 3 A. 4. — τετιμωρήμεθα. Gr. 52, 10 A. 11.

μωρήμεθα. ἦλθον γάρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους 4
καὶ ἀνθρώπεια δράσαντες ἀνεκτὰ ἔπαθον. καὶ ἡμᾶς εἰκὸς
νῦν τά τε ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἕξειν — οἴκτου
γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου — καὶ ὁρῶν-
τες ὑμᾶς αὐτοὺς οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι
χωρεῖτε μὴ καταπέπληχθε ἄγαν, λογίζεσθε δὲ ὅτι αἵτοι τε 5
πόλις εὐθύς ἐστιε ὅποι ἂν καθέζησθε καὶ ἄλλη οὐδεμία
ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥᾳδίως
οὔτ' ἂν ἱδρυθέντας που ἐξαναστήσειεν. τὴν δὲ πορειαν
ὥστ' ἀσφαλῆ καὶ εὔταχτον εἶναι αὐτοὶ φυλάξατε, μὴ ἄλλο
τι ἡγησάμενος ἕκασιος ἢ ἐν ᾧ ἂν ἀναγκασθῇ χωρίῳ μάχε-
σθαι, τοῦτο καὶ πατρίδα καὶ τεῖχος κρατήσας ἕξειν. σπουδῇ
δὲ ὁμοίως καὶ νύκτα καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ — τὰ γὰρ
ἐπιτήδεια βραχέα ἔχομεν — καὶ ἢν ἀντιλαβώμεθά του φιλίου
χωρίου τῶν Σικελῶν — οὗτοι γὰρ ἡμῖν διὰ τὸ Συρακοσίων
δέος ἔτι βέβαιοι εἰσίν — ἤδη νομίζετε ἐν τῷ ἐχυρῷ εἶναι.
προπέπεμπται δ' ὡς αὐτοὺς καὶ ἀπαντᾶν εἰρημένον καὶ σιτία
ἄλλα κομίζειν. τό τε ξύμπαν γνῶτε, ὦ ἄνδρες στρατιῶται, 7
ἀναγκαῖόν τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι ὡς μὴ
ὄντος χωρίου ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε, καὶ ἢν
νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι τευξόμενοι ὧν
ἐπιθυμεῖτέ που ἐπιδεῖν καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην δύνα-
μιν τῆς πόλεως καίπερ πεπτωκυῖαν ἐπανορθώσοντες· ἄνδρες
γὰρ πόλις καὶ οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί."

---

§ 4. τά τε. Es entſpricht καὶ ὁρῶντες. (Hk.) vgl. zu 5, 11, 2. — θεοῦ. θείου Kr.; ὁ θεός ſagt Thuk. nur von einem beſtimmten Gotte, z. B. dem Apollon. — ἀπ' αὐτῶν, in Folge unſerer Leiden. Va. u. A. erklären ἀπὸ τῶν θεῶν. — οἷοι. Gr. 61, 6 A. 2. — καταπέπληχθε. καταπεπλῆχθαι einige Hſn. u. Va., was billigend Ps. ὁρῶντας vorſchlug.

§ 5. ἄν vor ἀναγκασθῇ hat nur eine gute Hſ.

§ 6. βραχέα. zu 1, 14, 3. — ἀντιλαβώμεθα. zu 3, 22, 5. — Συρακοσίων. Gr. 47, 7 A. 1. — ἐχυρῷ, ἀσφαλεῖ. (Sch.) — του für τοῦ Va. — προπέπεμπται für προπέμπετε eine Hſ. — εἰρημένον indem ihnen angeſagt, geheißen iſt zu 1, 125, 1. — ἄλλα. ἅμα Reiske; pariter Va. Oder καὶ ἄλλα? Das bloße ἄλλα ſtände im Gegenſatze zu dem noch Vorhandenen.

§ 7. τό τε für τὸ δέ eine gute Hſ. zu 6, 37, 3. — τε ὂν καὶ τευξόμενοι. Gr. 56, 14 A. 2. — ἄνδρες. Eur. Phrix. 12: αἵ γὰρ

78 Ὁ μὲν Νικίας τοιάδε παρακελευόμενος ἅμα ἐπῄει τὸ στράτευμα καὶ εἴ πῃ ὁρῴη διεσπασμένον καὶ μὴ ἐν τάξει χωροῦν, ξυνάγων καὶ καθιστάς, καὶ ὁ Δημοσθένης οὐδὲν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων, τὸ δὲ ἐχώρει ἐν πλαισίῳ τεταγμένον, [πρῶτον μὲν ἡγούμενον] τὸ Νικίου, ἑφεπόμενον δὲ τὸ Δημοσθένους· τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται.
2 καὶ ἐπειδή τε ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακοσίων καὶ ξυμμάχων, καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες τοῦ πόρου ἐχώρουν ἐς τὸ πρόσθεν· οἱ δὲ Συρακόσιοι παριππεύοντές τε προσέκειντο καὶ ἐσακοντίζοντες οἱ ψιλοί. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελθόντες σταδίους ὡς τεσσαράκοντα ηὐλί-
3 σαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ πρῳ ἐπορεύοντο καὶ προῆλθον ὡς εἴκοσι σταδίους, καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον — ᾠκεῖτο γὰρ ὁ χῶρος — καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν· ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν. οἱ δὲ Συρακόσιοι ἐν τούτῳ προελθόντες τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον· ἦν δὲ λόφος καρτερὸς καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης, ἐκαλεῖτο δὲ
4 Ἀκραῖον λέπας. τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῇεσαν, καὶ οἱ τῶν Συρακοσίων καὶ ξυμμάχων αὐτοὺς ἱππῆς καὶ ἀκοντιστιαὶ ὄντες πολλοὶ ἑκατέρωθεν ἐκώλυον καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον. καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον.

πόλεις εἴσ' ἄνδρες, οὐκ ἐρημία. vgl. App. Pun. 8, 89, (Wunder) zu Soph. Oed. T. 56 u. Bl. hier.

C. 78. § 1. καί vor εἴ verbindet παρακελευόμενος mit ξυνάγων. vgl. zu 1, 19. — πλαισίῳ. zu 6, 67, 2. — πρῶτον μὲν ἡγούμενον hat nur eine gute Hs. u. ein Rand. — τὸ Νικίου für τοῦ Νικίου mehrere u. gute Hsn. Gr. 50, 1 A. 11. — πλεῖστον. ψιλόν Kr. vgl. Xen. An. 3, 2, 36.

§ 2. ἐπειδή τε. Zu entsprechen scheint οἱ δέ § 3. (Hk.) Wenn τέ nicht zu tilgen ist.

§ 3. ἄπεδον, ὁμαλόν, ὁμόπεδον, ὡς καὶ ἄλοχος ἡ ὁμόλοχος. (Sch.) Gr. 42, 1 A. 6. — στάδια. Sonst sagt Thuk. nur σταδίους. (Phot.) Der No. Pl. scheint bei ihm nicht vorzukommen.

καὶ τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον· οὐ γὰρ ἔτι ἀποχωρεῖν
οἷόν τ' ἦν ὑπὸ τῶν ἱππέων. πρῳ̣ὶ δὲ ἄραντες ἐπορεύοντο 79
αὖθις καὶ ἐβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀποτειει-
χισμένον καὶ εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποιειχίσματος τὴν
πεζὴν στρατιὰν παρατεταγμένην οὐκ ἐπ' ὀλίγων ἀσπίδων·
στενὸν γὰρ ἦν τὸ χωρίον. καὶ προσβαλόντες οἱ Ἀθηναῖοι 2
ἐτειχομάχουν καὶ βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου
ἐπάντους ὄντος — διικνοῦντο γὰρ ῥᾷον οἱ ἄνωϑεν — καὶ
οὐ δυνάμενοι βιάσασϑαι ἀνεχώρουν πάλιν καὶ ἀνεπαύοντο.
ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γενόμεναι καὶ ὕδωρ, οἷα
τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσϑαι·
ἀφ' ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠϑύμουν καὶ ἐνόμιζον ἐπὶ
τῷ σφετέρῳ ὀλέϑρῳ καὶ ταῦτα πάντα γίγνεσϑαι. ἀναπαυο- 3
μένων δ' αὐτῶν ὁ Γύλιππος καὶ οἱ Συρακόσιοι πέμπουσι
μέρος τι τῆς στρατιᾶς ἀποτειχιοῦντας αὖ ἐκ τοῦ ὄπισϑεν αὐ-
τοὺς ἢ προεληλύϑεσαν· ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν
αὐτῶν τινας διεκώλυσαν. καὶ μετὰ τοῦτο πάσῃ τῇ στρατιᾷ
ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι ηὐλί-
σαντο. τῇ δ' ὑστεραίᾳ προὐχώρουν, καὶ οἱ Συρακόσιοι προ-
σέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ καὶ πολλοὺς κατετραυμά-
τιζον, καὶ εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν, εἰ δ' ἀ- 4
ναχωροῖεν, ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπί-
πτοντες, εἴ πως κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα

---

§ 4. ἀποχωρεῖν, ἀποσχίδνασϑαι ἀπὸ τοῦ στρατεύματος. (Sch.)

C. 79. § 1. ἐβιάσαντο, μετὰ βίας ἐπειράσαντο. (A. Ps.) Eine in dieser Bedeutung nicht leicht vorkommende Construction. (Py.) Mir ist ἐλϑεῖν anstößig; Va. übersetzt es nicht.

§ 2. ἐτειχομάχουν. zu 1, 102, 1. vgl. 8, 103, 1. — διικνοῦντο ἀντὶ τοῦ ἐξικνοῦντο βάλλοντες. (Sch.) Ein seltenes Compositum, das z. B. Thuk. nur hier, Xen. nie gebraucht hat. — οἱ ἄνωϑεν. Gr. 50, 8 A. 15. — ἔτυχον δέ. ἔτυχον γάρ eine gute Hs. u. vielleicht auch Va. — ὕδωρ. Gr. 62, 4 A. 4. — φιλεῖ γίγνεσϑαι. ἐκ περιουσίας τοῦτο προσέρριπται. (Sch.) Es könnte freilich Gleffem sein. Gr. 56, 12 A. 2.

§ 3. ἀποτειχιοῦντας. ἀποτειχιοῦντες einige gute Hsn. — αἰ hat nur eine gute Hs.: wie vorn. — μᾶλλον. zu 6, 88, 5. — παντα χῇ κύκλῳ. zu 3, 68, 2.

§ 4. καὶ μάλιστα erg. ἐπέκειντο. (Va.) — εἴ πως. Gr. 65, 1 A. 10.

φοβήσειαν. καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ Ἀθηναῖοι, ἔπειτα προελθόντες πέντε ἢ ἑξ σταδίους ἀνεπαύοντο ἐν τῷ πεδίῳ· ἀνεχώρησαν δὲ καὶ οἱ Συρακόσιοι ἀπ' αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

80 Τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε τῶν τε ἐπιτηδείων πάντων ἀπορίᾳ ἤδη καὶ καταιτραυματισμένοι ἦσαν πολλοὶ ἐν ποικίλαις προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντας ὡς πλεῖστα ἀπάγειν τὴν στρατιάν, μηκέτι τὴν αὐτὴν ὁδὸν ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον ἢ οἱ Συρακόσιοι ἐτήρουν, 2 πρὸς τὴν θάλασσαν. ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας τὸ πρὸς Καμάριναν καὶ Γέλαν καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. καύσαντες οὖν πυρὰ πολλὰ ἐχώρουν ἐν τῇ νυκτί. καὶ αὐτοῖς, οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν, ἐμπίπτει ταραχή· 3 καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε καὶ προὔλαβε πολλῷ, τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ τὸ πλέον, ἀπεσπάσθη τε καὶ ἀτακτότερον ἐχώρει. ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν θάλασσαν, καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν Ἑλωρινὴν καλουμένην ἐπορεύοντο, ὅπως ἐπειδὴ γένοιντο ἐπὶ τῷ ποταμῷ τῷ Κακυπάρει, παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω διὰ μεσογείας· ἤλπιζον γὰρ καὶ τοὺς

C. 80. § 1. ἀπορίᾳ für ἀπορια Kiſt. u. Va., ἀπορίαι eine gute Hſ.; über τέ zu 5, 11, 2. — καύσανιας für καύσαντες mehrere gute Hſn. Dieſes iſt wohl aus § 2 entſtanden. — ἢ οἱ. ἢ ᾗ οἱ! doch ſ. zu 3, 22, 4. — ἐτήρουν aufpaßten. (Hl.) Lyſ. 3, 34: οὐκ ἐτήρησα αὐτὸν οὗ μόνον οἷόν τ' ἦν λαβεῖν. vgl. zu 6, 100, 1.

§ 2. κατά nach — zu. Gr. 68, 25 A. 1. — οἷον — ἐγγίγνεσθαι. zu 4, 125, 1.

§ 3. ὥσπερ. ὅπερ oder ὅσπερ Dobree; doch vgl. 7, 80, 3 u. zu 5, 6, 1. — ξυνέμενε blieb zuſammen. (St.) — προὔλαβε gewann einen Vorſprung. (Hl.) — πολλῷ um eine anſehnliche Strecke. Gr 48, 15 A. 9. — τὸ δέ. τοῦ δέ. Gr. 47, 28 A. 3. — τό vor πλέον fehlt in einer guten Hſ.; doch vgl. 47, 4. (Pp.) Gr. 50, 2 A. 8. — ἐπί für παρά eine gute Hſ. — τῷ ποταμῷ τῷ,

Σικελοὺς ταύτῃ, οὓς μετέπεμψαν, ἀπαντήσεσθαι. ἐπειδὴ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, εὗρον καὶ ἐνταῦθα φυλακὴν ιμνα τῶν Συρακοσίων ἀποτειχίζουσάν τε καὶ ἀποσταυροῦσαν τὸν πόρον. καὶ βιασάμενοι αὐτὴν διέβησάν τε τὸν ποταμὸν καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμόν, τὸν Ἑρινεόν· ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον, ἐν τούτῳ δ' οἱ Συρακόσιοι καὶ 81
οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυθότας, ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον ἐκόντα ἀφεῖναι τοὺς Ἀθηναίους, καὶ κατὰ τάχος διώκοντες, ἢ οὐ χαλεπῶς ἠσθάνοντο κεχωρηκότας, καταλαμβάνουσι περὶ ἀρίστου ὥραν, καὶ ὡς προσέμιξαν τοῖς μετὰ τοῦ 2
Λημοσθένους, ὑστέροις τ' οὖσι καὶ σχολαίτερον καὶ ἀτακτότερον χωροῦσιν, ὡς τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς προσπεσόντες ἐμάχοντο, καὶ οἱ ἱππῆς τῶν Συρακοσίων ἐκυκλοῦντό τε ῥᾷον αὐτούς, δίχα δὴ ὄντας, καὶ ξυνῆγον ἐς ταὐτό. τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόσθεν καὶ πεντή- 3
κοντα σταδίους· θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε, νομίζων οὐ τὸ ὑπομένειν ἐν τῷ τοιούτῳ ἐκόντας εἶναι καὶ μάχεσθαι σωτηρίαν, ἀλλὰ τὸ ὡς τάχιστα ὑποχωρεῖν, τοσαῦτα μαχομένους

---

wie 7, 82, 3. (Pp.) Gr. 50, 7 A. 1. — *μετέπεμψαν. μετεπέμψαντο* eine gute Hs. zu 1, 112, 1.

C. 81. § 1. *ἡ ἡμέρα* der eben eintretende Tag; freilich gebraucht auch Thuk. die Redensart sonst immer ohne Artikel. — *ἀφεῖναι*, weil *ἐν αἰτίᾳ εἶχον* so viel ist als *ἠτιῶντο*. Anders 2, 59, 1. — (Ba.) Gr. 50, 6 A. 6. — *ταύτῃ, χωρεῖν*. Gr. 55, 4 A. 11.

§ 2, *καὶ ὡς. καὶ ὥσπερ* mehrere und gute Hsn. — *τότε* 7, 80, 3. vgl. zu 1, 101, 2. — *δίχα δὴ ὄντας, ἦγον κεχωρισμένους ἀπὸ τῶν μετὰ Νικίου.* (Sch.) Es ist wohl nur auf die Trennung der Truppen des Demosthenes zu beziehen. vgl. Gr. 62, 2 A. 4. — *δή. ἤδη* eine gute Hs. u. Ba. — *ξυνῆγον* trieben sie zusammen. (Ba.) vgl. 2, 84, 1. (Bt.) — *ἐς ταὐτό, ἐς ὀλίγον χωρίον.* (Sch.) Kr. zu Xen. An. 1, 8, 14.

§ 3. *ἑκατόν*, was sonst sachwidrig nach *πρόσθεν* stand, fehlt in vielen, auch guten Hsn., *καί* in einigen; doch über dieses Gr. 69, 32 A. 18 u. zu 1, 44, 1. — *θᾶσσόν τε.* Dem *τέ* entspricht *ὁ δέ* § 4. (Hk.) *θᾶσσόν τι* vermuthet Dobree. vgl. *ῥᾷόν τι* 7, 84, 1. — *ἐν τῷ τοιούτῳ* bei einer Lage wie die gegenwärtige. Gr. 50, 4 A. 6. — *ἐκόντας εἶναι.* zu 6, 14. — *σωτηρίαν. σωτήριον?* Xen. Mem. 3, 3, 10: *τὸ πείθεσθαί σοι κάλλιόν τε καὶ σωτηριώτερον αὐτοῖς ἔσται.* — *τοσαῦτα.* Plat. Alk. *α*, 107, e: *τούτοις δεῖ προσπαλαίειν τοσαῦτα ὅσα ἄμεινον.* Gr. 46, 5 A. 4.

4 ὅσα ἀναγκάζονται. ὁ δὲ Δημοσθένης ξτύγχανέ τε τὰ πλείω
ἐν πόνῳ ξυνεχεστέρῳ ὢν διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι αὐτῷ
πρώιῳ ἐπικεῖσθαι τοὺς πολεμίους καὶ τότε γνοὺς τοὺς Συ-
ρακοσίους διώκονιας οὐ προὐχώρει μᾶλλον ἢ ἐς μάχην ξυν-
ετάσσετο, ἕως ἐνδιατρίβων κυκλοῦταί τε ὑπ' αὐτῶν καὶ ἐν
πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ' αὐτοῦ Ἀθηναῖοι ἦσαν·
5 ἀνειληθέντες γὰρ ἔς τι χωρίον ᾧ κύκλῳ μὲν τειχίον περιῆν,
ὁδὸς δὲ ἔνθεν τε καὶ ἔνθεν, ἑλόας δὲ οὐκ ὀλίγας εἶχεν,
ἐβάλλοντο περισταδόν. τοιαύταις δὲ προσβολαῖς καὶ οὐ
6 ξυσταδὸν μάχαις οἱ Συρακόσιοι εἰκότως ἐχρῶντο· τὸ γὰρ
ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπονενοημένους οὐ πρὸς
ἐκείνων μᾶλλον ἦν ἔτι ἢ πρὸς τῶν Ἀθηναίων, καὶ ἅμα
φειδώ τέ τις ἐγίγνετο ἐπ' εὐπραγίᾳ ἤδη σαφεῖ μὴ προανα-
λωθῆναί τῳ καὶ ἐνόμιζον καὶ ὡς ταύτῃ τῇ ἰδέᾳ καταδαμα-
82 σάμενοι λήψεσθαι αὐτούς. ἐπειδὴ γοῦν δι' ἡμέρας βάλλοντες
πανταχόθεν τοὺς Ἀθηναίους καὶ ξυμμάχους ἑώρων ἤδη τε-
ταλαιπωρημένους τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κακώσει,
κήρυγμα ποιοῦνται Γύλιππος καὶ Συρακόσιοι καὶ οἱ ξύμ-
μαχοι πρῶτον μέν, τῶν νησιωτῶν εἴ τις βούλεται, ἐπ' ἐλευ-

---

§ 4. πόνῳ für πόνῳ τε eine gute Hſ. — καὶ ἐν für καί dieſelbe.

§ 5. ἀνειληθέντες zurückgedrängt. Arr. An. 4, 5, 8: ἀνείλουν ἐς τὸν ποταμόν. (Arn.) συνειληθέντες vermuthete Lob. z. Phryn. p. 29; συστραφέντες erklärt der Sch. — ἔνθεν τε. τε fehlt in einigen ſchlechten Hſn. und gewöhnlich ſagte man ἔνθεν καὶ ἔνθεν. (Pp.) Doch ἔνθεν τε καὶ ἔνθεν auch Plat. Kriti. 117, c u. 118, d. (Hertlein Ms.) — ἔνθεν erg. ἦν aus περιῆν. Gr. 62, 4 A. 1. — τε nach ἐβάλλοντο iſt mit einer guten Hſ. getilgt. — περισταδόν auch Her. 7, 225 u. Arr. An. 5, 17, 3. (Bl.) vgl. Spitzner zu Il. ν, 551. — ξυσταδόν, ἤγουν ἐκ τοῦ πλησίον. (Sch.) Herodi. 6, 7, 19: πρὸς τὴν συσταδὸν μάχην. (Bl.) συστάδην Pol. 3, 73, 8. 13, 3, 7. 16, 4, 13. Diod. 11, 7: συστάδην οὔσης τῆς μάχης. Ueber die Verbindung ohne Artikel. Gr. 50, 8 A. 19.

§ 6. ἀπονενοημένους. Xen. Hell. 7, 5, 12: τοῖς ἀπονενοημένοις οὐδεὶς ἂν ὑποσταίη. (Bl.) — φειδώ. ἐφείδετο αὐτός τις ἑαυτοῦ ὥστε μὴ προαναλωθῆναι. Sch., der τῷ richtig mit φειδώ τις ἐγένετο zu verbinden ſcheint. (Pp.) — προαναλωθῆναι vor dem Genuß ihrer Vortheile aufgerieben würden. (Hl.) — ταύτῃ τῇ ἰδέᾳ, ἤγουν τούτῳ τῷ τρόπῳ τῆς μάχης. (Sch.) zu 1, 109, 1. — καταδαμασάμενοι, poetiſch. Gr. B. 2 § 39 unter δάμνημι.

C. 82. § 1. ἐπ' ἐλευθερίᾳ, unter der Bedingung daß ſie nicht

θερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί. ἔπειτα δ' ὕστερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας 2
τοὺς μετὰ Λημοσθένους ὁμολογία γίγνεται ὥστε ὅπλα τε παραδοῦναι καὶ μὴ ἀποθανεῖν μηδένα μήτε βιαίως μήτε δεσμοῖς μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης. καὶ παρέ- 3
δοσαν οἱ πάντες σφᾶς αὐτοὺς ἑξακισχίλιοι, καὶ τὸ ἀργύριον ὃ εἶχον ἅπαν κατέθεσαν ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας, καὶ ἐνέπλησαν ἀσπίδας τέσσαρας. καὶ τούτους μὲν εὐθὺς ἀπεκόμιζον ἐς τὴν πόλιν· Νικίας δὲ καὶ οἱ μετ' αὐτοῦ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνοῦνται ἐπὶ τὸν ποταμὸν τὸν Ἐρινεὸν καὶ διαβὰς πρὸς μετέωρόν τι καθῖσε τὴν στρατιάν.

Οἱ δὲ Συρακόσιοι τῇ ὑστεραίᾳ καταλαβόντες αὐτὸν ἔλε- 83
γον ὅτι οἱ μετὰ Λημοσθένους παραδεδώκοιεν σφᾶς αὐτούς, κελεύοντες κἀκεῖνον τὸ αὐτὸ δρᾶν· ὁ δ' ἀπιστῶν σπένδεται ἱππέα πέμψαι σκεψόμενον. ὡς δ' οἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, ἐπιχηρυκεύεται Γυλίππῳ καὶ Συρακοσίοις εἶναι ἑτοῖμος ὑπὲρ Ἀθηναίων ξυμβῆναι, ὅσα ἀνάλωσαν χρήματα Συρακόσιοι ἐς τὸν πόλεμον, ταῦτ' ἀποδοῦναι, ὥστε τὴν μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς· μέχρι οὗ δ' ἂν τὰ 2
χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν Ἀθηναίων ὁμήρους, ἕνα κατὰ τάλαντον. οἱ δὲ Συρακόσιοι καὶ Γύλιππος οὐ προσεδέχοντο τοὺς λόγους, ἀλλὰ προσπεσόντες καὶ περιστάντες πανταχόθεν ἔβαλλον καὶ τούτους μέχρι ὀψέ. εἶχον δὲ καὶ οἵτοι πονήρως σίτου τε καὶ τῶν ἄλλων ἐπιτηδείων ἀπορίᾳ. ὅμως δὲ τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον ἔμελλον πορεύ- 3

ἀνδράποδα werden sollten. Gr. 68, 41 A. 7. — τινες πόλεις, πόλεων τινῶν ἄνδρες. — ἀπιέναι. Gr. 55, 3 A. 13.

§ 2. ἔπειτα ὕστερον. zu 2, 9, 1. — ὅπλα ohne Artikel ist hier auffallend, wenn nicht καὶ χρήματα ausgefallen ist. vgl. § 3.

§ 3. οἱ πάντες. Gr. 50, 11 A. 12. — ὑπτίας von Schilden auch Ar. Ach. 583, Ly. 185 u. Xen. Hell. 5, 4, 18. — τέσσαρας. Nicht mehr? — ταύτῃ für αὐτῇ eine gute Hs.

C. 83. § 1. κελεύοντες gehört zu Συρακόσιοι. (Va.)

§ 2. οὗ δ' ἄν. δ' οὗ ἄν eine gute Hs. — ἕνα κατὰ τάλαντον. Denn ein Talent war ungefähr das Lösegeld eines Freien. Dorvill. z. Char. p. 286. (Gö.) — ἄλλων fehlt in vielen und den besten Hsn.; Va. las es. — μέχρι ὀψέ. Gr. 66, 1 A. 4.

§ 3. τὸ ἡσυχάζον die Stille, Ruhe. Gr. 43, 4 A. 27. —

εσθαι. καὶ ἀναλαμβάνουσί τε τὰ ὅπλα καὶ οἱ Συρακόσιοι αἰσθάνονται καὶ ἐπαιώνισαν. γνόντες δὲ οἱ Ἀθηναῖοι ὅτι οὐ λανθάνουσιν κατέθεντο πάλιν πλὴν τριακοσίων μάλιστα ἀνδρῶν· οὗτοι δὲ διὰ τῶν φυλάκων βιασάμενοι ἐχώρουν
84 τῆς νυκτὸς ᾗ ἐδύναντο. Νικίας δ' ἐπειδὴ ἡμέρα ἐγένετο ἦγε τὴν στρατιάν· οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες. καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον
ποταμόν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου οἰόμενοι ῥᾷόν
2 τι σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμόν, ἅμα δ' ὑπὸ τῆς ταλαιπωρίας καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐσπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ πᾶς τέ τις διαβῆναι αὐτὸς πρῶτος βουλόμενος καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν· ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν ἐπέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς δι-
3 εφθείροντο οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον. ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακόσιοι, ἦν δὲ κρημνῶδες, ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν

πορεύεσθαι für πορεύσεσθαι mehrere Hfn. — κατέθεντο, τὰ ὅπλα. (Sch.) — οὗτοι. Ueber sie 7, 85, 2. (Pp.) — βιασάμενοι, διελθόντες σὺν βίᾳ. (Sch.)

C. 84. § 1. ἅμα μέν gehört wenigstens der Sache nach zu οἰόμενοι, wofür βιαζόμενοι — ὄχλου den Grund angibt. — οἰόμενοι. οἰόμενοι δέ eine Hs.

§ 2. πᾶς τις. Gr. 51, 16 A. 11. Durch τε — καὶ werden πᾶς τις βουλόμενος und οἱ πολέμιοι ἐπικείμενοι verbunden. Wie konnte man hier einen Wechsel der Structur finden? — περί an. Luk. ξητ. διδ. 3: πολλὰ τραύματα λαμβάνοντες περὶ τραχείαις ταῖς πέτραις. Plut. Sulla 18: κατὰ πρανοῦς φερόμενοι τοῖς δίφροις περιέπιπτον αὐτοὶ τοῖς ἑαυτῶν. (Jacobs.) — ἐμπαλασσόμενοι κατέρρεον, ἀντὶ τοῦ ἐμπλεκόμενοι κατέπιπτον. (Sch.) Dies ist mit σκεύεσι wie διεφθείροντο mit δορατίοις zu verbinden (Arn.) vgl. Lobeck Pathol. p. 88.

§ 3. κρημνῶδες. zu 6, 101, 2. — κοίλῳ mit abschüssigen liefern. (Hl.) Polyb. 22, 20, 4: ἐγεφύρωσε τὸν Σαγγάριον ποταμόν, τελέως κοῖλον ὄντα καὶ δύσβατον. (Jacobs.) Wie Kaltwasser er-

σφίσιν αὐτοῖς ταρασσομένους. οἵ τε Πελοποννήσιοι ἐπικατα-
βάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον. καὶ τὸ ὕδωρ
εὐθὺς διέφθαρτο, ἀλλ' οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ
πηλῷ ἡματωμένον καὶ περιμάχητον ἦν τοῖς πολλοῖς. τέλος 85
δὲ νεκρῶν τε πολλῶν ἐπ' ἀλλήλοις ἤδη κειμένων ἐν τῷ πο-
ταμῷ καὶ διεφθαρμένου τοῦ στρατεύματος τοῦ μὲν κατὰ τὸν
ποταμόν, τοῦ δὲ καὶ, εἴ τι διαφύγοι, ὑπὸ τῶν ἱππέων, Νι-
κίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι, πιστεύσας μᾶλλον αὐτῷ
ἢ τοῖς Συρακοσίοις· καὶ ἑαυτῷ μὲν χρῆσθαι ἐκέλευεν ἐκεῖ-
νόν τε καὶ Λακεδαιμονίους ὅ τι βούλονται, τοὺς δὲ ἄλλους
στρατιώτας παύσασθαι φονεύοντας. καὶ ὁ Γύλιππος μετὰ 2
τοῦτο ζωγρεῖν ἤδη ἐκέλευεν· καὶ τούς τε λοιπούς, ὅσους μὴ
ἀπεκρύψαντο — πολλοὶ δὲ οὗτοι ἐγένοντο —, ξυνεκόμισαν
ζῶντας, καὶ ἐπὶ τοὺς τριακοσίους, οἳ τὴν φυλακὴν διεξῆλθον
τῆς νυκτός, πέμψαντες τοὺς διωξομένους ξυνέλαβον. τὸ μὲν
οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν οὐ πολὺ ἐγέ-
νετο, τὸ δὲ διαχλαπὲν πολύ, καὶ διεπλήσθη πᾶσα Σικελία 3
αὐτῶν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ὥσπερ τῶν μετὰ Δημοσθέ-
νους ληφθέντων. μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανεν·
πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν
τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. καὶ ἐν ταῖς ἄλλαις 4
προσβολαῖς ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις οὐκ
ὀλίγοι ἐτεθνήκεσαν. πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν
καὶ παραυτίκα, οἱ δὲ καὶ δουλεύσαντες καὶ διαδιδράσκοντες
ὕστερον· τούτοις δ' ἦν ἀναχώρησις ἐς Κατάνην.

---

klärt auch Nitzsch z. Od. Th. 3 S. 9 *κοῖλος ποταμός* von einem tiefgehenden, leeren, mit seichtem Wasser sein Bett nicht füllenden Strome. Gewiß richtig. Plut. Cam. 3: *οἱ δὲ ποταμοὶ πάντες ὥσπερ ἀεὶ κοῖλοι καὶ ταπεινοὶ διὰ θέρους ἐρρύησαν.* vgl. de Is. et Os. 39, Plat. Quaestt. 7, 8 u. Athen. 9, 388, a, welche Stelle Pape unter *κοῖλος* unrichtig versteht. (Hertlein Ms.) — *περιμάχητον λέγεται τὸ περιτίμιον, περὶ οὗ τινες ἀλλήλοις διαμάχονται, ἵνα τούτου κρατῶσι καὶ τοῦτο κτῶνται.* (Sch.) Ar. Thesm. 319. (Gram.)

C. 85. § 1. *τοῦ δὲ καί.* Gr. 69, 32 A. 15. — *ὅ τι βούλονται.* zu 2, 4, 4.

§ 2. *ἀπεκρύψαντο* verbargen für sich. (Pp.) — *τοὺς τριακοσίους* 7, 83, 3. (Pp.) — *ξυνέλαβον.* Gr. 60, 5 A. 5.

§ 3. *διεπλήσθη* für *κατεπλήσθη* viele und die besten Hss; *δια* — bezieht sich auf die Vertheilung. — *Σικελικῷ* tilgen Dobree u. Kr.

§ 4. *δουλεύσαντες καὶ διαδιδράσκοντες.* Gr. 56, 14 A. 1. — *ἀναχώρησις ἐς K.* Ein Beispiel Lys. 20, 24 (Hertlein Ms.)

86 Ξυναθροισθέντες δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι τῶν τε αἰχμαλώτων ὅσους ἐδύναντα πλείστους καὶ τὰ σκῦλα ἀναλαβόντες ἀνεχώρησαν ἐς τὴν πόλιν. καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων ὑπόσους ἔλαβον κατεβίβασαν ἐς τὰς λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες τήρησιν, Νικίαν δὲ καὶ Δημοσθένην ἄκοντος τοῦ Γυλίππου ἀπέσφαξαν. 2 ὁ γὰρ Γύλιππος καλὸν τὸ ἀγώνισμα ἐνόμιζέν οἱ εἶναι ἐπὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατήγους κομίσαι Λακεδαιμονίοις. ξυνέβαινε δὲ τὸν μὲν πολεμιώτατον αὐτοῖς εἶναι, Δημοσθένην, διὰ τὰ ἐν τῇ νήσῳ καὶ Πύλῳ, τὸν δὲ διὰ τὰ αὐτὰ ἐπι- 3 τηδειότατον· τοὺς γὰρ ἐκ τῆς νήσου ἄνδρας τῶν Λακεδαιμονίων ὁ Νικίας προὐθυμήθη, σπονδὰς πείσας τοὺς Ἀθηναίους ποιήσασθαι, ὥσιε ἀφεθῆναι. ἀνθ' ὧν οἵ τε Λακεδαιμόνιοι ἦσαν αὐτῷ προσφιλεῖς κἀκεῖνος οὐχ ἥκιστα διὰ τοῦτο πι- 4 στεύσας ἑαυτὸν τῷ Γυλίππῳ παρέδωκεν. ἀλλὰ τῶν Συρακοσίων τινές, ὡς ἐλέγετο, οἱ μὲν δείσαντες, ὅτι πρὸς αὐτὸν ἐκεκοινολόγηντο, μὴ βασανιζόμενος διὰ τὸ τοιοῦτο ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ, ἄλλοι δέ, καὶ οὐχ ἥκιστα οἱ Κορίνθιοι, μὴ χρήμασι δὴ πείσας τινάς, ὅτι πλούσιος ἦν, ἀποδρᾷ καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ' αὐτοῦ γένηται, πείσαντες τοὺς ξυμμάχους ἀπέκτειναν αὐτόν. καὶ ὁ μὲν τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθνήκει, ἥκιστα δὴ ἄξιος ὢν τῶν γ' ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι 87 διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν. τοὺς

C. 86. § 1. *ἀναλαβόντες. λαβόντες* mehrere und gute Hſn. — *τήν* vor *τήρησιν* iſt mit vielen und guten Hſn. getilgt. vgl. 7, 42, 5. (Arn.) — *τήρησιν, φυλακήν.* (Sch.) — *ἄκοντος τοῦ Γ.* Gr. 47, 4 A. 6.

§ 2. *ἀγώνισμα, ἔπαθλον* Suid. zu Ar. Frö. 284: *λαβεῖν ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ.* (Dr.) vgl. 59, 1. — *Δημοσθένην.* Gr. 50, 1 A. 11. — *νήσῳ*, Sphakteria.

§ 3. *ὥστε* gehört zu *προὐθυμήθη.* (Sch.) vgl. zu 1, 119. — *διὰ τοῦτο* hat nur eine gute Hſ.

§ 4. *ὡς ἐλέγετο*, nicht *ὡς ἐλέγοντο*, weil hier weniger die Perſonen als die Thatſache in Betracht zu ziehen. Gr. 55, 4 A. 2 u. 3. — *οἱ μέν* nach *τινές.* zu 5, 54, 3. Genauer geſtellt wäre *δείσαντες οἱ μέν.* — *δή* hat nur eine gute Hſ., mit der *τέ* nach *πείσαντες* getilgt iſt. — *ἐγγύτατα* iſt hier adjectiviſch: *ἡ ἐγγὺς αἰτία.* — *πᾶσαν ἐς ἀρετήν* iſt aus mehrern Hſn. hinzugefügt. Der Sinn: wegen

δ' ἐν ταῖς λιθοτομίαις οἱ Συρακόσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν. ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας καὶ ὀλίγῳ πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον, πάντα τε ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ αὐτῷ καὶ 2
προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἳ ἔκ τε τῶν τραυμάτων καὶ διὰ τὴν μεταβολὴν καὶ τὸ τοιοῦτον ἀπέθνησκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί, καὶ λιμῷ ἅμα καὶ
δίψει ἐπιέζοντο· ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας 3
κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου. ἄλλα τε ὅσα εἰκὸς ἐν τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι, οὐδὲν ὅ τι οὐκ ἐπεγένετο αὐτοῖς. καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας 4
οὕτω διῃτήθησαν ἀθρόοι· ἔπειτα πλὴν Ἀθηναίων καὶ εἴ τινες Σικελιωτῶν ἢ Ἰταλιωτῶν ξυνεσιράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν ἐξειπεῖν, ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων. ξυνέβη 5
τε ἔργον τοῦτο Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, δοκεῖν δ' ἔμοιγε καὶ ὧν ἀκοῇ Ἑλληνικῶν

---

seiner völligen, allseitigen, den in Bezug auf Tugend bestehenden sittlichen Ansichten gemäßen Bestrebungen, namentlich rücksichtlich der Religiosität und Gesetzmäßigkeit. (Pp.?) Aehnlich ἐς τὸ θεῖον νόμισις 5, 105, 1. (Didot.) — ἐς τὸ θεῖον nach νενομισμένην ist mit vielen und den besten Hss. getilgt.

C. 87. § 1. μετεχείρισαν, περιεῖπον. (Sch.) — οἱ ἥλιοι im Plural von der Sonnenhitze auch bei Ael. v. Ge. 13, 1 u. Dion. Per. 40. (Dr.) Gr. 44, 3 A. 6. So ψύχη, θάλπη, καύματα. (Jacobs.) — τὸ πρῶτον steht wohl im Gegensatze zu der spätern, winterlichen Jahreszeit. — μεταβολῇ. Her. 2, 77: ἐν τῇσι μεταβολῇσι τοῖσι ἀνθρώποισι αἱ νοῦσοι μάλιστα γίγνονται τῶν τε ἄλλων πάντων καὶ δὴ καὶ τῶν ὡρέων μάλιστα. — ἐς ἀσθένειαν ἐνεωτέριζον. Ungewöhnlich; doch ähnlich Arr. An. 4, 8, 2: ἐς τὸ βαρβαρικώτερον νενεωτέριστο. 7, 13, 3: μή τι νεωτερισθείη ἐς ὕβριν. (Bl.)

§ 2. πάντα ποιούντων. διὰ τὸ δύσημον ἀπεσιώπησεν αὐτὰ ὀνομασιὶ εἰπεῖν. βούλεται δὲ λέγειν τὰ ὑποχωρήματα, ἅπερ οἱ ἰατροὶ σκύβαλα καὶ ἀποπατήματα εἰώθασι καλεῖν. (Sch.) — ἀνεκτός als Fem. schon Il. 11, 610 u. Simonides bei Stob. 3 p. 63 Gaisf. (Pp.) — λιμῷ. vgl. Dem. 20, 42. (Hertlein Ms.)

§ 3. κοτύλη war ein Viertel Choinix. vgl. 4, 16, 2. — ἄλλα τε ὅσα für ὅσα τε ἄλλα. Gr. 51, 10 A. 10. — ἐν. Gr. 68, 12 A. 2.

§ 5. δοκεῖν. Gr. 55, 1 A. 3. vgl. 8, 64, 4.

ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον καὶ τοῖς διαφθα-
6 ρεῖσι δυστυχέσιατον· κατὰ πάντα γὰρ πάντως νικηθέντες καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δὴ τὸ λεγόμενον καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅ τι οὐκ ἀπώλετο, καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἶκου ἀπενόστησαν. ταῦτα μὲν τὰ περὶ Σικελίαν γενόμενα.

H.

1 Ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγέλθη, ἐπὶ πολὺ μὲν ἠπίστουν καὶ τοῖς πάνυ τῶν στρατιωτῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγόσι καὶ σαφῶς ἀγγέλλουσι, μὴ οὕτω γε ἄγαν πανσυδὶ διεφθάρθαι· ἐπειδὴ δὲ ἔγνωσαν, χαλεποὶ μὲν ἦσαν τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν, ὥσπερ οὐκ αὐτοὶ ψηφισάμενοι, ὠργίζοντο δὲ καὶ τοῖς χρησμολόγοις τε καὶ μάντεσι καὶ ὁπόσοι τι τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς
2 λήψονται Σικελίαν. πάντα δὲ πανταχόθεν αὐτοὺς ἐλύπει τε καὶ περιειστήκει ἐπὶ τῷ γεγενημένῳ φόβος τε καὶ κατάπληξις

---

§ 6. *πάντα πάντως.* Beiſpiele dieſer Paronomaſie bei Lobeck Parall. p. 57 f. — *ὀλίγον οὐδὲν ἐς οὐδέν, ἐν παντὶ πράγματι μεγάλως.* (Sch.) vgl. zu 2, 8, 1. — *κακοπαθήσαντες* für *κακοπαθησάντων* weil das Subject mit *πεζός* zuſammenfällt und ſelbſt bei *νῆες* auch *ναῦται* wenigſtens mitgedacht werden. — *πανωλεθρίᾳ. πανώλεθρον κακόν* Her. 6, 85. — *γενόμενα* erg. *ἦν.* zu 2, 54, 4 u. 4, 41, 4.

C. 1. § 1. *τοῖς πάνυ* den ausgezeichnetſten. (St.) So *οἱ πάνυ στρατηγοί* 8, 89, 2. vgl Hermann de ell et pleon. p. 122. — *μή* ſchließt ſich an *ἠπίστουν* an. vgl. zu 1, 10, 1. — *πανσυδί* für *πανσυδεί* die beſten Hſn, *πασσυδί* eine Hſ. — *τοῖς ξυμπροθυμηθεῖσι τὸν ἔκπλουν.* So *συμπροθυμεῖσθαι ταῦτα* Xen. Cyr. 6, 1, 19. (Bl.) vgl. zu 5, 17, 1. — *χρησμολόγοις.* zu 2, 8, 2. — *θειάσαντες, θεῖά τινα φθεγξάμενοι.* (Sch.) — *ἐπήλπισαν, εἰς ἐλπίδας ἐνέβαλον.* (Sch.)

μεγίστη δή. ἅμα μὲν γὰρ στερόμενοι καὶ ἰδίᾳ ἕκαστος καὶ ἡ πόλις ὁπλιτῶν τε πολλῶν καὶ ἱππέων καὶ ἡλικίας οἵαν οὐχ ἑτέραν ἐώρων ὑπάρχουσαν ἐβιαῦτο· ἅμα δὲ ναῦς οὐχ ὁρῶντες ἐν τοῖς νεωσοίκοις ἱκανὰς οὐδὲ χρήματα ἐν τῷ κοινῷ οὐδ' ὑπηρεσίας ταῖς ναυσὶν ἀνέλπιστοι ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι, τούς τε ἀπὸ τῆς Σικελίας πολεμίους εὐθὺς σφίσιν ἐνόμιζον τῷ ναυτικῷ ἐπὶ τὸν Πειραιᾶ πλευσεῖσθαι, ἄλλως τε καὶ τοσοῦτον κρατήσαντας, καὶ τοὺς αὐτόθεν πολεμίους τότε δὴ καὶ διπλασίως πάντα παρεσκευασμένους κατὰ κράτος ἤδη καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης ἐπικείσεσθαι καὶ τοὺς ξυμμάχους σφῶν μετ' αὐτῶν ἀποστάντας. ὅμως δὲ ὡς 4
ἐκ τῶν ὑπαρχόντων ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικόν, ὅθεν ἂν δύνωνται ξύλα ξυμπορισαμένους καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι, καὶ μάλιστα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πόλιν τι ἐς εὐτέλειαν σωφρονίσαι καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν καιρὸς ᾖ προβουλεύσουσιν. πάντα τε πρὸς τὸ παραχρῆμα περιδεές, 5
ὅπερ φιλεῖ δῆμος ποιεῖν, ἑτοῖμοι ἦσαν εὐταχτεῖν. καὶ ὡς ἔδοξεν αὐτοῖς, καὶ ἐποίουν ταῦτα, καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος πρὸς τὴν ἐκ τῆς Σικε- 2
λίας τῶν Ἀθηναίων μεγάλην κακοπραγίαν εὐθὺς οἱ Ἕλληνες πάντες ἐπηρμένοι ἦσαν, οἱ μὲν μηδετέρων ὄντες ξύμμαχοι

---

§ 2. ἰδίᾳ ἕκαστος, ἀνδρῶν ξυγγενῶν schwebt aus dem Folgenden vor. (Hk. u. Ds.) — ἡλικίας zu 3, 67, 2. — ἐν τῷ κοινῷ. zu 1, 80, 3. — ὑπηρεσίας. zu 1, 143, 1. — ἀνέλπιστοι. zu 6, 17, 6.

§ 3. σφῶν, τῶν Ἀθηναίων. (Sch.)

§ 4. παρασκευάζεσθαι würde man nach ναυτικόν erwarten. — τὰ τῶν ξυμμάχων. zu 2, 13, 2. — ὅθεν ἂν δύνωνται gehört zu ξυμπορισαμένους. (Ps.) vgl. 7, 20, 2. — ἐς ἀσφάλειαν ποιεῖσθαι. zu 3, 3, 3. — τῶν κατὰ τὴν πόλιν τι. z. B. den Aufwand bei Festen, Opfern, Spielen. (Dr.) — ἐς εὐτέλειαν. 8, 4: ξυστελλόμενοι ἐς εὐτέλειαν. (Dr.) 8, 86, 5: ἐς εὐτέλειαν ξυντέτμηται. (Abr.) — προβουλεύσουσιν vorberathen sollten, ehe die Angelegenheiten andern Behörden und dem Volke vorgetragen würden. (A. Ps.) vgl. Aristot. Pol. 4, 11, 9. 12, 8, Ar. Ach. 755, Lys. 421. 467. 609 u. Kr. z. Dion. p. 273. 375.

§ 5. ὡς ἔδοξεν αὐτοῖς, καί. zu 2, 93, 3.

C. 2. § 1. τὴν ἐκ. zu 3, 102, 2. — ἐπηρμένοι, ὑπερηφα-

ὡς ἤν τις καὶ μὴ παρακαλῇ σφᾶς, οὐκ ἀποστατέον ἔτι τοῦ πολέμου εἴη, ἀλλ' ἐθελοντὶ ἰτέον ἐπὶ τοὺς Ἀθηναίους, νομίσαντες κἂν ἐπὶ σφᾶς ἕκαστοι ἐλθεῖν αὐτούς, εἰ τὰ ἐν τῇ Σικελίᾳ κατώρθωσαν, καὶ ἅμα [ἡγούμενοι] βραχὺν ἔσεσθαι
2 τὸν λοιπὸν πόλεμον, οὗ μετασχεῖν καλὸν εἶναι, οἱ δ' αὖ τῶν Λακεδαιμονίων ξύμμαχοι ξυμπροθυμηθέντες ἐπὶ πλέον ἢ πρὶν ἀπαλλάξεσθαι διὰ τάχους πολλῆς ταλαιπωρίας. μάλιστα δὲ οἱ τῶν Ἀθηναίων ὑπήκοοι ἑτοῖμοι ἦσαν καὶ παρὰ δύναμιν αὐτῶν ἀφίστασθαι, διὰ τὸ ὀργῶντες κρίνειν τὰ πράγματα καὶ μηδ' ὑπολείπειν λόγον αὐτοῖς ὡς τό γ' ἐπιὸν θέρος οἷοί τ' ἔσονται περιγενέσθαι. ἡ δὲ τῶν Λακεδαιμονίων πόλις πᾶσί τε τούτοις ἐθάρσει καὶ μάλιστα ὅτι οἱ ἐκ τῆς Σικελίας αὐτοῖς ξύμμαχοι πολλῇ δυνάμει, κατ' ἀνάγκην ἤδη τοῦ ναυτικοῦ προσγεγενημένου, ἅμα τῷ ἦρι ὡς εἰκὸς
3 παρέσεσθαι ἔμελλον. πανταχόθεν δ' εὐέλπιδες ὄντες ἀπροφασίστως ἅπτεσθαι διενοοῦντο τοῦ πολέμου, λογιζόμενοι καλῶς τελευτήσαντος αὐτοῦ κινδύνων τε τοιούτων ἀπηλλάχθαι ἂν τὸ λοιπὸν οἷος καὶ ὁ ἀπὸ τῶν Ἀθηναίων περιέστη ἂν αὐτούς, εἰ τὸ Σικελικὸν προσέλαβον, καὶ καθελόντες ἐκείνους
3 αὐτοὶ τῆς πάσης Ἑλλάδος ἤδη ἀσφαλῶς ἡγήσεσθαι. εὐθὺς οὖν Ἄγις μὲν ὁ βασιλεὺς αὐτῶν ἐν τῷ χειμῶνι τούτῳ ὁρμηθεὶς στρατῷ τινι ἐκ Δεκελείας τά τε τῶν ξυμμάχων ἠργυρολόγησεν ἐς τὸ ναυτικόν, καὶ τραπόμενος ἐπὶ τοῦ Μηλιέως

νεύμενοι, καὶ ἀντὶ τοῦ πρόχειροι καὶ εὐτρεπεῖς. (Zon. p 835.) — μηδετέρων. ἦγουν Ἀθηναίων καὶ Πελοποννησίων. (Sch.) Ueber μή Gr. 67, 8. — ἀποστατέον. vgl. 7, 7, 2. — κἂν ἐλθεῖν, ὅτι κἂν ἦλθον. Gr. 69, 7 A. 1, 4. — ἡγούμενοι haben nicht eine gute Hs. u. Va.

§ 2. αὐτῶν gehört zu ἀφίστασθαι. (Ps.) — ὀργῶντες. zu 2, 21, 3. — ὑπολείπειν λόγον die Möglichkeit der Behauptung einräumen. vgl. 8, 24, 4: οὐδ' αὐτοὺς ἀντιλέγοντας ἔτι. Aehnlich steht ὑπολείπειν λόγον bei Antiph. 3, β, 4. (vgl. 5, 16.) Andok. 3, 18, Isokr. 4, 146, Isä. 1, 33. (Kr.) vgl. ἀντιλογία 2, 87, 2. — κατ' ἀνάγκην ἤδη gehört zu προσγεγενημένου: da sie nothgedrungen auch zu einer Flotte gekommen seien. (Ps.)

§ 3. πανταχόθεν. vgl. 2, 59, 2. 3, 53, 3 u. zu 1, 124, 1. — ἀπροφασίστως, ἄνευ τῆς [του!] προφάσεως. (Sch.) vgl. 1, 49, 5. 3, 82, 5 u. 6, 83, 1. — ἀπηλλάχθαι ἄν. zu 2, 102, 5. — τὸ Σικελικόν. Gr. 43, 4 A. 17.

C. 3. § 1. ἐς τὸ ναυτικόν zur Anschaffung einer Flotte Va. Vielmehr: zur Erhaltung der Flotte. zu 6, 8, 1. — Μη-

κόλπου Οἰταίων τε κατὰ τὴν παλαιὰν ἔχθραν τῆς λείας τὴν 2
πολλὴν ἀπολαβὼν χρήματα ἐπράξατο καὶ Ἀχαιοὺς τοὺς
Φθιώτας καὶ τοὺς ἄλλους τοὺς ταύτῃ Θεσσαλῶν ὑπηκόους
μεμφομένων καὶ ἀκόντων τῶν Θεσσαλῶν ὁμήρους τέ
τινας ἠνάγκασε δοῦναι καὶ χρήματα, καὶ κατέθετο τοὺς ὁμή-
ρους ἐς Κόρινθον, ἔς τε τὴν ξυμμαχίαν ἐπειρᾶτο προσάγειν.
Λακεδαιμόνιοι δὲ τὴν πρόσταξιν ταῖς πόλεσιν ἑκατὸν νεῶν 3
τῆς ναυπηγίας ἐποιοῦντο, καὶ ἑαυτοῖς μὲν καὶ Βοιωτοῖς πέντε
καὶ εἴκοσιν ἑκατέροις ἔταξαν, Φωκεῦσι δὲ καὶ Λοκροῖς πεν-
τεκαίδεκα καὶ Κορινθίοις πεντεκαίδεκα, Ἀρκάσι δὲ καὶ Πελ-
ληνεῦσι καὶ Σικυωνίοις δέκα, Μεγαρεῦσι δὲ καὶ Τροιζηνίοις
καὶ Ἐπιδαυρίοις καὶ Ἑρμιονεῦσι δέκα· τά τε ἄλλα παρε-
σκευάζοντο ὡς εὐθὺς πρὸς τὸ ἔαρ ἐξόμενοι τοῦ πολέμου.

Παρεσκευάζοντο δὲ καὶ Ἀθηναῖοι, ὥσπερ διενοήθησαν, 4
ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ τήν τε ναυπηγίαν, ξύλα ξυμπο-
ρισάμενοι, καὶ Σούνιον τειχίσαντες, ὅπως αὐτοῖς ἀσφάλεια
ταῖς σιταγωγοῖς ναυσὶν εἴη τοῦ περίπλου, καὶ τό τε ἐν τῇ
Λακωνικῇ τείχισμα ἐκλιπόντες ὃ ἐνῳκοδόμησαν παραπλέοντες
ἐς Σικελίαν καὶ τἆλλα, εἴ πού τι ἐδόκει ἀχρεῖον ἀναλίσκε-
σθαι, ξυστελλόμενοι ἐς εὐτέλειαν, μάλιστα δὲ τὰ τῶν ξυμ-
μάχων διασκοποῦντες ὅπως μὴ σφῶν ἀποστήσονται.

Πρασσόντων δὲ ταῦτα ἀμφοτέρων καὶ ὄντων οὐδὲν ἄλλο 5
ἢ ὥσπερ ἀρχομένων ἐν κατασκευῇ τοῦ πολέμου, πρῶτοι Εὐ-
βοῆς ὡς Ἄγιν περὶ ἀποστάσεως τῶν Ἀθηναίων ἐπρεσβεύ-
σαντο ἐν τῷ χειμῶνι τούτῳ. ὁ δὲ προσδεξάμενος τοὺς λό-

λιέως. Μηλιῶς mehrere, auch gute Hſn. — Οἰταίων hängt von τῆς λείας ab. — κατὰ τὴν παλαιὰν ἔχθραν 3, 92, 1. (Bl.) — λεία Vieh, in antikem Sinne. (Müller.) So ſtehen Xen. Hell. 1, 3, 2 λεία und χρήματα ſynonym. (Arn.) — μεμφομένων, δηλαδὴ τοῖς Λακεδαιμονίοις. (Sch.) — ἀκόντων. Gr. 47, 4 A. 6. — προσάγειν, die Theſſaler oder deren ὑπηκόους? Wohl dieſe. (Ds.)

§ 3. πρόσταξιν, wie προστάσσειν Her. 7, 21; bei Thuk. ſonſt ſo weder dieſes noch jenes.

C. 4. ὅπως — περίπλου. vgl. 7, 28, 1. (Didot.) — τὸ ἐν τῇ Λ. τείχισμα 7, 26, 2. 31, 1. (Dr.) — ξυστελλόμενοι ἀντὶ τοῦ συνάγοντες. (Sch.) zu 8, 1, 4.

C. 5. § 1. ὄντων — πολέμου während ſie nichts anders, in keiner andern Lage, als mit einer, wenn man anfängt oder zur Zeit wo ſie anfingen ſtattfindenden, Einrichtung beſchäftigt

γους αὐτῶν μεταπέμπεται ἐκ Λακεδαίμονος Ἀλκαμένην τὸν Σθενελαΐδου καὶ Μέλανθον ἄρχοντας ὡς ἐς τὴν Εὔβοιαν· οἱ δ' ἦλθον ἔχοντες τῶν νεοδαμωδῶν ὡς τριακοσίους καὶ
2 παρεσκεύαζεν αὐτοῖς τὴν διάβασιν. ἐν τούτῳ δὲ καὶ Λέσβιοι ἦλθον βουλόμενοι καὶ αὐτοὶ ἀποστῆναι· καὶ ξυμπρασσόντων αὐτοῖς τῶν Βοιωτῶν ἀναπείθεται Ἄγις ὥστε Εὐβοίας μὲν πέρι ἐπισχεῖν, τοῖς δὲ Λεσβίοις παρεσκεύαζε τὴν ἀπόστασιν, Ἀλκαμένην τε ἁρμοσιὴν διδούς, ὃς ἐς Εὔβοιαν πλεῖν ἔμελλε, καὶ δέκα μὲν Βοιωτοὶ ναῦς ὑπέσχοντο δέκα δὲ Ἄγις. καὶ
3 ταῦτα ἄνευ τῆς Λακεδαιμονίων πόλεως ἐπράσσετο· ὁ γὰρ Ἄγις ὅσον χρόνον ἦν περὶ Δεκέλειαν ἔχων τὴν μεθ' ἑαυτοῦ δύναμιν, κύριος ἦν καὶ ἀποστέλλειν εἴ ποί τινα ἐβούλετο στρατιὰν καὶ ξυναγείρειν καὶ χρήματα πράσσειν. καὶ πολὺ μᾶλλον, ὡς εἰπεῖν, κατὰ τοῦτον τὸν καιρὸν αὐτοῦ οἱ ξύμ-
μαχοι ὑπήκουον ἢ τῶν ἐν τῇ πόλει Λακεδαιμονίων· δύναμιν
4 γὰρ ἔχων εὐθὺς ἐκασταχόσε δεινὸς παρῆν. καὶ ὁ μὲν τοῖς Λεσβίοις ἔπρασσεν, Χῖοι δὲ καὶ Ἐρυθραῖοι ἀποστῆναι καὶ αὐτοὶ ἑτοῖμοι ὄντες πρὸς μὲν Ἄγιν οὐκ ἐτράποντο, ἐς δὲ τὴν Λακεδαίμονα. καὶ παρὰ Τισσαφέρνους, ὃς βασιλεῖ Δαρείῳ τῷ Ἀρταξέρξου στρατηγὸς ἦν τῶν κάτω, πρεσβευτὴς ἅμα μετ' αὐτῶν παρῆν· ἐπήγετο γὰρ καὶ ὁ Τισσαφέρνης τοὺς
5 Πελοποννησίους καὶ ὑπισχνεῖτο τροφὴν παρέξειν. ὑπὸ βασι-

---

waren. Ueber *οὐδὲν ἄλλο ἤ* Gr. 62, 3 A. 7; über *εἶναι ἐν* zu 2, 80, 2. *Παρασκευή* wäre hier kaum paſſend, da die ganze Art und Weiſe wie ſie ſich zu dem Kriege in Verfaſſung geſetzt, den Gang und die Führung deſſelben gleichſam begründet, zu bezeichnen iſt. — *Ἀλκαμένην. Ἀλκαμένη* hier die beſten Hſn. außer einer. vgl. zu 3, 107, 2. — *ἄρχοντας ὡς ἐς.* So *ἐς* 8, 9, 2. vgl. 7, 2. — *τὴν διάβασιν, εἰς τὴν Εὔβοιαν δηλονότι.* (Sch.)

§ 2. *Ἀλκαμένην τε.* Das *τέ* zu erklären ſcheint man annehmen zu müſſen daß *δίδούς* faſt pleonaſtiſch ſtehe. (Kr. z. Dion. p. 290.) Arn. meint es ſei geſetzt als ſolle folgen *καὶ ναῦς δέκα μὲν αὐτὸς ὑποσχόμενος.* — *ὑπέσχοντο, τοῖς Λεσβίοις δηλονότι.* (Sch.) — *ἄνευ.* zu 1, 91, 4.

§ 3. *εἰ.* Gr. 60, 10 A. 1. — *εὐθύς* für *αὐτός* eine gute Hſ. u. Va.

§ 4. *ἔπρασσε, ἤγουν συνέπραττε.* (Sch.) — *Χῖοι*, deren Oligarchen. vgl. 9, 3. 14, 2. (Pp.) — *τῶν κάτω* der Küſtenbewohner Kleinaſiens. Kr. zu Xen. An. 1, 1, 2 gr. Ausg.

λέως γὰρ νεωστὶ ἐπήγχαινε πεπραγμένος τοὺς ἐκ τῆς ἑαυτοῦ ἀρχῆς φόρους, οὓς δι' Ἀθηναίους ἀπὸ τῶν Ἑλληνίδων πόλεων οὐ δυνάμενος πράσσεσθαι ἐπωφείλησεν· τούς τε οὖν φόρους μᾶλλον ἐνόμιζε κομιεῖσθαι κακώσας τοὺς Ἀθηναίους, καὶ ἅμα βασιλεῖ ξυμμάχους Λακεδαιμονίους ποιήσειν καὶ Ἀμόργην τὸν Πισσούθνου υἱὸν νόθον, ἀφεστιῶτα περὶ Καρίαν, ὥσπερ αὐτῷ προσέταξε βασιλεύς, ἢ ζῶντα ἄξειν ἢ ἀποκτεῖναι.

Οἱ μὲν οὖν Χῖοι καὶ Τισσαφέρνης κοινῇ κατὰ τὸ αὐτὸ 6
ἔπρασσον, Καλλίγειτος δὲ ὁ Λαοφῶντος, Μεγαρεύς, καὶ Τιμαγόρας ὁ Ἀθηναγόρου, Κυζικηνός, φυγάδες τῆς ἑαυτῶν ἀμφότεροι παρὰ Φαρναβάζῳ τῷ Φαρνάκου κατοικοῦντες, ἀφικνοῦνται περὶ τὸν αὐτὸν καιρὸν ἐς τὴν Λακεδαίμονα πέμψαντος Φαρναβάζου, ὅπως ναῦς κομίσειαν ἐς τὸν Ἑλλήσποντον, καὶ αὐτός, εἰ δύναιτο, ἅπερ ὁ Τισσαφέρνης προὐθυμεῖτο, τάς τ' ἐν τῇ ἑαυτοῦ ἀρχῇ πόλεις ἀποστήσειε τῶν Ἀθηναίων διὰ τοὺς φόρους καὶ ἀφ' ἑαυτοῦ βασιλεῖ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων ποιήσειεν. πρασσόντων δὲ 2
ταῦτα χωρὶς ἑκατέρων, τῶν τε ἀπὸ τοῦ Φαρναβάζου καὶ τῶν ἀπὸ τοῦ Τισσαφέρνους, πολλὴ ἅμιλλα ἐγίγνετο τῶν ἐν τῇ Λακεδαίμονι, ὅπως οἱ μὲν ἐς τὴν Ἰωνίαν καὶ Χίον οἱ δ' ἐς τὸν Ἑλλήσποντον πρότερον ναῦς καὶ στρατιὰν πείσουσι πέμπειν. οἱ μέντοι Λακεδαιμόνιοι τὰ τῶν Χίων καὶ Τισσα- 3
φέρνους παρὰ πολὺ προσεδέξαντο μᾶλλον· ξυνέπρασσε γὰρ αὐτοῖς καὶ Ἀλκιβιάδης, Ἐνδίῳ ἐφορεύοντι πατρικὸς ἐς τὰ μάλιστα ξένος ὤν, ὅθεν καὶ τοὔνομα Λακωνικὸν ἡ οἰκία αὐτῶν κατὰ τὴν ξενίαν ἔσχεν· Ἔνδιος γὰρ Ἀλκιβιάδου ἑκα-

---

§ 5. *πεπραγμένος ἀντὶ τοῦ ἀπῃτημένος.* (Sch.) — *τόν* vor *Πισσούθνου* ist zu tilgen oder nach dem Namen ein Komma zu setzen. (Pp.) Auch die gewöhnliche Verbindung ist statthaft. Gr. 50, 9 A. 8. — *περί.* zu 1, 14, 2. — *ἀποκτεῖναι* für *ἀποκτείνειν* eine gute Hs. Gr. 53, 1 A. 10. — *κατὰ τὸ αὐτό, ἤγουν ὁμογνωμονοῦντες.* (Sch.)

C. 6. § 1. *φυγάδες τῆς ἑαυτῶν.* zu 6, 92, 2. — *πέμψαντος Φ.* zu 1, 89, 2. — *ἅπερ προὐθυμεῖτο.* zu 5, 17, 1. — *διὰ ταχέων* vor *ποιήσειε* ist mit den besten Hsn. ausgelassen; einige *διὰ τὰ τῶν Χίων.* — *ἀφ' ἑαυτοῦ* hier durch seine Vermittelung. (Ps.) Oder *ἐφ' ἑαυτοῦ*?

§ 2. *τῶν ἐν. αὐτῶν ἐν* Haase.

§ 3. *ἐς τὰ μάλιστα, ὑπερβαλλόντως.* (Sch.) vgl. 6, 104, 3. — *τοὔνομα.* Gr. 50, 11 A. 1. — *ἐκαλεῖτο.* Her. 6, 88: *Νικόδρομος*

4 λεῖτο. ὅμως δ' οἱ Λακεδαιμόνιοι πρῶτον καιάσκοπον ἐς
τὴν Χίον πέμψαντες Φρῦνιν, ἄνδρα περίοικον, εἰ αἵ τε νῆες
αὐτοῖς εἰσὶν ὅσας περ ἔλεγον καὶ τἆλλα ἡ πόλις ἱκανή ἐστι
πρὸς τὴν λεγομένην δόξαν, ἀπαγγείλαντος αὐτοῖς ὡς εἴη ταῦτα
ἀληθῆ ἅπερ ἤκουον, τούς τε Χίους καὶ τοὺς Ἐρυθραίους
εὐθὺς ξυμμάχους ἐποιήσαντο καὶ τεσσαράκοντα ναῦς ἐψηφί-
σαντο αὐτοῖς πέμπειν, ὡς ἐκεῖ οὐκ ἔλασσον ἢ ἑξήκοντα ἀφ' ὧν
5 οἱ Χῖοι ἔλεγον ὑπαρχουσῶν. καὶ τὸ μὲν πρῶτον δέκα τού-
των αὐτοὶ ἔμελλον πέμψειν καὶ Μελαγχρίδαν, ὃς αὐτοῖς
ναύαρχος ἦν· ἔπειτα σεισμοῦ γενομένου ἀντὶ τοῦ Μελαγχρί-
δου Χαλκιδέα ἔπεμπον καὶ ἀντὶ τῶν δέκα νεῶν πέντε παρε-
σκευάζοντο ἐν τῇ Λακωνικῇ. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ
ἐνὸς δέον εἰκοστὸν ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θου-
κυδίδης ξυνέγραψεν.

7 Ἅμα δὲ τῷ ἦρι τοῦ ἐπιγιγνομένου θέρους εὐθὺς ἐπει-
γομένων τῶν Χίων ἀποστεῖλαι τὰς ναῦς καὶ δεδιότων μὴ οἱ
Ἀθηναῖοι τὰ πρασσόμενα αἴσθωνται, πάντες γὰρ κρύφα
αὐτῶν ἐπρεσβεύοντο, ἀποπέμπουσιν οἱ Λακεδαιμόνιοι ἄν-
2 δρας Σπαρτιάτας ἐς Κόρινθον τρεῖς, ὅπως ἀπὸ τῆς ἑτέρας
θαλάσσης ὡς τάχιστα ἐπὶ τὴν πρὸς Ἀθήνας ὑπερενεγκόντες

Κνοίθου καλεόμενος. 7, 143: *τῷ οὔνομα μὲν ἦν Θεμιστοκλέης, παῖς δὲ Νεοκλέος ἐκαλέετο.* vgl. Soph. Tr. 1158, Bruchst. 107 u. Gr. 47, 6 A. 11. Es war also *καλεῖν* der eigentliche Ausdruck vom Beisetzen des Vaternamens. Daß aber eine stereotype Folge der Namen Endios und Alkibiades stattgefunden (Arn.) mag ich nicht verbürgen.

§ 4. *εἰ* ob, an *κατάσκοπον*, so v. a. *κατασκευάζοντα*, angefügt. (Ba.) — *αὐτοῖς, τοῖς Χίοις.* (Sch.) Gr. 58, 4 A. 1. — *πρός.* Gr. 68, 39 A. 5. — *ἀπαγγείλαντος, αὐτοῦ.* (Dr.) Gr. 47, 4 A. 3. — *ἀφ' ὧν, ἀπὸ τούτων ἅ.* (Hk.) Gr. 68, 16 A. 8.

§ 5. *τούτων, τῶν τεσσαράκοντα.* (Sch.) — *αὐτοί* für *αὐτοῖς* viele u. gute Hsn. Der Gegensatz: dreißig sollten von ihren Bundesgenossen zugefügt werden. (Hk.) — *ἔπεμπον* bestimmten zu schicken. vgl. 8, 12, 2. (Pp.)

C. 7. § 1. *ἅμα δὲ τῷ ἦρι* haben nur eine gute Hs. u. Ba. — *τοῦ* für *τοῦ δ'* Bk. — *εὐθύς* sogleich, mit dem Eintritt des Frühlings, wie 4, 52, 1. vgl. 2, 47, 1. 5, 52, 1. (Gö. u. Pp.) — *ἐπειγομένων ἀντὶ τοῦ ἐπειγόντων.* (Sch.) 8, 9, 1. 82, 2 ist der Begriff selbstthätiger Mitwirkung klarer. (Arn.) Das Activ hat Thuk. nirgends. — *καὶ δεδιότων.* Ueber *καί* zu 1, 1, 1. — *ἐς Κόρινθον* hat eine gute Hs. vor *ἄνδρας.*

§ 2. *ὑπερενεγκόντας* für *ὑπερενεγκόντες* vier Hsn. erg. *αὐτούς,*

τὰς ναῦς τὸν Ἰσθμὸν κελεύσωσι πλεῖν ἐς Χίον πάσας, καὶ
ἃς ὁ Ἄγις παρεσκεύαζεν ἐς τὴν Λέσβον καὶ τὰς ἄλλας·
ἦσαν δὲ αἱ ξύμπασαι τῶν ξυμμαχικῶν νῆες αὐτόθι μιᾶς
δέουσαι τεσσαράκοντα. ὁ μὲν οὖν Καλλίγειτος καὶ Τιμα- 8
γόρας ὑπὲρ τοῦ Φαρναβάζου οὐκ ἐκοινοῦντο τὸν στόλον ἐς
τὴν Χίον, οὐδὲ τὰ χρήματα ἐδίδοσαν ἃ ἦλθον ἔχοντες ἐς τὴν
ἀποστολήν, πέντε καὶ εἴκοσι τάλαντα, ἀλλ' ὕστερον ἐφ' ἑαυτῶν
διενοοῦντο ἄλλῳ στόλῳ πλεῖν· ὁ δὲ Ἄγις ἐπειδὴ ἑώρα τοὺς 2
Λακεδαιμονίους ἐς τὴν Χίον πρῶτον ὡρμημένους, οὐδ' αὐ-
τὸς ἄλλο τι ἐγίγνωσκεν, ἀλλὰ ξυνελθόντες ἐς Κόρινθον οἱ
ξύμμαχοι ἐβουλεύοντο, καὶ ἔδοξε πρῶτον ἐς Χίον αὐτοῖς
πλεῖν ἄρχοντα ἔχοντας Χαλκιδέα, ὃς ἐν τῇ Λακωνικῇ τὰς
πέντε ναῦς παρεσκεύαζεν, ἔπειτ' ἐς Λέσβον καὶ Ἀλκαμένην
ἄρχοντα, ὅνπερ καὶ Ἄγις διενοεῖτο, τὸ τελευταῖον δὲ ἐς τὸν 3
Ἑλλήσποντον ἀφικέσθαι — προσετέτακτο δὲ ἐς αὐτὸν ἄρχων
Κλέαρχος ὁ Ῥαμφίου — διαφέρειν δὲ τὸν Ἰσθμὸν τὰς ἡμι-
σείας τῶν νεῶν πρῶτον καὶ εὐθὺς ταύτας ἀποπλεῖν, ὅπως
μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ἀφορμωμένας τὸν νοῦν μᾶλλον
ἔχωσιν ἢ τὰς ὕστερον ἐπιδιαφερομένας. καὶ γὰρ τὸν πλοῦν

τοὺς ξυμμάχους. (Kr.) Ueber den Ausdruck zu 3, 15. — ξυμμαχικῶν. ξυμμαχίδων! wie 8, 23, 5. Doch s. Xen. Cyr. 3, 3, 12: ἐδίδασκεν ἢ ἕκαστον ἰσχυρὸν ἦν τῶν συμμαχικῶν. (Kr.) Wie nämlich von ναυτικόν Flotte, so steht auch von ξυμμαχικόν Bundescontingent der Plural. Gr. 43, 4 A. 18. Gut bemerkt Py. daß von ξυμμαχίς der Ge. hier anstößig wäre für ξυμμαχίδες. vgl. 8, 23, 5.

C. 8. § 1. ἐκοινοῦντο für ἐκοινωνοῦντο nur eine Hs. Doch wäre von diesem wohl nur ἐκοινώνουν τοῦ στόλου sprachgemäß. Jenes steht von gemeinsamer Theilnahme an etwas, wie Eur. b. Stob. 69, 19: κεκοίνωνται ψόγον ταῖς οὐ κακαῖσιν αἱ κακαί. Ion 608: κοινουμένη τὰς συμφορὰς σοι πρόσθεν ἀπολαχοῦσα νῦν αὐτὴ καθ' αὑτὴν τὴν τύχην οἴσει πικρῶς. — ἀποστολήν, τοῦ στόλου, τῶν νεῶν 8, 9, 3. (Bl.) — ἐφ' ἑαυτῶν, καθ' ἑαυτούς. (Sch.) Gr. 68, 40 A. 6.

§ 2. αὐτοῖς für αὐτούς mehrere, auch gute Hss. vgl. Kr. z. Dion. p. 289. — παρεσκεύαζεν für παρεσκεύασεν zwei gute Hss. — καὶ Ἀ. ἄρχοντα, ἔχοντας. (Sch.) und zwar den A. zum Befehlshaber habend. — διενοεῖτο, πλεῖν daß er schiffen solle.

§ 3. ἀφικέσθαι, was Va. nicht übersetzt, würde man nicht vermissen. (Kr.) — ἐς αὐτόν. zu 8, 5, 1. — τὸν νοῦν μᾶλλον für μᾶλλον τὸν νοῦν eine gute Hs. — ἐπιδιαφερομένους für διαφ.

ταύτῃ ἐκ τοῦ προφανοῦς ἐποιοῦντο, καταφρονήσαντες τῶν
Ἀθηναίων ἀδυνασίαν, ὅτι ναυτικὸν οὐδὲν αὐτῶν πολύ πω
ἐφαίνετο. ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ διεκόμισαν εὐθὺς μίαν
9 καὶ εἴκοσι ναῦς. οἱ δὲ Κορίνθιοι ἐπειγομένων αὐτῶν τὸν
πλοῦν οὐ προεθυμήθησαν ξυμπλεῖν πρὶν τὰ Ἴσθμια, ἃ τότε
ἦν, διεορτάσωσιν. Ἦγις δὲ αὐτοῖς ἑτοῖμος ἦν ἐκείνους μὲν
μὴ λύειν δὴ τὰς Ἰσθμιάδας σπονδάς, ἑαυτοῦ δὲ τὸν στόλον
2 ἴδιον ποιήσασθαι. οὐ ξυγχωρούντων δὲ τῶν Κορινθίων
ἀλλὰ διατριβῆς ἐγγιγνομένης οἱ Ἀθηναῖοι ᾔσθοντο τὰ τῶν
Χίων μᾶλλον καὶ πέμψαντες ἕνα τῶν στρατηγῶν Ἀρισιο-
κράτην ἐπῃτιῶντο αὐτούς, καὶ ἀρνουμένων τῶν Χίων το
πιστὸν ναῦς σφίσι ξυμπέμπειν ἐκέλευον ἐς τὸ ξυμμαχικόν·
3 οἱ δ' ἔπεμψαν ἑπτά. αἴτιον δ' ἐγένετο τῆς ἀποστολῆς τῶν
νεῶν οἱ μὲν πολλοὶ τῶν Χίων οὐκ εἰδότες τὰ πρασσόμενα,
οἱ δ' ὀλίγοι καὶ ξυνειδότες τό τε πλῆθος οὐ βουλόμενοι πω
πολέμιον ἔχειν, πρίν τι καὶ ἰσχυρὸν λάβωσι, καὶ τοὺς Πε-
λοποννησίους οὐκέτι προσδεχόμενοι ἥξειν, ὅτι διέτριβον.
10 Ἐν δὲ τούτῳ τὰ Ἴσθμια ἐγίγνετο, καὶ οἱ Ἀθηναῖοι,
ἐπηγγέλθησαν γάρ, ἐθεώρουν ἐς αὐτά, καὶ κατάδηλα μᾶλλον

---

eine gute Hſ.: ἐπι — nach den ſchon übergeſchafften. — ἐποιοῦντο, ποιεῖσθαι διενοοῦντο. (Sch.) — καταφρονήσαντες τῶν Ἀ. ὀ δυνασίαν, φρονήσαντες ἀδυνασίαν κατὰ τῶν Ἀ. (Ba.) vgl. Matth. § 378 p. 861.

C. 9. § 1. προεθυμήθησαν. προυθ. eine Hſ. — πρὶν ohne ἄν. Gr. 54, 17 A. 3. — ἑτοῖμος ἦν, συγγνώμην εἶχεν. (Sch.) Es iſt mehr in Bezug auf den Hauptbegriff ποιήσασθαι als auf den Nebengedanken λύειν geſetzt. Gr. 69, 16 A 3. — ἑαυτοῦ ποιήσασθαι. ποιήσασθαι τὸν στόλον ὡς στόλον ἑαυτοῦ ἴδιον. Doch kann der Sinn auch ſein: den Zug zu ſeinem eigenen zu machen, ſich perſönlich anzueignen. Soph. Antig. 546: μή μοι θάνῃς σὺ κοινὰ μηδ' ἃ μὴ θῇγες ποιοῦ σεαυτῆς. Dem. 23, 114: τὴν χώραν ἐποιεῖθ' ἑαυτοῦ. vgl. Gr. 47, 6 A. 11. Bei einer ſolchen Aneignung konnte die Korinthier kein Vorwurf treffen wegen Verletzung des Feſtfriedens.

§ 2. τὸ πιστόν iſt Appoſition zu ναῦς: Schiffe als Garantie. (St.) Der Artikel bezeichnet die gehörige, erforderliche. Gr. 50, 2 A. 4. — ἐς τὸ ξυμμαχικόν verbindet Dr. mit τὸ πιστόν. vgl. 3, 11, 1: πιστὸν ἐς ξυμμαχίαν. Doch widerſtrebt die Stellung; auch wäre das müßig. Beſſer Hl.: zu der vereinigten Seemacht ſchicken.

§ 3. αἴτιον —. zu 4, 26, 3 u. 65, 4. — καὶ vor ξυνειδότες hat nur eine gute Hſ. — ἰσχυρόν. zu 3, 6, 1.

C. 10. § 1. ἐπηγγέλθησαν, αἱ σπονδαὶ δηλονότι. (Sch.)

αὐτοῖς τὰ τῶν Χίων ἐφάνη. καὶ ἐπειδὴ ἀνεχώρησαν, παρε-
σκευάζοντο εὐθύς, ὅπως μὴ λήσουσιν αὐτοὺς αἱ νῆες ἐκ τῶν
Κεγχρειῶν ἀφορμηθεῖσαι. οἱ δὲ μετὰ τὴν ἑορτὴν ἀνήγοντο 2
μιᾷ καὶ εἴκοσι ναυσὶν ἐς τὴν Χίον, ἄρχοντα Ἀλκαμένην
ἔχοντες. καὶ αὐτοῖς οἱ Ἀθηναῖοι τὸ πρῶτον ἴσαις ναυσὶ
προσπλεύσαντες ὑπῆγον ἐς τὸ πέλαγος. ὡς δ' ἐπὶ πολὺ οὐκ
ἐπηκολούθησαν οἱ Πελοποννήσιοι ἀλλ' ἀπετράποντο, ἐπανε-
χώρησαν καὶ οἱ Ἀθηναῖοι· τὰς γὰρ τῶν Χίων ἑπτὰ ναῦς ἐν
τῷ ἀριθμῷ μετὰ σφῶν ἔχοντες οὐ πιστὰς ἐνόμιζον, ἀλλ' ὕστε-
ρον ἄλλας προσπληρώσαντες ἑπτὰ [καὶ τριάκοντα] παραπλέ-
οντας αὐτοὺς καταδιώκουσιν ἐς Πειραιὸν τῆς Κορινθίας·
ἔστι δὲ λιμὴν ἐρῆμος καὶ ἔσχατος πρὸς τὰ μεθόρια τῆς Ἐπι-
δαυρίας. καὶ μίαν μὲν ναῦν ἀπολλύασι μετέωρον οἱ Πελο- 3
ποννήσιοι, τὰς δὲ ἄλλας ξυναγαγόντες ὁρμίζουσιν. καὶ προς-
βαλόντων τῶν Ἀθηναίων καὶ κατὰ θάλασσαν ταῖς ναυσὶ
καὶ ἐς τὴν γῆν ἀποβάντων θόρυβός τε ἐγένετο πολὺς καὶ
ἄταχτος, καὶ τῶν τε νεῶν τὰς πλείους κατατραυματίζουσιν
ἐν τῇ γῇ οἱ Ἀθηναῖοι καὶ τὸν ἄρχοντα Ἀλκαμένην ἀποκτεί-
νουσιν· καὶ αὐτῶν τινες ἀπέθανον. διακριθέντες δὲ πρὸς 11
μὲν τὰς πολεμίας ναῦς ἐπέταξαν ἐφορμεῖν ἱκανάς, ταῖς δὲ
λοιπαῖς ἐς τὸ νησίδιον ὁρμίζονται ἐν ᾧ οὐ πολὺ ἀπέχοντι
ἐστρατοπεδεύοντο, καὶ ἐς τὰς Ἀθήνας ἐπὶ βοήθειαν ἔπεμπον.
παρῆσαν γὰρ καὶ τοῖς Πελοποννησίοις τῇ ὑστεραίᾳ οἵ τε Κο-
ρίνθιοι, βοηθοῦντες ἐπὶ τὰς ναῦς, καὶ οὐ πολλῷ ὕστερον καὶ

αἱ σπονδαί fügen nach γάρ hinzu eine gute Hs. u. Va. Als Subject denkt St. οἱ Ἀθηναῖοι, Ps. τὰ Ἴσθμια. vgl. 5, 49, 2 u. über den Plural 1, 126, 3: ἐπῆλθον Ὀλύμπια. 5, 75, 2: Κάρνεια ἐτύγχανον ὄντα. (Py.) — ἀνεχώρησαν, οἱ θεωροὶ δηλονότι. (Sch.) — οἱ δέ, οἱ Κορίνθιοι. (Sch.)

§ 2. ὑπῆγον für ἐπῆγον eine gute Hs. ὑπεχώρουν ὅπως εἰς τὸ πέλαγος ἐκείνους προκαλέσωνται. (Sch.) subducebant Va. vgl. zu 4, 126, 6. — καὶ τριάκοντα erweist als eingefälscht Kr. p. 309 ff. Ueber die nichtigen Einwendungen dagegen anderswo. — πρός. zu 3, 72.

§ 3. ἀπολλύασι. ἀπολλύουσι schlechtere Hsn. — καὶ ταῖς ναυσὶ καὶ ἀποβάντων. Gr. 56, 14 A. 2. — κατατραυματίζουσιν. zu 4, 14, 1.

C. 11. § 1. βοηθεῖν ἐπί mit dem Ac. eines localen Begriffes heißt zur Hülfe kommen nach. vgl. 3, 97, 3. 8, 15, 3. (Arn.) Aber die Schiffe könnten auch als Behälter von Personen gedacht werden.

2 οἱ ἄλλοι πρόσχωροι. καὶ ὁρῶντες τὴν φυλακὴν ἐν χωρίῳ ἐρήμῳ ἐπίπονον οὖσαν ἠπόρουν, καὶ ἐπενόησαν μὲν κατακαῦσαι τὰς ναῦς, ἔπειτα δὲ ἔδοξεν αὐτοῖς ἀνελκύσαι καὶ τῷ πεζῷ προσκαθημένους φυλακὴν ἔχειν, ἕως ἄν τις παρατύχῃ διαφυγὴ ἐπιτηδεία. ἔπεμψε δ' αὐτοῖς καὶ Ἄγις αἰσθόμενος
3 ταῦτα ἄνδρα Σπαρτιάτην Θέρμωνα. τοῖς δὲ Λακεδαιμονίοις πρῶτον μὲν ἠγγέλθη ὅτι αἱ νῆες ἀνηγμέναι εἰσὶν ἐκ τοῦ Ἰσθμοῦ — εἴρητο γάρ, ὅταν γένηται τοῦτο, Ἀλκαμένει ὑπὸ τῶν ἐφόρων ἱππέα πέμψαι — καὶ εὐθὺς τὰς παρὰ σφῶν πέντε ναῦς καὶ Χαλκιδέα ἄρχοντα καὶ Ἀλκιβιάδην μετ' αὐ-
4 τοῦ ἐβούλοντο πέμπειν· ἔπειτα ὡρμημένων αὐτῶν τὰ περὶ τὴν ἐν τῷ Πειραιῷ τῶν νεῶν καταφυγὴν ἠγγέλθη, καὶ ἀθυμήσαντες, ὅτι πρῶτον ἁπτόμενοι τοῦ Ἰωνικοῦ πολέμου ἔπταισαν, τὰς ναῦς τὰς ἐκ τῆς ἑαυτῶν οὐκέτι διεσώζοντο πέμπειν
12 ἀλλὰ καί τινας προανηγμένας μεταπαλεῖν. γνοὺς δὲ ὁ Ἀλκιβιάδης πείθει αὖθις Ἔνδιον καὶ τοὺς ἄλλους ἐφόρους μὴ ἀποκνῆσαι τὸν πλοῦν, λέγων ὅτι φθήσονταί τε πλεύσαντες, πρὶν τὴν τῶν νεῶν ξυμφορὰν Χίους αἰσθέσθαι, καὶ αὐτὸς ὅτι ἦν προσβάλῃ Ἰωνίᾳ, ῥᾳδίως πείσει τὰς πόλεις ἀφίστασθαι τήν τε τῶν Ἀθηναίων ἀσθένειαν λέγων καὶ τὴν τῶν Λακεδαιμονίων προθυμίαν· πιστότερος γὰρ ἄλλων φανεῖ-
2 σθαι. Ἐνδίῳ τε αὐτῷ ἰδίᾳ ἔλεγε καλὸν εἶναι δι' ἐκείνου ἀποστῆσαί τε Ἰωνίαν καὶ βασιλέα ξύμμαχον ποιῆσαι Λακεδαιμονίοις, καὶ μὴ Ἄγιδος τὸ ἀγώνισμα τοῦτο γενέσθαι·

(Kr.) Doch ist die Erklärung hier richtig, da sie zu Fuß kommend nur für ihre gelandeten, nicht gegen die feindlichen kämpfen konnten. (Hk.) Wenigstens erst eingeschifft.

§ 3. Ἀλκαμένει gehört zu εἴρητο. (Ba.) — τὰς παρὰ σφῶν. Gr. 50, 8 A. 14. Der Artikel bezieht sich auf 8, 6, 5.

§ 4. ὡρμημένων da sie sich zur Abfahrt angeschickt hatten, damit umgingen. (Ps.) vgl. 8, 40, 3. 47, 2. 60, 2. 73, 2. 86, 3. (Dobree.) — τὴν ἐν τῷ Π. καταφυγήν. vgl. Gr. 68, 12 A. 2.

C. 12. § 1. ὅτι ἦν — πείσει für ὅταν — πείσειν eine gute Hs. — τε τῶν für τε dieselbe u. einige a. — λέγων dadurch daß er vorstelle. — πιστότερος für πιστότερον Dr. u. eine gute Hs.

§ 2. ἐκείνου. So steht ἐκείνων für σφῶν 2, 11, 4. (Py.) Passender aber ist es auf Endios bezogen und ἀποστῆναι verbessert; si deficeret Ba.

εἰύγχανε γὰρ τῷ Ἄγιδι αὐτὸς διάφορος ὤν. καὶ ὁ μὲν πείσας τούς τε ἄλλους ἐφόρους καὶ Ἔνδιον ἀνήγετο ταῖς πέντε ναυσὶ μετὰ Χαλκιδέως τοῦ Λακεδαιμονίου καὶ διὰ τάχους τὸν πλοῦν ἐποιοῦντο.

Ἀνεκομίζοντο δὲ ὑπὸ τὸν αὐτὸν χρόνον τοῦτον καὶ ἀπὸ 13
τῆς Σικελίας Πελοποννησίων ἑκκαίδεκα νῆες αἱ μετὰ Γυλίπ-
που ξυνδιαπολεμήσασαι· καὶ περὶ τὴν Λευκαδίαν ἀπο-
ληφθεῖσαι καὶ κοπεῖσαι ὑπὸ τῶν Ἀττικῶν ἑπτὰ καὶ εἴκοσι
νεῶν, ὧν ἦρχεν Ἱπποκλῆς Μενίππου, φυλακὴν ἔχων τῶν ἀπὸ
τῆς Σικελίας νεῶν, αἱ λοιπαὶ πλὴν μιᾶς διαφυγοῦσαι τοὺς
Ἀθηναίους κατέπλευσαν ἐς τὴν Κόρινθον.

Ὁ δὲ Χαλκιδεὺς καὶ ὁ Ἀλκιβιάδης πλέοντες ὅσοις 14
τ' ἐπιτύχοιεν ξυνελάμβανον τοῦ μὴ ἐξάγγελτοι γενέσθαι καὶ
προσβαλόντες πρῶτον Κωρύκῳ τῆς ἠπείρου καὶ ἀφέντες ἐν-
ταῦθα αὐτοὺς αὐτοὶ μὲν προξυγγενόμενοι τῶν ξυμπρασσόν-
των Χίων τισὶ καὶ κελευόντων καταπλεῖν μὴ προειπόντας ἐς
τὴν πόλιν, ἀφικνοῦνται αἰφνίδιοι τοῖς Χίοις. καὶ οἱ μὲν 2
πολλοὶ ἐν θαύματι ἦσαν καὶ ἐκπλήξει· τοῖς δ' ὀλίγοις πα-
ρεσκεύαστο ὥστε βουλήν [τε] τυχεῖν ξυλλεγομένην, καὶ γενο-
μένων λόγων ἀπὸ τε τοῦ Χαλκιδέως καὶ Ἀλκιβιάδου ὡς
ἄλλαι [τε] νῆες πολλαὶ προσπλέουσι καὶ τὰ περὶ τῆς πολι-
ορκίας τῶν ἐν τῷ Πειραιῷ νεῶν οὐ δηλωσάντων ἀφίστανται
Χῖοι καὶ αὖθις Ἐρυθραῖοι Ἀθηναίων. καὶ μετὰ ταῦτα
τρισὶ ναυσὶ πλεύσαντες καὶ Κλαζομενὰς ἀφιστᾶσιν. διαβάντες 3
τε οἱ Κλαζομένιοι εὐθὺς ἐς τὴν ἤπειρον τὴν Πολίχναν ἐτεί-
χιζον, εἴ τι δέοι σφίσιν αὐτοῖς ἐκ τῆς νησῖδος ἐν ᾗ οἰκοῦσι

C. 13. αἱ vor ἀπό fehlt in mehreren und den beſten Hſn. — ξυνδιαπολεμήσασαι für ξυμπολεμήσασαι eine gute Hſ. vgl. 6, 105, 2. — κοπεῖσαι ἐπὶ τοῦ κακοπαθῆσαι καὶ οἱονεὶ κοπιᾶσαι εἴρηται. (Sch.) vgl. zu 4, 14, 1.

C. 14. § 1. ἐξάγγελτοι. zu 3, 30, 1. — αὐτούς, τοὺς ξαλωκότας. (Sch.)

§ 2. βουλήν τε. τέ ſollte man nach παρεσκεύασιο erwarten. (Pp.) Es iſt wohl eingefälſcht, wie auch das nach ἄλλαι. — ξυλλεγομένην. ξυνειλεγμένην? — γενομένων für λεγομένων eine gute Hſ. Wenn jenes richtig wäre, ſo müßte man λόγων von ungegründeten Angaben verſtehen. vgl. Lobeck Parall. p. 504. — τὰ περὶ τῆς. vgl. 26, 2. 3. (Pp.) Kr. zu Xen. An. 2, 5, 37.

§ 3. τε οἱ für δὲ οἱ eine gute Hſ. u. Va. — δέοι. Hier ſetzt Bk. ein Komma. — σφίσιν αὐτοῖς. zu 1, 128, 1. 2, 49, 3. 6, 63,

πρὸς ἀναχώρησιν. καὶ οἱ μὲν ἀφεστῶτες ἐν τειχισμῷ τε
15 πάντες ἦσαν καὶ παρασκευῇ πολέμου, ἐς δὲ τὰς Ἀθήνας
ταχὺ ἀγγελία τῆς Χίου ἀφικνεῖται· καὶ νομίσαντες μέγαν ἤδη
καὶ σαφῆ τὸν κίνδυνον σφᾶς περιεστάναι, καὶ τοὺς λοιποὺς
ξυμμάχους οὐκ ἐθελήσειν τῆς μεγίστης πόλεως μεθεστηκυίας
ἡσυχάζειν, τά τε χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ πολέμου
ἐγλίχοντο μὴ ἅψασθαι, εὐθὺς ἔλυσαν τὰς ἐπικειμένας ζημίας
τῷ εἰπόντι ἢ ἐπιψηφίσαντι ὑπὸ τῆς παρούσης ἐκπλήξεως, καὶ
2 ἐψηφίσαντο κινεῖν καὶ ναῦς πληροῦν οὐκ ὀλίγας, τῶν τε ἐν
τῷ Πειραιῷ ἐφορμουσῶν τὰς μὲν ὀκτὼ ἤδη πέμπειν, αἳ
ἀπολιποῦσαι τὴν φυλακὴν τὰς μετὰ Χαλκιδέως διώξασαι καὶ
οὐ καταλαβοῦσαι ἀνακεχωρήκεσαν — ἦρχε δ' αὐτῶν Στρομβι-
χίδης Λιοτίμου — ἄλλας δὲ οὐ πολὺ ὕστερον βοηθεῖν δώ-
δεκα μετὰ Θρασυκλέους, ἀπολιπούσας καὶ ταύτας τὴν ἐφόρ-
3 μησιν. τάς τε τῶν Χίων ἔπτὰ ναῦς αἳ αὐτοῖς ξυνεπολιόρ-
κουν τὰς ἐν τῷ Πειραιῷ ἀπαγαγόντες τοὺς μὲν δούλους ἐξ
αὐτῶν ἠλευθέρωσαν τοὺς δ' ἐλευθέρους κατέδησαν. ἑτέρας
δ' ἀντὶ πασῶν τῶν ἀπελθουσῶν νεῶν ἐς τὴν ἐφόρμησιν τῶν
Πελοποννησίων διὰ τάχους πληρώσαντες ἀνιέπεμψαν καὶ
ἄλλας διενοοῦντο τριάκοντα πληροῦν. καὶ πολλὴ ἦν ἡ προ-
θυμία καὶ ὀλίγον ἐπράσσετο οὐδὲν ἐς τὴν βοήθειαν τὴν ἐπὶ
τὴν Χίον.

16 Ἐν δὲ τούτῳ Στρομβιχίδης ταῖς ὀκτὼ ναυσὶν ἀφικνεῖται
ἐς Σάμον καὶ προσλαβὼν Σαμίαν μίαν ἔπλευσεν ἐς Τέων
καὶ ἡσυχάζειν ἠξίου αὐτούς. ἐκ δὲ τῆς Χίου ἐς τὴν Τέων

---

3. 7, 48, 4. — *ἐν τειχισμῷ τε πάντες* für *πάντες ἐν τειχισμῷ* eine gute Hs. Ueber die Phrase zu 2, 80, 2.

C. 15. § 1. *ἀγγελία τῆς Χίου.* zu 1, 61, 1. — *τῆς μεγίστης τῶν ἐν Ἰωνίᾳ ξυμμαχίδων πόλεων* 8, 40, 1. (Py.) — *τὰ χίλια τάλαντα* 2, 24, 1. — *ἐπιψηφίσαντι, κινεῖν*, wovon *τὰ χίλια τάλαντα* abhängt, aus dem Folgenden. (Sch.) — *ὑπό* ist mit *ἔλυσαν* zu verbinden. (Sch.)

§ 2. *ἐν τῷ Π.*, bei dem P. vgl 8, 17, 3. 24, 1. (Py.) — *τὰς μὲν ὀκτώ* einige, nämlich acht. Kr zu Xen. An. 1, 2, 3. — *βοηθεῖν* gegen die Chier. (Hl) vgl § 3. (Didot.)

§ 3. *ἦν ἡ* für *ἦν* eine gute Hs. — *ὀλίγον ἐπράσσετο οὐδέν.* Ar. Ri. 388; *μηδὲν ὀλίγον ποιει.* vgl. zu 2, 8, 1. — *βοήθειαν* Auszug. (Sch.) zu 3, 24, 3.

καὶ ὁ Χαλκιδεὺς μετὰ τριῶν καὶ εἴκοσι νεῶν ἐπέπλει καὶ ὁ πεζὸς ἅμα ὁ τῶν Κλαζομενίων καὶ Ἐρυθραίων παρήει. προαισθόμενος δὲ ὁ Στρομβιχίδης ἐξανήγετο καὶ μετεωρι- 2
σθεὶς ἐν τῷ πελάγει, ὡς ἑώρα τὰς ναῦς πολλὰς τὰς ἀπὸ τῆς Χίου, φυγὴν ἐποιεῖτο ἐπὶ τῆς Σάμου· αἱ δ' ἐδίωκον. τὸν δὲ πεζὸν οἱ Τήιοι τὸ πρῶτον οὐκ ἐσδεχόμενοι, ὡς ἔφυ- γον οἱ Ἀθηναῖοι, ἐσηγάγοντο. καὶ ἐπέσχον μὲν οἱ πεζοί, 3
καὶ Χαλκιδέα ἐκ τῆς διώξεως περιμένοντες· ὡς δ' ἐχρόνιζεν, καθῄρουν αὐτοὶ τὸ τεῖχος ὃ ἀνῳκοδόμησαν οἱ Ἀθηναῖοι τῆς Τηίων πόλεως τὸ πρὸς ἤπειρον, ξυγκαθῄρουν δὲ αὐτοῖς καὶ τῶν βαρβάρων ἐπελθόντες οὐ πολλοί, ὧν ἦρχεν ὁ Στάγης, ὕπαρχος Τισσαφέρνους. Χαλκιδεὺς δὲ καὶ Ἀλκιβιάδης ὡς 17
κατεδίωξαν ἐς Σάμον Στρομβιχίδην, ἐκ μὲν τῶν ἐκ Πελοπον- νήσου νεῶν τοὺς ναύτας ὁπλίσαντες ἐν Χίῳ καταλιμπάνουσιν, ἀντιπληρώσαντες δὲ ταύτας τε ἐκ Χίου καὶ ἄλλας εἴκοσιν ἔπλεον ἐς Μίλητον ὡς ἀποστήσονιες· ἐβούλετο γὰρ ὁ Ἀλκι- 2
βιάδης, ὧν ἐπιτήδειος τοῖς προεσιῶσι τῶν Μιλησίων, φθά- σαι τὰς ἀπὸ τῆς Πελοποννήσου ναῦς προσαγαγόμενος αὐ- τοὺς καὶ τοῖς Χίοις καὶ ἑαυτῷ καὶ Χαλκιδεῖ καὶ τῷ ἀποστει- λαντι Ἐνδίῳ, ὥσπερ ὑπέσχετο, τὸ ἀγώνισμα προσθεῖναι, ὅτι πλείστας τῶν πόλεων μετὰ τῆς Χίων δυνάμεως καὶ Χαλ- κιδέως ἀποστήσας. λαθόντες οὖν τὸ πλεῖστον τοῦ πλοῦ καὶ 3
φθάσαντες οὐ πολὺ τόν τε Στρομβιχίδην καὶ τὸν Θρασυκλέα, ὃς ἔτυχεν ἐκ τῶν Ἀθηνῶν δώδεκα ναυσὶν ἄρτι παρὼν καὶ

C. 16. § 1. ὁ τῶν für καὶ ὁ eine gute Hs.

§ 2. ἐξανήγετο für προανήγετο eine gute Hs. abscessit Ba.

§ 3. πέζοι für πολλοί eine gute Hs. u. Ba. — αὐτοί. αὐτοί τε Vat. — ἀνῳκοδόμησαν. ἐνῳκοδόμησαν Kr. Anders jenes 1, 89, 3. — τῆς T. πόλεως läßt Py. mit Ba. von τὸ τεῖχος ὅ abhängen; ich mit Hl. von πρὸς ἤπειρον: an der Landseite von Teos. zu 2, 96, 4. Es war doch wohl ein Castell. vgl. 8, 16, 2. Denn wie mag man an Niederreißnng eines Theiles der Stadtmauer denken? — Στάγης für ὁ Τάγης Vat., wie Xen. Hell. 1, 2, 5. (Kr.)

C. 17. § 1. ἐκ τῶν ἐκ. Gr. 68, 9 A. 3. — καταλιμπάνω hat auch Macho beim Athen. 8, 26. (Py.) ἐκλιμπάνω Eur. Med. 800 u. El. 909.

§ 2. τάς für τάς τε eine gute Hs. Ueber die Sache 8, 23, 1. (Ds.) vgl. 8, 6, 4 f. — ὥσπερ ὑπέσχετο 8, 12, 2. (Ds.)

ξυνδιώκων, ἀφιστᾶσι τὴν Μίλητον. καὶ οἱ Ἀθηναῖοι κατὰ πόδας μιᾶς δεούσαις εἴκοσι ναυσὶν ἐπιπλεύσαντες, ὡς αὐτοὺς οὐκ ἐδέχοντο οἱ Μιλήσιοι, ἐν Λάδῃ τῇ ἐπικειμένῃ νήσῳ ἐφώρμουν. καὶ ἡ πρὸς βασιλέα ξυμμαχία Λακεδαιμονίοις ἡ πρώτη Μιλησίων εὐθὺς ἀποστάντων διὰ Τισσαφέρνους καὶ Χαλκιδέως ἐγένετο ἥδε.

18 "Ἐπὶ τοῖσδε ξυμμαχίαν ἐποιήσαντο πρὸς βασιλέα καὶ Τισσαφέρνην Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. ὁπόσην χώραν καὶ πόλεις βασιλεὺς ἔχει καὶ οἱ πατέρες οἱ βασιλέως εἶχον βασιλέως ἔστω· καὶ ἐκ τούτων τῶν πόλεων ὁπόσα Ἀθηναίοις ἐφοίτα χρήματα ἢ ἄλλο τι, κωλυόντων κοινῇ βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, ὅπως μήτε χρήματα λαμβά-
2 νωσιν Ἀθηναῖοι μήτ' ἄλλο μηδέν. καὶ τὸν πόλεμον τὸν πρὸς Ἀθηναίους κοινῇ πολεμούντων βασιλεὺς καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι· καὶ κατάλυσιν τοῦ πολέμου πρὸς Ἀθηναίους μὴ ἐξέστω ποιεῖσθαι, ἢν μὴ ἀμφοτέροις δοκῇ, βασιλεῖ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. ἢν δέ τινες ἀφιστῶνται ἀπὸ βασιλέως, πολέμιοι ἔστωσαν καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις· καὶ ἢν τινες ἀφιστῶνται ἀπὸ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων, πολέμιοι ἔστωσαν βασιλεῖ κατὰ ταὐτά."

19 Ἡ μὲν ξυμμαχία αὕτη ἐγένετο, μετὰ δὲ τοῦτο οἱ Χῖοι εὐθὺς δέκα ἑτέρας πληρώσαντες ναῦς ἔπλευσαν ἐς Ἄναια, βουλόμενοι περί τε τῶν ἐν Μιλήτῳ πυθέσθαι καὶ τὰς πόλεις ἅμα ἀφιστάναι. καὶ ἐλθούσης παρὰ Χαλκιδέως ἀγγελίας αὐτοῖς ἀποπλεῖν πάλιν καὶ ὅτι Ἀμόργης παρέσται κατὰ γῆν στρατιᾷ, ἔπλευσαν ἐς Λιὸς ἱερόν· καὶ καθορῶσιν ἑκκαιδεκα ναῦς, ἃς ὕστερον ἔτι Θρασυκλέους Λιομέδων ἔχων

---

§ 3. ξυνδιώκων zugleich mit seinem Amtsgenossen verfolgend. (Pp.)

C. 18. § 1. ὁπόσα. Gr. 51, 13 A. 12. — ἐφοίτα. Kr. zu Xen. An. 4, 8, 25. — κωλυόντων, ὅπως sie sollen entgegenarbeiten, damit.

§ 2. κατὰ ταὐτά. zu 5, 18, 7.

C. 19. § 1. αὕτη. Gr. 61, 7 A. 2. — ἀποπλεῖν in sofern ἀγγελία eine Aufforderung enthält (Gr. 50, 6 A. 6 vgl. 55, 3 A. 13), καὶ ὅτι in sofern es eine Nachricht bezeichnet. (Ba.) Pp. möchte καί mit Ba. tilgen.

ἀπ' Ἀθηνῶν προσέπλει. καὶ ὡς εἶδον, ἔφευγον μιᾷ μὲν 2
νηὶ ἐς Ἔφεσον, αἱ δὲ λοιπαὶ ἐπὶ τῆς Τέω. καὶ τέσσαρας
μὲν κενὰς οἱ Ἀθηναῖοι λαμβάνουσι, τῶν ἀνδρῶν ἐς τὴν γῆν
φθασάντων· αἱ δ' ἄλλαι ἐς τὴν Τηίων πόλιν καταφεύγουσιν.
καὶ οἱ μὲν Ἀθηναῖοι ἐπὶ τῆς Σάμου ἀπέπλευσαν, οἱ δὲ Χῖοι
ταῖς λοιπαῖς ναυσὶν ἀναγαγόμενοι καὶ ὁ πεζὸς μετ' αὐτῶν
Λέβεδον ἀπέστησαν καὶ αὖθις Ἐρᾶς. καὶ μετὰ τοῦτο ἕκα-
στοι ἐπ' οἴκου ἀπεκομίσθησαν, καὶ ὁ πεζὸς καὶ αἱ νῆες.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους αἱ ἐν τῷ Πειραιῷ εἴκοσι 20
νῆες τῶν Πελοποννησίων, καταδιωχθεῖσαι τότε καὶ ἐφορμού-
μενοι ἴσῳ ἀριθμῷ ὑπὸ Ἀθηναίων, ἐπέκπλουν ποιησάμεναι
αἰφνίδιον καὶ κρατήσασαι ναυμαχίᾳ τέσσαράς τε ναῦς λαμ-
βάνουσι τῶν Ἀθηναίων καὶ ἀποπλεύσασαι ἐς Κεγχρειὰς τὸν
ἐς τὴν Χίον καὶ τὴν Ἰωνίαν πλοῦν αὖθις παρεσκευάζοντο.
καὶ ναύαρχος αὐτοῖς ἐκ Λακεδαίμονος Ἀστύοχος ἐπῆλθεν,
ᾧπερ ἐγίγνετο ἤδη πᾶσα ἡ ναυαρχία.

Ἀναχωρήσαντος δὲ τοῦ ἐκ τῆς Τέω πεζοῦ καὶ Τισσα- 2
φέρνης αὐτὸς στρατιᾷ παραγενόμενος καὶ ἐπικαθελὼν τὸ ἐν
τῇ Τέῳ τεῖχος, εἴ τι ὑπελείφθη, ἀνεχώρησεν. καὶ Λιομέδων
ἀπελθόντος αὐτοῦ οὐ πολὺ ὕστερον δέκα ναυσὶν Ἀθηναίων
ἀφικόμενος ἐσπείσατο Τηίοις ὥστε δέχεσθαι καὶ σφᾶς. καὶ
παραπλεύσας ἐπὶ Ἐρὰς καὶ προσβαλών, ὡς οὐκ ἐλάμβανε
τὴν πόλιν, ἀπέπλευσεν.

Ἐγένετο δὲ κατὰ τὸν χρόνον τοῦτον καὶ ἡ ἐν Σάμῳ ἐπα- 21
νάστασις ὑπὸ τοῦ δήμου τοῖς δυνατοῖς μετὰ Ἀθηναίων, οἳ
ἔτυχον ἐν τρισὶ ναυσὶ παρόντες. καὶ ὁ δῆμος ὁ Σαμίων ἐς
διακοσίους μέν τινας τοὺς πάντας τῶν δυνατῶν ἀπέκτεινεν,

---

§ 2. μετ' αὐτῶν längs der Küſte marſchirend. (Kr.)

C. 20. § 1. τότε 8, 10, 2. — πᾶσα. Er befehligte alſo nicht bloß, wie Melankridas 8, 6, 5, lakoniſche Schiffe ſondern auch die bundesgenoſſiſchen. (Kr.)

§ 2. τοῦ ἐκ τῆ Τέω πεζοῦ 8, 16, 1. (Dᵇ.) — ἐπικαθελών, ἤγουν ἐκ δευτέρου. (Sch.) vgl. 8, 16, 3. — σφᾶς. Gr. 58, 4 A. 3. vgl. 8, 23, 4.

C. 21. § 1. ὑπό vor τοῦ δήμου fehlt in einigen guten Hſn. Plat. Rep. 444, b: ἐπανάστασις μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς. — τοῖς δυνατοῖς, κατὰ τῶν δυνατῶν. (Sch.) Gr. 48, 12 A. 4. — ἔν verdächtigt Kr.; doch vgl. 2, 31, 1. — ἐς δ. τινάς. Dem. 48, 17: περὶ ἑξακοσίας τινὰς δραχμάς. (Hertlein Ms.)

2 τετρακοσίους δὲ φυγῇ ζημιώσαντες καὶ αὐτοὶ τὴν γῆν αὐτῶν καὶ οἰκίας νειμάμενοι, Ἀθηναίων τε σφίσιν αὐτονομίαν μετὰ ταῦτα ὡς βεβαίοις ἤδη ψηφισαμένων, τὰ λοιπὰ διῴκουν τὴν πόλιν, καὶ τοῖς γεωμόροις μετεδίδοσαν οὔτε ἄλλου οὐδενός, οὔτε ἐκδοῦναι οὐδ' ἀγαγέσθαι παρ' ἐκείνων οὐδ' ἐς ἐκείνους οὐδενὶ ἔτι τοῦ δήμου ἐξῆν.

22 Μετὰ δὲ ταῦτα τοῦ αὐτοῦ θέρους οἱ Χῖοι, ὥσπερ ἦρξαντο, οὐδὲν ἀπολείποντες προθυμίας, ἄνευ τε Πελοποννησίων πλήθει παρόντες ἀποστῆσαι τὰς πόλεις καὶ βουλόμενοι ἅμα ὡς πλείστους σφίσι ξυγκινδυνεύειν, στρατεύονται αὐτοί τε τρισκαίδεκα ναυσὶν ἐπὶ τὴν Λέσβον, ὥσπερ εἴρητο ὑπὸ τῶν Λακεδαιμονίων δεύτερον ἐπ' αὐτὴν ἰέναι καὶ ἐκεῖθεν
2 ἐπὶ τὸν Ἑλλήσποντον, καὶ ὁ πεζὸς ἅμα Πελοποννησίων τε τῶν παρόντων καὶ τῶν αὐτόθεν ξυμμάχων παρῆν ἐπὶ Κλαζομενῶν τε καὶ Κύμης· ἦρχε δ' αὐτοῦ Εὐάλας Σπαρτιάτης, τῶν δὲ νεῶν Λεινιάδας περίοικος. καὶ αἱ μὲν νῆες καταπλεύσασαι Μήθυμναν πρῶτον ἀφιστᾶσιν, καὶ καταλείπονται τέσσαρες νῆες ἐν αὐτῇ, καὶ αὖθις αἱ λοιπαὶ Μυτιλήνην ἀφι-
23 στᾶσιν. Ἀστύοχος δὲ ὁ Λακεδαιμόνιος, ναύαρχος, τέσσαρσι ναυσίν, ὥσπερ ὥρμητο, πλέων ἐκ τῶν Κεγχρειῶν ἀφικνεῖται

---

§ 2. *Ἀθηναίων τε. Ἀ. δέ?* Ueber die Verbindung Gr. 56, 14 A. 2. — *τὰ λοιπά* fernerhin Ba. Plat. Tim. 27, b: *τὰ λοιπὰ ὡς περὶ πολιτῶν καὶ Ἀθηναίων ὄντων ποιεῖσθαι τοὺς λόγους.* — *διῴκουν.* Auch hiezu gehört *αὐτοί* allein. (Kr.) — *τοῖς γεωμόροις* den Landgüter Besitzenden. — *οὔτε ἄλλου οὐδενός* sollte eig. vor *τοῖς γεωμόροις* stehen. zu 3, 39, 3. — *ἐκδοῦναι* ihre Töchter auszugeben, zu verheirathen. (Ps.) Eben so *ἐκδίδοσθαι*, doch seltener nach Elmsley zu Eur. Med. 303. — *οὐδ' ἀγ.* für *οὔτ' ἀγ.* Bk.; nach einigen Hss? — *ἐς ἐκείνους* in ihre Familien.

C. 22. § 1. *προθυμίας* ist der materielle Genitiv: nichts von Eifer fehlen lassend. Gr. 47, 10 A. 2 zweite Ausg. Plat. Rep. 533, a: *τό γ' ἐμὸν οὐδὲν ἂν προθυμίας ἀπολείποι.* vgl. dort Stallbaum. — *πλήθει* mit einer Menge von Truppen. (Ps.) — *ἀποστῆσαι* um zum Abfalle zu bewegen, an *παρόντες* angefügt. (Hk.) Gr. 55, 3 A. 20. — *τρισκαίδεκα. τρισὶ καὶ δέκα* Kr. Gr. 24, 2 A. 6. — *ἰέναι* steht appositiv zu *ὥσπερ.* vgl. zu 5, 6, 3. (Kr.)

§ 2. *τῶν αὐτόθεν.* zu 3, 7, 3. — *καὶ καταλείπονται — ἀφιστᾶσιν* haben nur eine gute Hs. u. Ba.

C. 23 § 1. *ὥσπερ ὥρμητο.* zu 8, 11, 4. vgl. Her. 6, 41: *ὥσπερ ὡρμήθη, ἐκ Καρδίας πόλιος ἔπλεε διὰ τοῦ Μέλανος κόλπου.*

ἐς Χίον. καὶ τριτην ἡμέραν αὐτοῦ ἥκοντος αἱ Ἀττικαὶ νῆες πέντε καὶ εἴκοσιν ἔπλεον ἐς Λέσβον, ὧν ἦρχε Λέων καὶ Διομέδων· Λέων γὰρ ὕστερον δέκα ναυσὶ προσεβοήθησεν ἐκ τῶν Ἀθηνῶν. ἀναγαγόμενος δὲ καὶ ὁ Ἀστύοχος τῇ αὐτῇ 2
ἡμέρᾳ ἐς ὀψέ, καὶ προσλαβὼν Χίων ναῦν μίαν ἔπλει ἐς τὴν Λέσβον, ὅπως ὠφελοίη, εἴ τι δύναιτο. καὶ ἀφικνεῖται ἐς τὴν Πύρραν, ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἐς Ἔρεσον, ἔνθα πυνθάνεται ὅτι ἡ Μυτιλήνη ὑπὸ τῶν Ἀθηναίων αὐτοβοεὶ ἑάλωκεν· οἱ γὰρ Ἀθηναῖοι, ὥσπερ ἔπλεον, ἀπροσδόκητοι κατασχόντες ἐς τὸν λιμένα τῶν τε Χίων νεῶν ἐκράτησαν καὶ ἀποβάντες τοὺς ἀντιστάντας μάχῃ νικήσαντες τὴν πόλιν ἔσχον. ἃ πυνθανόμενος ὁ Ἀστύοχος τῶν τε Ἐρεσίων καὶ τῶν ἐκ 3
τῆς Μηθύμνης μετ' Εὐβούλου Χίων νεῶν, αἳ τότε καταλειφθεῖσαι καὶ ὡς ἡ Μυτιλήνη ἑάλω φεύγουσαι περιέτυχον αὐτῷ τρεῖς — μία γὰρ ἑάλω ὑπὸ τῶν Ἀθηναίων — οὐκέτι ἐπὶ τὴν Μυτιλήνην ὥρμησεν, ἀλλὰ τὴν Ἔρεσον ἀποστήσας καὶ ὁπλίσας καὶ τοὺς ἀπὸ τῶν ἑαυτοῦ νεῶν ὁπλίτας πεζῇ παραπέμπει ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν, ἄρχοντα Ἐτεόνικον προστάξας· καὶ αὐτὸς ταῖς τε μεθ' ἑαυτοῦ ναυσὶ 4
καὶ ταῖς τρισὶ ταῖς Χίαις παρέπλει, ἐλπίζων τοὺς Μηθυμναίους θαρσήσειν τε ἰδόντας σφᾶς καὶ ἐμμενεῖν τῇ ἀποστάσει. ὡς δὲ αὐτῷ τὰ ἐν τῇ Λέσβῳ πάντα ἠναντιοῦτο, ἀπέπλευσε τὸν ἑαυτοῦ στρατὸν πεζὸν ἀναλαβὼν ἐς τὴν Χίον. ἀπεκομίσθη δὲ πάλιν κατὰ πόλεις καὶ ὁ ἀπὸ τῶν νεῶν πεζός, ὃς ἐπὶ τὸν Ἑλλήσποντον ἐμέλλησεν ἰέναι. καὶ ἀπὸ τῶν ἐν 5
Κεγχρειᾷ ξυμμαχίδων Πελοποννησίων νεῶν ἀφικνοῦνται αὖ-

---

§ 2. ἐς ὀψέ. zu 3, 108, 3. — ὥσπερ ἔπλεον ſteht, ἀπροσδόκητοι mit Bk. zum Folgenden gezogen, wie ὥσπερ εἶχον. (Pp.) Gr 52, 2 A. 2. — ἐκράτησαν bemächtigten ſich. (Kr.) — ἔσχον. zu 1, 110, 2.

§ 3. τότε iſt unklar. Kr. p. 297. — τρεῖς. Gr. 47, 28 A. 4. — ὁπλίσας, τοὺς Ἐρεσίους (Arn.) — παραπέμπει für παρέπλει eine gute Hſ., beſtätigt von einer andern und Va.: transmisit.

§ 4. ἐπὶ τὴν Ἄντισσαν καὶ Μήθυμναν nach παρέπλει aus § 3 wiederholt iſt mit einer guten Hſ. u. Va. getilgt. — ἀπὸ τῶν νεῶν, meint Pp., ſei als Erklärung zu τὸν ἑαυτοῦ στρατόν eingefälſcht; Kr. p. 298 glaubt, es beziehe ſich auf eine ausgefallene Notiz 8, 23 E. Haaſes Meinung ſehe man bei ihm ſelbſt p. 31 ff. — πεζόν. Gr. 50, 9 A. 8. — ἐμέλλησεν. Gr. 40 unter μέλλω.

§ 5. ξυμμαχίδων 8, 33, 1. (Pp.)

τοῖς ἔξ μετὰ ταῦτα ἐς τὴν Χίον. οἱ δὲ Ἀθηναῖοι τά τ' ἐν τῇ Λέσβῳ πάλιν κατεστήσαντο καὶ πλεύσαντες ἐξ αὐτῆς Κλαζομενίων τὴν ἐν τῇ ἠπείρῳ Πολίχναν τειχιζομένην ἑλόντες διεκόμισαν πάλιν αὐτοὺς ἐς τὴν ἐν τῇ νήσῳ πόλιν, πλὴν τῶν αἰτίων τῆς ἀποστάσεως· οὗτοι δὲ ἐς Λαφνοῦντα ἀπῆλθον. καὶ αὖθις Κλαζομεναὶ προσεχώρησαν Ἀθηναίοις.

24 Τοῦ δ' αὐτοῦ θέρους οἵ τ' ἐπὶ Μιλήτῳ Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν ἐν τῇ Λάδῃ ἐφορμοῦντες ἀπόβασιν ποιησάμενοι ἐς Πάνορμον τῆς Μιλησίας Χαλκιδέα τε τὸν Λακεδαιμόνιον ἄρχοντα μετ' ὀλίγων παραβοηθήσαντα ἀποκτείνουσι καὶ τροπαῖον τρίτῃ ἡμέρᾳ ὕστερον διαπλεύσαντες ἔστησαν, ὃ οἱ Μι-
2 λήσιοι ὡς οὐ μετὰ κράτους τῆς γῆς σταθὲν ἀνεῖλον· καὶ Λέων καὶ Διομέδων ἔχοντες τὰς ἐκ Λέσβου Ἀθηναίων ναῦς, ἔκ τε Οἰνουσσῶν τῶν πρὸ Χίου νήσων καὶ ἐκ Σιδούσσης καὶ ἐκ Πτελεοῦ, ἃ ἐν τῇ Ἐρυθραίᾳ εἶχον τείχη, καὶ ἐκ τῆς Λέσβου ὁρμώμενοι τὸν πρὸς τοὺς Χίους πόλεμον ἀπὸ τῶν νεῶν ἐποιοῦντο· εἶχον δ' ἐπιβάτας τῶν ὁπλιτῶν ἐκ καταλόγου
3 ἀναγκαστούς. καὶ ἔν τε Καρδαμύλῃ ἀποβάντες καὶ ἐν Βολίσσῳ τοὺς προσβοηθήσαντας τῶν Χίων μάχῃ νικήσαντες καὶ πολλοὺς διαφθείραντες ἀνάστατα ἐποίησαν τὰ ταύτῃ χωρία, καὶ ἐν Φάναις αὖθις ἄλλῃ μάχῃ ἐνίκησαν καὶ τρίτῃ ἐν Λευκωνίῳ. καὶ μετὰ τοῦτο οἱ μὲν Χῖοι ἤδη οὐκέτι ἐπεξῇεσαν, οἱ δὲ τὴν χώραν καλῶς κατεσκευασμένην καὶ ἀπαθῆ οὖσαν
4 ἀπὸ τῶν Μηδικῶν μέχρι τότε διεπόρθησαν. Χῖοι γὰρ μόνοι μετὰ Λακεδαιμονίους ὧν ἐγὼ ᾔσθόμην εὐδαιμονήσαντες ἅμα

C. 24. § 1. *ταῖς εἴκοσι* 8, 17, 3. — *τρίτῃ. τῇ τρίτῃ* einige Hſn.; doch ſ. Gr. 50, 2 A. 16. — *διαπλεύσαντες*, nachdem ſie vorher nach Miletos zurückgekehrt waren. (Abr.) — *κράτους, τοῦ κρατεῖν.* (Sch.)

§ 2. *τείχη. τείχη καθεῖλον* eine Hſ. am Rande u. Va., *τείχη ἀπῆραν* eine gute Hſ. — *ὁπλιτῶν. πολιτῶν*? vgl. Kr. z. Dion. p. 254. — *καταλόγου.* 6, 31, 4.

§ 3. *ἔν τε K. καὶ ἐν B.* möchte man mit *νικήσαντες* verbinden, da Thuk. ſonſt *ἀποβαίνειν ἔς* ſagt. Dagegen aber ſpricht dies daß hier nur von einem Gefechte die Rede ſein kann. (Pp.) Xen. Hell. 1, 3, 22: *ἐν τῷ ὄχλῳ ἀποβαινόντων ἐν Πειραιεῖ ἔλαθεν ἀποδράς.* — *Βολισσός* oxytonirt bei Steph. B., *Βολίσχῳ* eine gute Hſ. — *κατεσκευασμένην.* zu 6, 91, 6. — *μέχρι τότε.* Gr. 66, 1 A. 4.

§ 4. *εὐδαιμονήσαντες* wohlhabend geworden. Gr. 53,

καὶ ἐσωφρόνησαν, καὶ ὅσῳ ἐπεδίδου ἡ πόλις αὐτοῖς ἐπὶ τὸ μεῖζον, τόσῳ καὶ ἐκοσμοῦντο ἐχυρώτερον. καὶ οὐδ' αὐτὴν τὴν ἀπόστασιν, εἰ τοῦτο δοκοῦσι παρὰ τὸ ἀσφαλέστερον πρᾶξαι, πρότερον ἐτόλμησαν ποιήσασθαι ἢ μετὰ πολλῶν τε καὶ ἀγαθῶν ξυμμάχων ἔμελλον ξυγκινδυνεύσειν, καὶ τοὺς Ἀθηναίους ἤσθάνοντο οὐδ' αὐτοὺς ἀντιλέγοντας ἔτι μετὰ τὴν Σικελικὴν ξυμφορὰν ὡς οὐ πάνυ πόνηρα σφῶν βεβαίως τὰ πράγματ' εἴη· εἰ δέ τι ἐν τοῖς ἀνθρωπείοις τοῦ βίου παραλόγοις ἐσφάλησαν, μετὰ πολλῶν οἷς ταὐτὰ ἔδοξε, τὰ τῶν Ἀθηναίων ταχὺ ξυναναιρεθήσεσθαι, τὴν ἁμαρτίαν ξυνέγνωσαν. εἰργομένοις οὖν αὐτοῖς τῆς θαλάσσης καὶ κατὰ γῆν πορθουμένοις ἐνεχείρησάν τινες πρὸς Ἀθηναίους ἀγαγεῖν τὴν πόλιν· οὓς αἰσθόμενοι οἱ ἄρχοντες αὐτοὶ μὲν ἡσύχασαν, Ἀστύοχον δὲ ἐξ Ἐρυθρῶν τὸν ναύαρχον μετὰ τεσσάρων νεῶν, αἳ παρῆσαν αὐτῷ, κομίσαντες ἐσκόπουν ὅπως μετριώτατα ἢ ὁμήρων λήψει ἢ ἄλλῳ τῳ τρόπῳ καταπαύσουσι τὴν ἐπιβουλήν. καὶ οἱ μὲν ταῦτ' ἔπρασσον.

Ἐκ δὲ τῶν Ἀθηνῶν τοῦ αὐτοῦ θέρους τελευτῶντος χίλιοι ὁπλῖται Ἀθηναίων καὶ πεντακόσιοι καὶ χίλιοι Ἀργείων — τοὺς γὰρ πεντακοσίους τῶν Ἀργείων ψιλοὺς ὄντας ὥπλισαν οἱ Ἀθηναῖοι — καὶ χίλιοι τῶν ξυμμάχων ναυσὶ δυοῖν δεούσαις πεντήκοντα, ὧν ἦσαν καὶ ὁπλιταγωγοί, Φρυνίχου καὶ Ὀνομακλέους καὶ Σκιρωνίδου στρατηγούντων κατέπλευσαν ἐς Σάμον καὶ διαβάντες ἐς Μίλητον ἐστρατοπεδεύσαντο. Μιλήσιοι δὲ ἐξελθόντες αὐτοί τε, ὀκτακόσιοι ὁπλῖται, καὶ οἱ μετὰ Χαλκιδέως ἐλθόντες Πελοποννήσιοι καὶ Τισσαφέρνους τι ξενικὸν

---

5 A. 2. — τόσῳ. Gr. 25, 10 A. 4. — ἐκοσμοῦντο gaben ſich wohlgeordnete Verhältniſſe. — ἀσφαλέστερον. ἀσφαλέστατον eine gute Hſ. παρὰ τὸ ἀσφαλέστερον iſt ſo v. a. ἧσσον ἀσφαλές. — ἀντιλέγοντας ὡς οὐ. Gr. 67, 12 A. 2. — βεβαίως entſchieden, unzweifelhaft. (Ba,) auf nicht wieder herzuſtellende Weiſe. (Pp.) Für erſteres 4, 126, 3.

§ 5. εἰ δέ τι. εἴτ' ἔτι eine Hſ. et si quid Va. Es iſt alſo εἴ τε τι zu leſen, da hier kein Gegenſatz zum Vorhergehenden eintritt. (Kr.) Ueberhaupt gebraucht Thuk. in Satzverbindungen oft τέ, wo Spätere δέ, das denn von den Abſchreibern oft eingefälſcht iſt. — ξυναναιρεθήσεσθαι für ξυναιρεθήσεσθαι eine gute Hſ. — εἰργομένοις. Gr. 48, 5 A. 1. — οὖν. γοῦν eine gute Hſ. δ' οὖν wünſcht Bk.

C. 25. § 2. τι für τό die beſten Hſn. — ξενικόν verdächtigt

ἐπικουρικόν, καὶ αὐτὸς Τισσαφέρνης παρὼν καὶ ἡ ἵππος αὐ-
3 τοῦ ξυνέβαλον τοῖς Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις. καὶ οἱ μὲν Ἀργεῖοι τῷ σφετέρῳ αὐτῶν κέρᾳ προεξάξαντες καὶ καταφρονήσαντες, ὡς ἐπ' Ἴωνάς τε καὶ οὐ δεξομένους ἀτακτότερον χωροῦντες, νικῶνται ὑπὸ τῶν Μιλησίων καὶ διαφθείρονται αὐτῶν ὀλίγῳ ἐλάσσους τριακοσίων ἀνδρῶν· Ἀθηναῖοι δὲ τούς τε Πελοποννησίους πρώτους νικήσαντες καὶ τοὺς βαρβάρους καὶ τὸν ἄλλον ὄχλον ὠσάμενοι, τοῖς Μιλησίοις οὐ ξυμμίξαντες, ἀλλ' ὑποχωρησάντων αὐτῶν ἀπὸ τῆς τῶν Ἀργείων τροπῆς ἐς τὴν πόλιν, ὡς ἑώρων τὸ ἄλλο σφῶν ἠσσώμενον, πρὸς αὐτὴν τὴν πόλιν τῶν Μιλησίων κρατοῦντες
4 ἤδη τὰ ὅπλα τίθενται. καὶ ξυνέβη ἐν τῇ μάχῃ ταύτῃ τοὺς Ἴωνας ἀμφοτέρωθεν τῶν Δωριῶν κρατῆσαι· τούς τε γὰρ κατὰ σφᾶς Πελοποννησίους οἱ Ἀθηναῖοι ἐνίκων καὶ τοὺς Ἀργείους οἱ Μιλήσιοι. στήσαντες δὲ τροπαῖον τὸν περιτειχισμὸν ἰσθμώδους ὄντος τοῦ χωρίου οἱ Ἀθηναῖοι παρεσκευάζοντο, νομίζοντες, εἰ προσαγάγοιντο Μίλητον, ῥᾳδίως ἂν
26 σφίσι καὶ τἆλλα προσχωρήσειν. ἐν τούτῳ δὲ περὶ δείλην ἤδη ὑψίαν ἀγγέλλεται αὐτοῖς τὰς ἀπὸ Σικελίας καὶ Πελοποννήσου πέντε καὶ πεντήκοντα ναῦς ὅσον οὐ παρεῖναι. τῶν τε γὰρ Σικελιωτῶν, Ἑρμοκράτους τοῦ Συρακοσίου μάλιστα ἐνάγοντος ξυνεπιλαβέσθαι καὶ τῆς ὑπολοίπου Ἀθηναίων καταλύσεως, εἴκοσι νῆες Συρακοσίων ἦλθον καὶ Σελινούντιαι

Schäfer z. Lamb. Bos. ell. Gr. p. 451. Allein es bezeichnet hier Ausländer, Barbaren nach § 4. Aehnlich 3, 109: *τὸν μισθοφόρον ὄχλον τὸν ξενικόν.* (Pp.) — *ἐπικουρικόν.* zu 4, 52, 1.

§ 3. *προεξάξαντες. προεξαΐξαντες* für *προεξάξαντες* eine gute Hs. Her. 9, 62: *προεξαΐσσοντας καὶ ἕνα ἐσέπιπτον ἐς τοὺς Σπαρτιήτας.* (L. Dindorf.) — *καταφρονήσαντες, καταφρόνησιν σχόντες.* (Ba.) Gr. 53, 5 A. 2. — *οὐ ξυμμίξαντες, ἀλλ' ὑποχωρησάντων.* Gr. 56, 14 A. 2. — *ἑώρων, οἱ Μιλήσιοι.* (Sch.)

§ 4. *ἂν προσχωρήσειν.* zu 2, 80, 5.

C. 26. § 1. *τάς* wird durch den Satz *τῶν τε γάρ* erklärt. (Arn.) so wie durch § 2. Ueber die Sache Kr. z. Dion. p. 298 f. — *ἐνάγοντος —, ἤγουν πείθοντος συνεφάψασθαι ὥστε καὶ τὴν ὑπολειπομένην δύναμιν τῶν Ἀθηναίων καταλῦσαι.* (Sch.) vgl. zu 1, 67, 2. — *καὶ τῆς* für *τῆς* eine gute Hs.

δύο, αἵ τε ἐκ Πελοποννήσου, ἃς παρεσκευάζοντο, ἑτοῖμαι 2
ἤδη οὖσαι· καὶ Θηραμένει τῷ Λακεδαιμονίῳ ξυναμφότεραι
ὡς Ἀστύοχον τὸν ναύαρχον προσταχθεῖσαι κομισαι, κατέ-
πλευσαν ἐς Λέρον πρῶτον τὴν πρὸ Μιλήτου νῆσον· ἔπειτα
ἐκεῖθεν, αἰσθόμενοι ἐπὶ Μιλήτῳ ὄντας Ἀθηναίους, ἐς τὸν
Ἰασικὸν κόλπον πρότερον πλεύσαντες ἐβούλοντο εἰδέναι τὰ
περὶ τῆς Μιλήτου. ἐλθόντος δὲ Ἀλκιβιάδου ἵππῳ ἐς Τει- 3
χιοῦσσαν τῆς Μιλησίας, οἵπερ τοῦ κόλπου πλεύσαντες ηὐλί-
σαντο, πυνθάνονται τὰ περὶ τῆς μάχης· παρῆν γὰρ ὁ Ἀλκι-
βιάδης καὶ ξυνεμάχετο τοῖς Μιλησίοις καὶ Τισσαφέρνει, καὶ
αὐτοῖς παρῄνει, εἰ μὴ βούλονται τά τε ἐν Ἰωνίᾳ καὶ τὰ
ξύμπαντα πράγματα διολέσαι, ὡς τάχιστα βοηθεῖν Μιλήτῳ
καὶ μὴ περιιδεῖν ἀποτειχισθεῖσαν. καὶ οἱ μὲν ἅμα τῇ ἕῳ 27
ἔμελλον βοηθήσειν· Φρύνιχος δὲ ὁ τῶν Ἀθηναίων στρατη-
γός, ὡς ἀπὸ τῆς Λέρου ἐπύθετο τὰ τῶν νεῶν σαφῶς, βου-
λομένων τῶν ξυναρχόντων ὑπομεῖναντας διαναυμαχεῖν, οὐκ
ἔφη οὔτ' αὐτὸς ποιήσειν τοῦτο οὔτ' ἐκείνοις οὐδ' ἄλλῳ οὐ-
δενὶ ἐς δύναμιν ἐπιτρέψειν. ὅπου γὰρ ἔξεστιν ἐν ὑστέρῳ, 2
σαφῶς εἰδότας πρὸς ὁπόσας τε ναῦς πολεμίας καὶ ὅσαις
πρὸς αὐτὰς ταῖς σφετέραις, ἱκανῶς καὶ καθ' ἡσυχίαν παρα-
σκευασαμένοις [ἔσται] ἀγωνίσασθαι, οὐδέποτε τῷ αἰσχρῷ
ὀνείδει εἴξας ἀλόγως διακινδυνεύσειν. οὐ γὰρ αἰσχρὸν εἶναι
Ἀθηναίους ναυτικῷ μετὰ καιροῦ ὑποχωρῆσαι, ἀλλὰ καὶ
μετὰ ὁτουοῦν τρόπου αἴσχιον ξυμβήσεσθαι ἢν ἡσσηθῶσιν·

---

§ 2. *παρεσκευάζοντο.* zu 2, 23, 1. vgl. 4, 2, 1. 24, 1. 129, 2. — *ἑτοῖμαι* für *ἑτοῖμοι* einige Hsn. zu 4, 21, 2. — *οὖσαι.* Ein Kolon für das Komma Hk. nach Ba. — *Θηραμένει.* *Θηριμένει* zwei Hsn. — *προσταχθεῖσαι.* zu 5, 8, 3. — *Λέρον* für *Ἑλεόν* eine gute Hs. vgl. 8, 27, 1.

§ 3. *οἵπερ* für *ἦπερ* mehrere Hsn. — *παρῆν* war zugegen gewesen. Gr. 53, 2 A. 8. — *ἀποτειχισθεῖσαν.* Gr. 56, 6 A. 2.

C. 27. § 1. *Λέρου* für *Λέρον* eine gute Hs. u. a. — *ὑπομεῖναντας ἀντὶ τοῦ ὑπομεινάντων.* (Sch.) Gr. 55, 2 A. 7. — *οὐδ'* für *οὔτ'* Bk.

§ 2. *ὅπου* eben so 8, 96, 1. (Pp.) — *πρὸς ὁπόσας — σφετέραις, ἀγωνιστέον* aus *ἀγωνίσασθαι.* (Hl.) Das *παρασκευασαμένοις* nach *εἰδότας* ist, zumal da keine Verbindung durch Partikeln vorhanden ist, erträglicher als andere Erklärungen. — *ἔσται* ist mit Hl. zu tilgen. — *ὀνείδει* ist mir verdächtig. vgl. § 3. 5, 105, 2. 111, 3. *οὐ μὴ δεῖ* Kr. Der Sinn: *τὴν ἀδοξίαν φεύγων.* — *μετὰ ὁτουοῦν τρόπου* gehört zu *ἡσσηθῶσι.* (Ba.)

3 καὶ τὴν πόλιν οὐ μόνον τῷ αἰσχρῷ ἀλλὰ καὶ τῷ μεγίστῳ κινδύνῳ περιπίπτειν, ἢ μόλις ἐπὶ ταῖς γεγενημέναις ξυμφοραῖς ἐνδέχεσθαι μετὰ βεβαίου παρασκευῆς καθ' ἐχουσίαν, ἢ πάνυ γε ἀνάγκῃ, προτέρᾳ ποι ἐπιχειρεῖν, ποῦ δεῖ μὴ βιαζο-
4 μένῃ γε πρὸς αὐθαιρέτους κινδύνους ἰέναι; ὡς τάχιστα δὲ ἐκέλευε τούς τε τραυματίας ἀναλαβόντας καὶ τὸν πεζὸν καὶ τῶν σκευῶν ὅσα ἦλθον ἔχοντες, ἃ δ' ἐκ τῆς πολεμίας εἰλή-
φασι καταλιπόντας, ὅπως κοῦφαι ὦσιν αἱ νῆες, ἀποπλεῖν ἐς Σάμον, κἀκεῖθεν ἤδη ξυναγαγόντας πάσας τὰς ναῦς τοὺς
5 ἐπίπλους, ἢν που καιρὸς ᾖ, ποιεῖσθαι. ὡς δ' ἔπεισε, καὶ ἔδρασε ταῦτα· καὶ ἔδοξεν οὐκ ἐν τῷ αὐτίκα μᾶλλον ἢ ὕστερον, οὐκ ἐς τοῦτο μόνον ἀλλὰ καὶ ἐς ὅσα ἄλλα Φρύνιχος κατέστη, οὐκ ἀξύνετος εἶναι. καὶ οἱ μὲν Ἀθηναῖοι ἀφ' ἑσπέρας εὐθὺς τούτῳ τῷ τρόπῳ ἀτελεῖ τῇ νίκῃ ἀπὸ τῆς Μι-
λήτου ἀνέστησαν, καὶ οἱ Ἀργεῖοι κατὰ ταχος καὶ πρὸς ὀργὴν
28 τῆς ξυμφορᾶς ἀπέπλευσαν ἐκ τῆς Σάμου ἐπ' οἴκου· οἱ δὲ Πελοποννήσιοι ἅμα τῇ ἕῳ ἐκ τῆς Τειχιούσσης ἄραντες ἐπι-
κατάγονται, καὶ μείναντες ἡμέραν μίαν τῇ ὑστεραίᾳ καὶ τὰς

---

§ 3. ἢ. Sonſt hat ἐνδέχεσθαι auch bei Thuk. den Ac beim Inf. 1, 124, 2. 140, 2. 2, 87, 2. Der Da. findet ſich eben ſo Xen. Hier. 4, 9: τοῖς μὲν ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν, τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. [Dem.] 26, 4: ὑπολαμβάνω τοῖς μὲν ἐνδέχεσθαι καὶ παρὰ τὸν καιρὸν τὸ δίκαιον λαβεῖν, τοῖς δ' οὐκ ἐνδέχεσθαι. vgl. Ariſtot. Pol. 4, 9, 2 u. 7, 2, 10 — μόλις für μόγις eine Hſ u. der Sch. vgl. zu 1, 12. 3. — κατ' ἐχουσίαν wie ἐξ ἐχουσίας Soph. Trach. 727 und ſonſt ἐχουσίᾳ Dem. 21, 42. (Lobeck.) — ἢ πάνυ γε ἀνάγκῃ oder, falls ſie einer zuverläſſigen Rüſtung ermangeln, höchſtens aus dringender Noth. (Va.) — ποῦ in welcher Lage. Ein zweiter Satz der dem relativen entſpricht, als ob dieſer ſich nicht auf das Vorhergehende bezöge: eine Verkettung wie Soph. Ant. 696 ff, Oed. K. 89 ff., Phil 456 ff (vgl. 269 ff. vgl. zu 1, 16. — δεῖ für δή eine Hſ. u. V. Für ποῦ δή haben mehrere σπουδή; daher σπουδῇ Schneider, ohne rechtes Gefüge. — μὴ βιαζομένῃ mit der nicht gezwungenen, was aber wegen αὐθαίρετος pleonaſtiſch iſt. Man würde erwarten: mit der nicht tüchtig gerüſteten.

§ 4. ᾖ für εἴη eine gute Hſ.

§ 5. καὶ ἔδρασε. zu 2, 93, 3. — ἀφ' ἑσπέρας. zu 3, 112, 2. vgl. 7, 29, 2. — ἀτελεῖ τῇ νίκῃ bei, nach einem unvollſtändigen Siege. Gr 50, 11 A. 1. — πρὸς ὀργήν. zu 2, 65, 5. — τῆς ξυμφορᾶς, wegen der nicht gerächten Niederlage 8, 25, 3. Ein Genitiv bei πρὸς ὀργήν iſt mir ſonſt nicht erinnerlich.

C. 28. § 1. ἐπικατάγονται nach der Abfahrt der Athener

Χίας ναῦς προσλαβόντες τὰς μετὰ Χαλκιδέως τὸ πρῶτον ξυγκαταδιωχθείσας ἐβούλοντο πλεῦσαι ἐπὶ τὰ σκεύη ἃ ἐξείλοντο ἐς Τειχιοῦσσαν πάλιν. καὶ ὡς ἦλθον, Τισσαφέρνης 2
τῷ πεζῷ παρελθὼν πείθει αὐτοὺς ἐπὶ Ἴασον, ἐν ᾗ Ἀμόργης πολέμιος ὢν κατεῖχε, πλεῖσαι. καὶ προσβαλόντες τῇ Ἰάσῳ αἰφνίδιοι καὶ οὐ προσδεχομένων ἀλλ' ἢ Ἀττικὰς τὰς ναῦς εἶναι αἱροῦσιν· καὶ μάλιστα ἐν τῷ ἔργῳ οἱ Συρακόσιοι ἐπῃνέθησαν. καὶ τόν τε Ἀμόργην ζῶντα λαβόντες, Πισσού- 3
θνου νόθον υἱόν, ἀφεστῶτα δὲ βασιλέως, παραδιδόασιν οἱ Πελοποννήσιοι Τισσαφέρνει ἀπαγαγεῖν, εἰ βούλεται, βασιλεῖ, ὥσπερ αὐτῷ προσέταξεν, καὶ τὴν Ἴασον διεπόρθησαν καὶ χρήματα πάνυ πολλὰ ἡ στρατιὰ ἔλαβεν· παλαιόπλουτον γὰρ ἦν τὸ χωρίον. τούς τ' ἐπικούρους τοὺς περὶ τὸν Ἀμόργην 4
παρὰ σφᾶς αὐτοὺς κομίσαντες καὶ οὐκ ἀδικήσαντες ξυνέταξαν, ὅτι ἦσαν οἱ πλεῖστοι ἐκ Πελοποννήσου· τό τε πόλισμα Τισσαφέρνει παραδόντες καὶ τὰ ἀνδράποδα πάντα, καὶ δοῦλα καὶ ἐλεύθερα, ὧν καθ' ἕκαστον στατῆρα Δαρεικὸν παρ' αὐτοῦ ξυνέβησαν λαβεῖν, ἔπειτα ἀνεχώρησαν ἐς τὴν Μίλητον. καὶ Πεδάριτόν τε τὸν Λέοντος ἐς τὴν Χίον ἄρχοντα Λακε- 5
δαιμονίων πεμψάντων ἀποστέλλουσι πεζῇ μέχρι Ἐρυθρῶν, ἔχοντα τὸ παρὰ Ἀμόργου ἐπικουρικόν, καὶ ἐς τὴν Μίλητον αὐτοῦ Φίλιππον καθιστᾶσιν. καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος, ἐπειδὴ τὴν Ἴασον κα- 29
τεστήσατο ὁ Τισσαφέρνης ἐς φυλακήν, παρῆλθεν ἐς τὴν Μί-

---

landen sie bei Miletos. (Ps.) zu 3, 49, 3. — τὰς Χίας 8, 17, 1 f. (Kist.) — ξυγκαταδιωχθείσας zugleich mit denen des Chalkideus verfolgt. Kr. p. 299 n. 54. — ἐξείλοντο. Der eigentliche Ausdruck. vgl. 8, 90, 6, Her. 4, 196, Xen. An. 5, 1, 16. (Bl.) Lyk. 18: τὸν σῖτον ἐξείλοντο. — ἐς T. πάλιν gehört zu πλεῦσαι. (Sch.)

§ 2. κατεῖχε sich hielt. (Ba.) vgl. 100, 2. (Bl.) u. 4, 32, 2. — ἀλλ' ἤ. Gr. 69, 4 A 6. — τάς (vor ναῦς) hat eine gute Hs.

§ 3. δέ. Gr. 69, 16 A. 1 zweite Ausg. — προσέταξε, βασιλεὺς δηλονότι. (Sch.) 8, 5, 5. (Ts.) — βασιλεῖ. Ar. Ftie. 714: τὴν θεωρίαν ἀπάγαγε τῇ βουλῇ λαβών.

§ 4. ξυνέταξαν ἀντὶ τοῦ κατέταξαν εἰς τὸ ἴδιον στράτευμα. (Sch.)

§ 5. ἐς τὴν M. αὐτοῦ zu M. selbst. zu 5, 22, 1.

C. 29. § 1. ἐς φυλακήν zu einem Posten. (Ba.) =

λητον, καὶ μηνὸς μὲν τροφήν, ὥσπερ ὑπέστη ἐν τῇ Λακεδαίμονι, ἐς δραχμὴν Ἀττικὴν ἑκάστῳ πάσαις ταῖς ναυσὶ διέδωκεν, τοῦ δὲ λοιποῦ χρόνου ἐβούλετο τριώβολον διδόναι, ἕως ἂν βασιλέα ἐπέρηται· ἢν δὲ κελεύῃ, δώσειν ἔφη ἐντελῆ
2 τὴν δραχμήν. Ἑρμοκράτους δὲ ἀντειπόντος τοῦ Συρακοσίου στρατηγοῦ — ὁ γὰρ Θηραμένης, οὐ ναύαρχος ὢν ἀλλ' Ἀστυόχῳ παραδοῦναι τὰς ναῦς ξυμπλέων, μαλακὸς ἦν περὶ τοῦ μισθοῦ — ὅμως δὲ παρὰ πέντε ναῦς πλέον ἀνδρὶ ἑκάστῳ ἢ τρεῖς ὀβολοὶ ὡμολογήθησαν. ἐς γὰρ πέντε ναῦς τρία τάλαντα ἐδίδου τοῦ μηνός· καὶ τοῖς ἄλλοις, ὅσῳ πλείους νῆες ἦσαν τούτου τοῦ ἀριθμοῦ, κατὰ τὸν αὐτὸν λόγον τοῦτον ἐδίδοτο.

30 Τοῦ δ' αὐτοῦ χειμῶνος τοῖς ἐν τῇ Σάμῳ Ἀθηναίοις προσαφιγμέναι γὰρ ἦσαν καὶ οἴκοθεν ἄλλαι νῆες πέντε καὶ τριάκοντα καὶ στρατηγοὶ Χαρμῖνος καὶ Στρομβιχίδης καὶ Εὐκτήμων, καὶ τὰς ἀπὸ Χίου καὶ τὰς ἄλλας πάσας ξυναγαγόντες, ἐβούλοντο διακληρωσάμενοι ἐπὶ μὲν τῇ Μιλήτῳ τῷ ναυτικῷ ἐφορμεῖν, πρὸς δὲ τὴν Χίον καὶ ναυτικὸν καὶ πεζὸν

ὑπέστη. zu 4, 39, 2. Versprochen hatte er es durch seinen Gesandten 8, 5, 4. — ἐς δραχμήν. Kr. p. 354 ss. — πάσαις ταῖς ναυσὶ ἀντὶ τοῦ τοῖς ἐν πάσαις ταῖς ναυσί. (Sch.) Doch eigentlich für jedes Schiff. — τοῦ λοιποῦ χρόνου. Dem. 50, 42: τοῦ λοιποῦ χρόνου ὅσα ἐδεῖτο εἰς τὴν ναῦν συνανήλισκον. Gr. 47, 2 A. 3.

§ 2. Θηραμένης. Θηριμένης einige Hss. — παραδοῦναι um zu übergeben. (Sch.) Gr. 55, 3 A. 20. — μαλακός, ἀργός. (Sch.) lässig, nachgiebig. (St.) vgl 8, 50, 4. — ὅμως obgleich Theramenes lässig war Kr.; obgleich Tissaphernes nur drei Obolen bestimmt hatte Bl. — δέ steht nach der Parenthese, wie 7, 33, 2. — παρὰ πέντε ναῦς je nach fünf Schiffen Dr. und Böckh Staatshaush. der Ath. 1 p. 297 A. Allein die Art des Ausdruckes verglichen mit dem Folgenden καὶ τοῖς ἄλλοις wäre dann sehr seltsam. G. Hermann erklärt: auf jedes fünfte Schiff, wie παρὰ πέντε ἡμέρας alle fünf Tage heiße. Es werde also gesagt daß jedes Schiff abwechselnd etwas mehr erhalten hätte, d. h. nach jener Berechnung 200 Triobolen oder 600 Obolen. [Also abwechselnd auf jedem fünften Schiffe $3 + \frac{1}{5}^{5}$ = 6 Obolen = 1 Drachme. (Vp.)] Aber auch da wäre die Art der Vertheilung wie die Angabe darüber befremdlich. Ich halte παρὰ πέντε ναῦς für ein Glossem zu ἐς πέντε ναῦς oder eine Verfälschung aus dem γὰρ πέντε ναῦς. Anders Haase p. 33 f. — καὶ πεντήκοντα vor τρία ist mit Paulmier getilgt.

C. 30. § 1. τοῖς Ἀθηναίοις. zu 1, 72, 1. — τὰς ἀπὸ Χίου 8, 24, 2.

πέμψαι. καὶ ἐποίησαν οὕτως· Στρομβιχίδης μὲν γὰρ καὶ 2
Ὀνομαχλῆς καὶ Εὐχτήμων τριάκοντα ναῦς ἔχοντες καὶ τῶν ἐς
Μίλητον ἐλθόντων χιλίων ὁπλιτῶν μέρος ἀγαγοντες ἐν νευ-
σὶν ὁπλιταγωγοῖς ἐπὶ Χίον λαχόντες ἔπλεον, οἱ δ' ἄλλοι ἐν
Σάμῳ μένοντες τέσσαρσι καὶ ἑβδομήκοντα ναυσὶν ἐθαλασσο-
κράτουν καὶ ἐπίπλους τῇ Μιλήτῳ ἐποιοῦντο.

Ὁ δ' Ἀστύοχος ὡς τότ' ἐν τῇ Χίῳ ἔτυχε διὰ τὴν προ- 31
δοσίαν τοὺς ὁμήρους καταλεγόμενος, τούτου μὲν ἐπέσχεν,
ἐπειδὴ ᾔσθετο τάς τε μετὰ Θηραμένους ναῦς ἡκούσας καὶ τὰ
περὶ τὴν ξυμμαχίαν βελτίω ὄντα, λαβὼν δὲ ναῦς τάς τε Πε-
λοποννησίων δέκα καὶ Χίας δέκα ἀνάγεται, καὶ προσβαλὼν
Πτελεῷ καὶ οὐχ ἑλὼν παρέπλευσεν ἐπὶ Κλαζομενάς, καὶ ἐκέ-
λευεν αὐτῶν τοὺς τὰ Ἀθηναίων φρονοῦντας ἀνοιχίζεσθαι ἐς
τὸν Λαφνοῦντα καὶ προσχωρεῖν σφίσιν· ξυνεκέλευε δὲ καὶ
Ταμώς, Ἰωνίας ὕπαρχος ὤν. ὡς δ' οὐκ ἐσήκουον, ἐσβολὴν 2
ποιησάμενος τῇ πόλει, οὔσῃ ἀτειχίστῳ, καὶ οὐ δυνάμενος ἑλεῖν
ἀπέπλευσεν ἀνέμῳ μεγάλῳ, αὐτὸς μὲν ἐς Φώκαιαν καὶ Κύ-
μην, αἱ δὲ ἄλλαι νῆες κατῆραν ἐς τὰς ἐπικειμένας ταῖς Κλα-
ζομεναῖς νήσους, Μαράθουσσαν καὶ Πήλην καὶ Λρυμοῦσσαν.
καὶ ὅσα ὑπεξέκειτο αὐτόθι τῶν Κλαζομενίων ἡμέρας ἐμμεί-
νιντες διὰ τοὺς ἀνέμους ὀχτὼ τὰ μὲν διήρπασαν καὶ ἀνά-
λωσαν, τὰ δ' ἐσβαλόμενοι ἀπέπλευσαν ἐς Φώκαιαν καὶ
Κύμην ὡς Ἀστύοχον. ὄντος δ' αὐτοῦ ἐνταῦθα Λεσβίων 32
ἀφικνοῦνται πρέσβεις, βουλόμενοι αὖθις ἀποστῆναι, καὶ αὐ-
τὸν μὲν πείθουσιν, ὡς δ' οἵ τε Κορίνθιοι καὶ οἱ ἄλλοι
ξύμμαχοι ἀπρόθυμοι ἦσαν διὰ τὸ πρότερον σφάλμα, ἄρας

---

§ 2. ἀγαγόντες, wofür eine gute Hs. ἀπολιπόντες hat, will Pp. mit Va. tilgen. — ναυσίν ist mit μένοντες zu verbinden. (Va.) — ἐπίπλους für ἐπίπλουν Kr. vgl. 8, 38, 3.

C. 31. § 1. ὡς. zu 5, 6, 1. — τότε 8, 24, 6. — προδοσίαν, die man fürchtete. (Va.) — Θηραμένους. Θηριμένους einige Hsn. — ἀνοιχίζεσθαι. zu 1, 7, 2. — προσχωρεῖν σφίσι ihre Parthei zu ergreifen. (Ps.)

§ 2. ἐσβολήν. προσβολήν Pp. Denn einen Angriff auf eine Stadt kann jenes überhaupt nicht bezeichnen. — Λρυμοῦσσαν Hk. mit Steph. Byz. Λρύμουσσαν Vk. Λρύμνσσαν oder Λρίμνσσαν die Hsn. — ἐσβαλόμενοι, ἐς τὰς ναῦς. (Pp.) Gewöhnlich ἐσπλεύσασθαι.

C. 32. § 1. ἀφικνοῦνται πρέσβεις für πρέσβεις ἀφικνοῦνται eine gute Hs. — βουλόμενοι. βουλομένων erwartet Gö. — αὖθις hat nur eine gute Hs. — σφάλμα τὴν ἧσσαν λέγει. (Sch.)

ἔπλει ἐπὶ τῆς Χίου. καὶ χειμασθεισῶν τῶν νεῶν ὕστερον
2 ἀφικνοῦνται ἄλλαι ἄλλοθεν ἐς τὴν Χίον. καὶ μετὰ τοῦτο Πεδάριτος, τότε παριὼν πεζῇ ἐκ τῆς Μιλήτου, γενόμενος ἐν Ἐρυθραῖς διαπεραιοῦται αὐτός τε καὶ ἡ στρατιὰ ἐς Χίον· ὑπῆρχον δ' αὐτῷ καὶ ἐκ τῶν πέντε νεῶν στρατιῶται ὑπὸ Χαλκιδέως ἐς πεντακοσίους ξὺν ὅπλοις καταλειφθέντες.
3 ἐπαγγελλομένων δέ τινων Λεσβίων τὴν ἀπόστασιν προσφέρει τῷ τε Πεδαρίτῳ καὶ τοῖς Χίοις ὁ Ἀστύοχος τὸν λόγον ὡς χρὴ παραγενομένους ταῖς ναυσὶν ἀποστῆσαι τὴν Λέσβον· ἢ γὰρ ξυμμάχους πλείους σφᾶς ἕξειν ἢ τοὺς Ἀθηναίους, ἤν τι σφάλλωνται, κακώσειν. οἱ δ' οὐκ ἐσήκουον, οὐδὲ τὰς
33 ναῦς ὁ Πεδάριτος ἔφη τῶν Χίων αὐτῷ προήσειν. κἀκεῖνος λαβὼν τάς τε τῶν Κορινθίων πέντε καὶ ἕκτην Μεγαρίδα καὶ μίαν Ἑρμιονίδα καὶ ἃς αὐτὸς Λακωνικὰς ἦλθεν ἔχων, ἔπλει ἐπὶ τῆς Μιλήτου πρὸς τὴν ναυαρχίαν, πολλὰ ἀπειλήσας τοῖς Χίοις ἢ μὴν μὴ ἐπιβοηθήσειν, ἤν τι δέωνται. καὶ προσβαλὼν
2 Κωρύκῳ τῆς Ἐρυθραίας ἐνηυλίσατο. οἱ δ' ἀπὸ τῆς Σάμου Ἀθηναῖοι ἐπὶ τὴν Χίον πλέοντες τῇ στρατιᾷ καὶ αὐτοὶ ἐκ τοῦ ἐπὶ θάτερα λόφου διειργοντος καθωρμίσαντο καὶ ἐλελήθεσαν ἀλλήλους. ἐλθούσης δὲ παρὰ Πεδαρίτου ὑπὸ νύκτα ἐπιστολῆς ὡς Ἐρυθραίων ἄνδρες αἰχμάλωτοι ἐκ Σάμου ἐπὶ προδοσίᾳ ἐς Ἐρυθρὰς ἥκουσιν ἀφειμένοι ἀνάγεται ὁ Ἀστύοχος εὐθὺς ἐς τὰς Ἐρυθρὰς πάλιν, καὶ παρὰ τοσοῦτον

---

vgl. 5, 14, 1. 17, 1. 8, 106, 2. — *χειμασθεισῶν, ἤγουν διασπαρεισῶν ὑπὸ χειμῶνος.* (Sch.) vgl. 2, 25, 3. 3, 69, 1. 6, 74, 2. 8, 80, 2. 99, 3. *καὶ πλανηθεισῶν* fügt eine gute Hs. hinzu.

§ 2. *τότε* 8, 28, 5. (Bs.) — *Χαλκιδέως* für *Χαλκιδέων* Dr. u. eine gute Hs. — *τῶν πέντε* 8, 6, 5. 8, 2. 11, 3. 12, 2. 17, 1. (Dr.) — *ὡς* vor *ἐς* habe ich nach einer guten Hs. getilgt. — *ἐς πεντακοσίους.* Gr. 60, 8 A. 1.

§ 3. *ὁ Ἀστύοχος τόν* für *Ἀστύοχος* eine gute Hs. — *σφᾶς.* zu 3, 111, 2. — *ἤν τι. ἤν τι καί* Dobree vgl. Ar. Frösche 737. — *προήσειν.* Das Activ findet sich selten so, etwas verschieden Xen. An. 7, 2, 15; ähnlicher Her. 1, 24. 3, 137.

C. 33. § 1. *πέντε, πέντε οὔσας.* Kr. zu Xen. An. 1, 2, 3.

§ 2. *ἐκ τοῦ ἐπὶ θάτερα.* zu 7, 37, 2. — *διειργοντος* für *διειργοντο καί* Kr. ad alterum tumuli latus quo detinebantur stationem habuerunt Va. Pol. 22, 21, 8: *ποταμοῦ τινος ἐν μέσῳ διειργοντος.* — *ὑπὸ νύκτα* hat nur eine gute Hs. — *ἀφειμένοι, ὑπὸ τῶν Ἀθηναίων.* (Sch.) — *παρὰ τοσοῦτον.* zu 4, 106, 3.

ἐγένετ' αὐτῷ μὴ περιπεσεῖν τοῖς Ἀθηναίοις. διαπλεύσας δὲ 3
καὶ ὁ Πεδάριτος πρὸς αὐτὸν καὶ ἀναζητήσαντες τὰ περὶ τῶν
δοκούντων προδιδόναι, ὡς εὗρον ἅπαν ἐπὶ σωτηρίᾳ τῶν ἀν-
θρώπων ἐκ τῆς Σάμου προφασισθέν, ἀπολύσαντες τῆς αἰτίας
ἀπέπλευσαν ὁ μὲν ἐς τὴν Χίον, ὁ δ' ἐς τὴν Μίλητον [ἐκο-
μίσθη], ὥσπερ διενοεῖτο.

Ἐν τούτῳ δὲ καὶ ἡ τῶν Ἀθηναίων στρατιὰ ταῖς ναυσὶν 34
ἐκ τοῦ Κωρύκου περιπλέουσα κατ' Ἀργῖνον ἐπιτυγχάνει τρισὶ
ναυσὶ τῶν Χίων μακραῖς καὶ ὡς εἶδον, ἐδίωκον· καὶ χειμών
τε μέγας ἐπιγίγνεται καὶ αἱ μὲν τῶν Χίων μόλις καταφεύ-
γουσιν ἐς τὸν λιμένα, αἱ δὲ τῶν Ἀθηναίων αἱ μὲν μάλιστα 2
ὁρμήσασαι τρεῖς διαφθείρονται καὶ ἐκπίπτουσι πρὸς τὴν
πόλιν τῶν Χίων, καὶ ἄνδρες οἱ μὲν ἁλίσκονται οἱ δ' ἀπο-
θνήσκουσιν, αἱ δ' ἄλλαι καταφεύγουσιν ἐς τὸν ὑπὸ τῷ Μί-
μαντι λιμένα, Φοινικοῦντα καλούμενον. ἐντεῦθεν δ' ὕστερον
ἐς τὴν Λέσβον καθορμισάμενοι παρεσκευάζοντο ἐς τὸν τει-
χισμόν.

Ἐκ δὲ τῆς Πελοποννήσου τοῦ αὐτοῦ χειμῶνος Ἱπποκρά- 35
της ὁ Λακεδαιμόνιος ἐκπλεύσας δέκα μὲν Θουρίαις ναυσίν,
ὧν ἦρχε Λωριεὺς ὁ Λιαγόρου τρίτος αὐτός, μιᾷ δὲ Λακω-
νικῇ, μιᾷ δὲ Συρακοσίᾳ, καταπλεῖ ἐς Κνίδον· ἡ δ' ἀφεστή- 2
κει ἤδη ἀπὸ Τισσαφέρνους. καὶ αὐτοὺς οἱ ἐν τῇ Μιλήτῳ,
ὡς ἤσθοντο, ἐκέλευον ταῖς μὲν ἡμισείαις τῶν νεῶν Κνίδον
φυλάσσειν, ταῖς δὲ περὶ Τριόπιον οὔσαις τὰς ἀπ' Αἰγύπτου
ὁλκάδας προσβαλλούσας ξυλλαμβάνειν· ἔστι δὲ τὸ Τριόπιον

---

§ 3. αὐτόν für αὐτῶν eine gute Hſ. u. Va. — ἐπὶ — προφασισθέν um den Leuten ihre Loslaſſung aus Samos zu verſchaffen vorgeſchützt, trügeriſch verſprochen. (Hl.) — ἐκομίσθη tilgt Kr. nach Va. Doch könnte auch ἀπέπλευσαν das eingefälſchte ſein.

C. 34. § 1. περιπλέουσα. παραπλέουσα oder πλέουσα Dobree. — κατ' Ἀργῖνον verbindet Hl. mit ἐπιτυγχάνει. — ὡς εἶδον ἐδίωκον für ὥσπερ ἰδόντες [αὐτὰς] ἐπεδίωκον eine gute Hſ. — τε iſt mir verdächtig. — μόλις für μόγις Bk.

§ 2. καὶ ἐκπίπτουσι und zwar ſtranden ſie. — ἐς τὸν τειχισμόν. (ὡς) ἐς τὴν Χίον Dobree. Das τόν, an dem Pp. Anſtoß nimmt, bezeichnet wohl den beabſichtigten, auf Chios. vgl. 38, 1.

C. 35. § 1. ἀπό. ὑπό Abr.; doch ſ. Kr. z. Dion. p. 344.

§ 2. ὁλκάδας, die wohl mit Getreide für die Athener befrachtet waren. Kr. p. 356. vgl. 4, 53, 3. Ueber die Stellung Gr. 50, 10 A. 3.

ἄκρα τῆς Κνιδίας προὔχουσα, Ἀπόλλωνος ἱερόν. πυθόμενοι δ' οἱ Ἀθηναῖοι καὶ πλεύσαντες ἐκ τῆς Σάμου λαμβάνουσι τὰς ἐπὶ τῷ Τριοπίῳ φρουρούσας ἓξ ναῦς· οἱ δ' ἄνδρες
3 ἀποφεύγουσιν ἐξ αὐτῶν. καὶ μετὰ τοῦτο ἐς τὴν Κνίδον καταπλεύσαντες καὶ προσβαλόντες τῇ πόλει, ἀτειχίστῳ οὔσῃ, ὀλίγου εἷλον. τῇ δ' ὑστεραίᾳ αὖθις προσέβαλλον, καὶ ὡς ἄμεινον φραξαμένων αὐτῶν ὑπὸ νύκτα καὶ ἐπεισελθόντων αὐτοῖς τῶν ἀπὸ τοῦ Τριοπίου ἐκ τῶν νεῶν διαφυγόντων οὐκέθ' ὁμοίως ἔβλαπτον, ἀπελθόντες καὶ δῃώσαντες τὴν τῶν Κνιδίων γῆν ἐς τὴν Σάμον ἀπέπλευσαν.

36 Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον Ἀστυόχου ἥκοντος ἐς τὴν Μίλητον ἐπὶ τὸ ναυτικὸν οἱ Πελοποννήσιοι εὐπόρως ἔτι εἶχον ἅπαντα τὰ κατὰ τὸ σιρατόπεδον· καὶ γὰρ μισθὸς ἐδίδοτο ἄρκούντως, καὶ τὰ ἐκ τῆς Ἰάσου μεγάλα χρήματα διαρπασθέντα ὑπῆν τοῖς στρατιώταις, οἵ τε Μιλήσιοι προθύμως
2 τὰ τοῦ πολέμου ἔφερον. πρὸς δὲ τὸν Τισσαφέρνην ἐδόκουν ὅμως τοῖς Πελοποννησίοις αἱ πρῶται ξυνθῆκαι αἱ πρὸς Χαλκιδέα γενόμεναι ἐνδεεῖς εἶναι καὶ οὐ πρὸς σφῶν μᾶλλον καὶ ἄλλας ἔτι Θηραμένους παρόντος ἐποίουν· καὶ εἰσὶν αἵδε.

37 "Ξυνθῆκαι Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς βασιλέα Δαρεῖον καὶ τοὺς παῖδας τοὺς βασιλέως καὶ Τισσαφέρνην, σπονδὰς εἶναι καὶ φιλίαν κατὰ τάδε. ὁπόση χώρα καὶ πόλεις βασιλέως εἰσὶ Δαρείου ἢ τοῦ πατρὸς ἦσαν ἢ τῶν προγόνων, ἐπὶ ταύτας μὴ ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενὶ μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τοὺς Λακε-
2 δαιμονίων, μηδὲ φόρους πράσσεσθαι ἐκ τῶν πόλεων τούτων

---

§ 3. ὀλίγου. zu 4, 124, 2. — ἐπεισελθόντων. zu 2, 38 u. 4, 92, 4. — ἀπελθόντες für ἐπελθόντες eine gute Hs.

C. 36. § 1. Ἀστυόχου ἥκοντος 8, 33, 3. (Ds.) — τὰ χρήματα 8, 28, 3. (Ds.) — ὑπῆν, ὑπῆρχεν. Her. 1, 31: βίος ἀρχέων ὑπῆν. (Abr.) Wenig üblich.

§ 2. πρὸς δὲ τὸν T. Die Stellung drückt aus was wir schleppend umschreiben: was aber den T. anbetrifft so schien der erste Vertrag mit demselben 18, 1. vgl. Gr. 50, 10 A. 1. — μᾶλλον als im Interesse des Tissaphernes. — ἔτι für ἐπί eine gute Hs. — ἐποίουν. zu 5, 76, 2.

C. 37. § 1. τούς für τοῦ Bk. — εἶναι. zu 5, 18, 1.

§ 2. μηδὲ φόρους für μήτε φόρους Bk. — βασιλεύς für ὁ βασιλεύς eine gute u. eine schlechte Hs.

μήτε Λακεδαιμονίους μήτε τοὺς ξυμμάχους τῶν Λακεδαιμονίων· μηδὲ Λαρεῖον βασιλέα μηδὲ ὧν βασιλεὺς ἄρχει ἐπὶ Λακεδαιμονίους μηδὲ τοὺς ξυμμάχους ἰέναι ἐπὶ πολέμῳ μηδὲ κακῷ μηδενί. ἢν δέ τι δέωνται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι βασιλέως ἢ βασιλεὺς Λακεδαιμονίων ἢ τῶν ξυμμάχων, ὅ τι ἂν πείθωσιν ἀλλήλους, τοῦτο ποιοῦσι καλῶς ἔχειν. τὸν δὲ πόλεμον τὸν πρὸς Ἀθηναίους καὶ τοὺς ξυμ- 3
μάχους κοινῇ ἀμφοτέρους πολεμεῖν· ἢν δὲ κατάλυσιν ποιῶνται, κοινῇ ἀμφοτέρους ποιεῖσθαι. ὁπόση δ' ἂν στρατιὰ ἐν τῇ χώρᾳ τῇ βασιλέως ᾖ μεταπεμψαμένου βασιλέως, τὴν δαπάνην βασιλέα παρέχειν. ἢν δέ τις τῶν πόλεων ὁπόσαι ξυνέθεντο βασιλεῖ ἐπὶ τὴν βασιλέως ἴῃ χώραν, τοὺς ἄλλους κωλύειν καὶ ἀμύνειν βασιλεῖ κατὰ τὸ δυνατόν· καὶ ἢν τις τῶν ἐν τῇ βασιλέως χώρᾳ ἢ ὅσης βασιλεὺς ἄρχει ἐπὶ τὴν Λακεδαιμονίων ἴῃ ἢ τῶν ξυμμάχων, βασιλεὺς κωλυέτω καὶ ἀμυνέτω κατὰ τὸ δυνατόν."

Μετὰ δὲ ταύτας τὰς ξυνθήκας Θηραμένης μὲν παραδοὺς 38
Ἀστυόχῳ τὰς ναῦς ἀποπλέων ἐν κέλητι ἀφανίζεται, οἱ δ' ἐκ τῆς Λέσβου Ἀθηναῖοι ἤδη διαβεβηκότες ἐς τὴν Χίον τῇ στρατιᾷ καὶ κρατοῦντες καὶ γῆς καὶ θαλάσσης Δελφίνιον ἐτείχιζον, χωρίον ἄλλως τε ἐκ γῆς καρτερὸν καὶ λιμένας ἔχον καὶ τῆς τῶν Χίων πόλεως οὐ πολὺ ἀπέχον. οἱ δὲ Χῖοι ἐν 2
πολλαῖς τισὶ πρὶν μάχαις πεπληγμένοι, καὶ ἄλλως ἐν σφίσιν αὐτοῖς οὐ πάνυ εὖ διακείμενοι, ἀλλὰ καὶ τῶν μετὰ Τυδέως τοῦ Ἴωνος ἤδη ὑπὸ Πεδαρίτου ἐπ' Ἀττικισμῷ τεθνεώτων καὶ τῆς ἄλλης πόλεως κατ' ἀνάγκην ἐς ὀλίγον κατεχομένης ὑπόπτως διακείμενοι ἀλλήλοις ἡσύχαζον, καὶ οὔτ' αὐτοὶ διὰ ταῦτα

---

§ 3. ὅσης ἄρχει ist wohl mit Bezug auf die helleniſchen Staaten Kleinaſiens hinzugefügt. (Ba.)

C. 38. § 1. Θηραμένης. Θηριμένης einige Hſn. — κέλητι. zu 1, 53, 1. — ἀφανίζεται verſchwindet ſpurlos, umgekommen man weiß nicht wie. vgl. 4, 80, 3. — ἐς τήν für τήν Dr. Die Auslaſſung der Präpoſition wäre dichteriſch. (Pp.)

§ 2. τοῦ Ἴωνος Jons Sohn. Freinsheim zum Curt. 3, 13, 1. — ἐς ὀλίγον κατεχομένης, ἤτοι ἀναγκαζομένης ὀλιγαρχεῖσθαι ἢ ἐπ' ὀλίγον πειθομένης ἢ ἀκροωμένης· ὃ καὶ μᾶλλον. (Sch.) Die zweite Erklärung wird von St. vorgezogen, die erſte von den Meiſten angenommen. vgl. zu 2, 37, 1. — κατεχομένης, κατειργομένης. (Sch.)

οὔθ' οἱ μετὰ Πεδαρίτου ἐπίκουροι ἀξιόμαχοι αὐτοῖς ἐφαί-
3 νοντο. ἐς μέντοι τὴν Μίλητον ἔπεμπον κελεύοντες σφίσι τὸν
Ἀστύοχον βοηθεῖν· ὡς δ' οὐκ ἐσήκουεν, ἐπιστέλλει περὶ
αὐτοῦ ἐς τὴν Λακεδαίμονα Πεδάριτος ὡς ἀδικοῦντος. καὶ
τὰ μὲν ἐν τῇ Χίῳ ἐς τοῦτο καθεστήκει τοῖς Ἀθηναίοις· αἱ
δ' ἐκ τῆς Σάμου νῆες αὐτοῖς ἐπίπλους μὲν ἐποιοῦντο ταῖς ἐν
τῇ Μιλήτῳ, ἐπεὶ δὲ μὴ ἀντανάγοιεν, ἀναχωροῦντες πάλιν ἐς
τὴν Σάμον ἡσύχαζον.

39 Ἐκ δὲ τῆς Πελοποννήσου ἐν τῷ αὐτῷ χειμῶνι αἱ τῷ
Φαρναβάζῳ ὑπὸ Καλλιγείτου τοῦ Μεγαρέως καὶ Τιμαγόρου
τοῦ Κυζικηνοῦ πρασσόντων παρασκευασθεῖσαι ὑπὸ Λακεδαι-
μονίων ἑπτὰ καὶ εἴκοσι νῆες ἄραι ἔπλεον ἐπὶ Ἰωνίας περὶ
ἡλίου τροπὰς καὶ ἄρχων ἐπέπλει αὐτῶν Ἀντισθένης Σπαρ-
2 τιάτης. ξυνέπεμψαν δὲ οἱ Λακεδαιμόνιοι καὶ ἕνδεκα ἄνδρας
Σπαρτιατῶν ξυμβούλους Ἀστυόχῳ, ὧν εἷς ἦν Λίχας ὁ Ἀρ-
χεσιλάου· καὶ εἴρητο αὐτοῖς ἐς Μίλητον ἀφικομένους τῶν τε
ἄλλων ξυνεπιμελεῖσθαι ᾗ μέλλει ἄριστα ἕξειν καὶ τὰς ναῦς
ταύτας ἢ αὐτὰς ἢ πλείους ἢ καὶ ἐλάσσους ἐς τὸν Ἑλλήσποντον
ὡς Φαρνάβαζον, ἢν δοκῇ, ἀποπέμπειν, Κλέαρχον τὸν Ῥαμ-
φίου, ὃς ξυνέπλει, ἄρχοντα προσταξάντας, καὶ Ἀστύοχον,
ἢν δοκῇ τοῖς ἕνδεκα ἀνδράσι, παύειν τῆς ναυαρχίας, Ἀντι-
σθένην δὲ καθιστάναι· πρὸς γὰρ τὰς τοῦ Πεδαρίτου ἐπι-
3 στολὰς ὑπώπτευον αὐτόν. πλέουσαι οὖν αἱ νῆες ἀπὸ Μι-
λέας πελάγιαι Μήλῳ προσέβαλον, καὶ περιτυχόντες ναυσὶ
δέκα Ἀθηναίων τὰς τρεῖς λαμβάνουσι κενὰς καὶ καταναι-

---

§ 3. αὐτοῖς, τοῖς Ἀθηναίοις. (Sch.) Gr. 48, 12 A. 1. — ἀν-
τανάγοιεν, αἱ ἐν Μιλήτῳ δηλονότι νῆες. (Sch.) Ueber den Op. Gr.
54, 17 A. 1.

C. 39. § 1. ὑπό vor Καλλιγείτου verdächtigt Pp. — τροπάς,
τὰς χειμερινὰς δηλονότι. (Sch.) — ἐπέπλει für ἔπλει eine gute Hs.
vgl. 4, 11, 1. (Pp.) 2, 66. 3, 76.

§ 2. τὰς ναῦς ταύτας würde man nach αὐτάς erwarten; sie
sind aber vorangestellt, weil wenigstens ναῖς schon vor ᾗ gehörte. —
Κλέαρχον 8, 8, 3. (Pp.) — καθιστάναι, ναύαρχον. (Sch.) —
πρὸς τάς, ἀντὶ τοῦ διὰ τάς. (Sch.) vgl. 8, 50, 1. Eur. Med. 1358:
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει. Eigentlich auch hier in Be-
zug auf. vgl. zu 4, 80, 1.

§ 3. τὰς τρεῖς. Gr. 50, 2 A. 8. — Σάμῳ für νήσῳ eine

ουσιν. μετὰ δὲ τοῦτο δεδιότες μὴ αἱ διαφυγοῦσαι τῶν
Ἀθηναίων ἐκ τῆς Μήλου νῆες, ὅπερ ἐγένετο, μηνύσωσι τοῖς
ἐν τῇ Σάμῳ τὸν ἐπίπλουν αὐτῶν, πρὸς τὴν Κρήτην πλεύσαντες
καὶ πλείω τὸν πλοῦν διὰ φυλακῆς ποιησάμενοι ἐς τὴν Καῦνον
τῆς Ἀσίας κατῆραν. ἐντεῦθεν δή, ὡς ἐν ἀσφαλεῖ ὄντες,
ἀγγελίαν ἔπεμπον ἐπὶ τὰς ἐν τῇ Μιλήτῳ ναῦς τοῦ ξυμπαρα-
κομισθῆναι. οἱ δὲ Χῖοι καὶ Πεδάριτος κατὰ τὸν αὐτὸν 40
χρόνον οὐδὲν ἧσσον, καίπερ διαμέλλοντα, τὸν Ἀστύοχον
πέμποντες ἀγγέλους ἠξίουν σφίσι πολιορκουμένοις βοηθῆσαι
ἁπάσαις ταῖς ναυσὶν καὶ μὴ περιιδεῖν τὴν μεγίστην τῶν ἐν
Ἰωνίᾳ ξυμμαχίδων πόλεων ἔκ τε θαλάσσης εἰργομένην καὶ
κατὰ γῆν λῃστείας πορθουμένην. οἱ γὰρ οἰκέται τοῖς Χίοις, 2
πολλοὶ ὄντες καὶ μιᾷ γε πόλει πλὴν Λακεδαιμονίων πλεῖ-
στοι γενόμενοι καὶ ἅμα διὰ τὸ πλῆθος χαλεπωτέρως ἐν ταῖς
ἀδικίαις κολαζόμενοι, ὡς ἡ στρατιὰ τῶν Ἀθηναίων βεβαίως
ἔδοξε μετὰ τείχους ἱδρῦσθαι, εὐθὺς αὐτομολίᾳ τε ἐχώρησαν
οἱ πολλοὶ πρὸς αὐτοὺς καὶ τὰ πλεῖστα κακὰ ἐπιστάμενοι τὴν
χώραν οὗτοι ἔδρασαν. ἔφασαν οὖν χρῆναι οἱ Χῖοι, ἕως ἔτι 3
ἐλπὶς καὶ δυνατὸν κωλῦσαι, τειχιζομένου τοῦ Δελφινίου καὶ
ἀτελοῦς ὄντος, καὶ στρατοπέδῳ καὶ ναυσὶν ἐρύματος μείζονος
προσπεριβαλλομένου, βοηθῆσαι σφίσιν. ὁ δὲ Ἀστύοχος,
καίπερ οὐ διανοούμενος διὰ τὴν τότε ἀπειλήν, ὡς ἑώρα καὶ
τοὺς ξυμμάχους προθύμους ὄντας, ὥρμητο ἐς τὸ βοηθεῖν.

---

gute Hſ. — *πλείω τὸν πλοῦν, μακρότερον τὸν πλοῦν.* (Sch.) — *διὰ φυλακῆς* mit angewandter Vorſicht. (St.) Gr. 68, 22 A. 2. — *τοῦ ξ., ἵνα ξυμπαραληφθῶσι παρ' ἐκείνων.* (Sch.) zu 1, 4, 2.

C. 40. § 1. *πέμποντες. πέμψαντες* eine gute Hſ.

§ 2. *μιᾷ γε πόλει.* Gr. 49, 10 A. 5. vgl. 1, 80, 2. — *ἐχώρησαν οἱ* für *ἐχρήσαντο* die beſten Hſn. — *ἐπιστάμενοι τὴν χώραν, ἔμπειροι τῆς χώρας.* (Sch.)

§ 3. *κωλῦσαι, κωλύμην ποιεῖν.* (Sch.) Gr. 52, 1 A. 2. — *καὶ στρατοπέδῳ — προσπεριβαλλομένου* da von den Athenern ſowohl um ihr Feldlager als um ihre Flotte noch (προς-) eine größere Befeſtigung aufgeführt würde. (Hl.) vgl. 8, 55, 3. (Didot.) zu 1, 117, 1. (Br.) *Μέγα* iſt wohl von der Höhe zu verſtehen, wie 2, 76, 2. (Arn.) Dieſe Worte ſind eine Beſtimmung zu *ἀτελοῦς ὄντος.* — *οὐ διανοούμενος, βοηθεῖν.* (Ps.) zu 1, 1, 1. — *τότε* 8, 33, 1.

41 ἐν τούτῳ δ' ἐκ τῆς Καύνου παραγίγνεται ἀγγελία ὅτι αἱ ἑπτὰ καὶ εἴκοσι νῆες καὶ οἱ τῶν Λακεδαιμονίων ξύμβουλοι πάρεισιν· καὶ νομίσας πάντα ὕστερα εἶναι τἆλλα πρὸς τὸ ναῦς τε, ὅπως θαλασσοκρατοῖεν μᾶλλον, τοσαύτας ξυμπαραχομίσαι καὶ τοὺς Λακεδαιμονίους, οἳ ἦκον κατάσκοποι αὐτοῦ, ἀσφαλῶς περαιωθῆναι, εὐθὺς ἀφεὶς τὸ ἐς τὴν Χίον ἔπλει
2 ἐς τὴν Καῦνον. καὶ ἐς Κῶν τὴν Μεροπίδα ἐν τῷ παράπλῳ ἀποβὰς τήν τε πόλιν, ἀτειχιστον οὖσαν καὶ ὑπὸ σεισμοῦ, ὃς αὐτοῖς ἔτυχε μέγιστός γε δὴ ὧν μεμνήμεθα γενόμενος, ξυμπεπτωκυῖαν, ἐκπορθεῖ, τῶν ἀνθρώπων ἐς τὰ ὄρη πεφευγότων, καὶ τὴν χώραν καταδρομαῖς λείαν ἐποιεῖτο, πλὴν τῶν
3 ἐλευθέρων· τουτους δὲ ἀφίει. ἐκ δὲ τῆς Κῶ ἀφικόμενος ἐς τὴν Κνίδον νυκτὸς ἀναγκάζεται ὑπὸ τῶν Κνιδίων παραινούντων μὴ ἐκβιβάσαι τοὺς ναύτας, ἀλλ' ὥσπερ εἶχεν πλεῖν εὐθὺς ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς εἴκοσιν ἃς ἔχων Χαρμῖνος, εἷς τῶν ἐκ Σάμου στρατηγῶν, ἐφύλασσε ταύτας τὰς ἑπτὰ καὶ εἴκοσι νάῦς ἐκ τῆς Πελοποννήσου πρυσπλεούσας, ἐφ' ἅσπερ
4 καὶ ὁ Ἀστύοχος παρέπλει. ἐπύθοντο δὲ οἱ ἐν τῇ Σάμῳ ἐκ τῆς Μήλου τὸν ἐπίπλουν αὐτῶν, καὶ ἡ φυλακὴ τῷ Χαρμίνῳ περὶ τὴν Σύμην καὶ Χάλκην καὶ Ῥόδον καὶ περὶ τὴν Λυκίαν
42 ἦν· ἤδη γὰρ ᾐσθάνετο καὶ ἐν τῇ Καύνῳ οὔσας αὐτάς. ἐπέπλει οὖν ὥσπερ εἶχεν πρὸς τὴν Σύμην ὁ Ἀστύοχος, πρὶν ἔκπυστος γενέσθαι, εἴ πως περιλάβοι που μετεώρους τὰς ναῦς. καὶ αὐτῷ ὑετός τε καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ξυννέφελα ὄντα πλάνησιν τῶν νεῶν ἐν τῷ σκότει καὶ ταραχὴν παρέσχεν.

C. 41. § 1. *πρὸς τὸ — ξυμπαραχομίσαι, τοῦ παραχομίσαι τὰς ναῦς ὑπὲρ τοῦ θαλαττοκρατεῖν.* (Sch.) Ueber *πρός* in Vergleich zu. Gr. 49, 2 A. 8. — *τὸ ἐς τὴν Χίον, πλεῖν.* (Ba.) zu 2, 89, 3.

§ 2. *τὴν χώραν λείαν ἐποιεῖτο.* Aehnlich unser das Land wird ein Raub, eine Beute der Feinde. (Ba.) vgl. 62, 2. (Dr.)

§ 3. *ἀναγκάζεται, πείθεται.* (Sch.) zu 4, 25, 1. — *ὥσπερ εἶχεν.* zu 3, 30, 1.

§ 4. *Μήλου* für *Μιλήτου* Kist. u. eine Hs. vgl. 8, 39, 3. Bestätigung geben auch die Worte *ἤδη γὰρ — αὐτάς.* (Hk.)

C. 42. § 1. *ἔκπυστος.* zu 3, 30, 1. — *τὰ ἐκ τοῦ οὐρανοῦ* wie *τὰ ἐκ Σικελίας* 4, 81, 2. (Arn.) — *ξυννέφελα.* Das sehr seltene Wort wird von Steph. Thes. noch aus Alkiphron angeführt. (Bl.) — *πλάνησιν.* Ein ungewöhnliches Wort. Lobeck z Phryn. p. 351.

καὶ ἅμα τῇ ἕῳ διεσπασμένου τοῦ ναυτικοῦ, καὶ τοῦ μὲν 2
φανεροῦ ἤδη ὄντος τοῖς Ἀθηναίοις, τοῦ εὐωνύμου κέρως,
τοῦ δὲ ἄλλου περὶ τὴν νῆσον ἔτι πλανωμένου, ἐπανάγονται
κατὰ τάχος ὁ Χαρμῖνος καὶ οἱ Ἀθηναῖοι ἐλάσσοσιν ἢ ταῖς
εἴκοσι ναυσί, νομίσαντες, ἅσπερ ἐφύλασσον ναῦς, τὰς ἀπὸ
τῆς Καύνου ταύτας εἶναι. καὶ προσπεσόντες εὐθὺς κατέδυ- 3
σάν τε τρεῖς καὶ κατετραυμάτισαν ἄλλας καὶ ἐν τῷ ἔργῳ
ἐπεκράτουν, μέχρι οὗ ἐπεφάνησαν αὐτοῖς παρὰ δόξαν αἱ
πλείους τῶν νεῶν καὶ πανταχόθεν ἀπεκλῄοντο. ἔπειτα δὲ ἐς
φυγὴν καταστάντες ἓξ μὲν ναῦς ἀπολλύασιν, ταῖς δὲ λοιπαῖς
καταφεύγουσιν ἐς τὴν Τεύτλουσσαν νῆσον, ἐντεῦθεν δὲ ἐς
Ἁλικαρνασόν. μετὰ δὲ τοῦτο οἱ μὲν Πελοποννήσιοι ἐς Κνί- 4
δον κατάραντες καὶ ξυμμιγεισῶν τῶν ἐκ τῆς Καίνου ἐπιὰ
καὶ εἴκοσι νεῶν αὐτοῖς ξυμπάσαις πλεύσαντες καὶ τροπαῖον
ἐν τῇ Σύμῃ στήσαντες πάλιν ἐς τὴν Κνίδον καθωρμίσαντο·
οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ τῆς Σάμου ναυσὶ πάσαις, ὡς ἤσθοντο 43
τὰ τῆς ναυμαχίας, πλεύσαντες ἐς τὴν Σύμην καὶ ἐπὶ μὲν τὸ
ἐν τῇ Κνίδῳ ναυτικὸν οὐχ ὁρμήσαντες, οὐδ' ἐκεῖνοι ἐπ' ἐκεί-
νους, λαβόντες δὲ τὰ ἐν τῇ Σύμῃ σκεύη τῶν νεῶν καὶ λο-
ρύμοις τοῖς ἐν τῇ ἠπείρῳ προσβαλόντες ἀπέπλευσαν ἐς τὴν
Σάμον.

Ἅπασαι δ' ἤδη οὖσαι ἐν τῇ Κνίδῳ αἱ τῶν Πελοποννη- 2
σίων νῆες ἐπεσκευάζοντό τε, εἴ τι ἔδει, καὶ πρὸς τὸν Τισσα-
φέρνην, παρεγένετο γάρ, λόγους ἐποιοῦντο οἱ ἕνδεκα ἄνδρες
τῶν Λακεδαιμονίων περί τε τῶν ἤδη πεπραγμένων, εἴ τι μὴ
ἤρεσκεν αὐτοῖς, καὶ περὶ τοῦ μέλλοντος πολέμου, ὅτῳ τρόπῳ
ἄριστα καὶ ξυμφορώτατα ἀμφοτέροις πολεμήσεται. μάλιστα 3
δὲ ὁ Λίχας ἐσκόπει τὰ ποιούμενα, καὶ τὰς σπονδὰς οὐδε-
τέρας, οὔτε τὰς Χαλκιδέως οὔτε τὰς Θηραμένους, ἔφη καλῶς

---

§ 2. τοῦ μὲν — τοῦ εὐωνύμου. Gr. 50, 2 A. 11. — τοῦ ἄλλου, nicht κέρως, wobei ἑτέρου zu ergänzen wäre, sondern der übrige Theil. (Ba) vgl. 25, 3. 55, 3. 4, 96, 2 u. zu 3, 107, 4.

§ 3. εὐθύς verbindet Hk. mit κατέδυσαν. — ἀπολλύασιν. ἀπολλύουσι einige Hs. — Ἁλικαρνασόν mit einem σ einige Hsn.

C. 43. § 1. σκεύη. zu 8, 28, 1.

§ 2. ἀμφοτέροις, ἤγουν τοῖς Λακεδαιμονίοις καὶ τῷ Τισσαφέρνει. (Sch.) — πολεμήσεται passiv, wie Dem. 23, 110.

§ 3. οὔτε τὰς Χαλκιδέως haben nur drei Hsn. u. Ba. — Θηραμένους. Θηριμένους einige Hsn.

ξυγχεῖσθαι, ἀλλὰ δεινὸν εἶναι εἰ χώρας ὅσης βασιλεὺς καὶ οἱ πρόγονοι ἦρξαν πρότερον, ταύτης καὶ νῦν ἀξιώσει κρα-
4 τεῖν· ἐνεῖναι γὰρ καὶ νήσους ἁπάσας πάλιν δουλεύειν καὶ Θεσσαλίαν καὶ Λοκροὺς καὶ τὰ μέχρι Βοιωτῶν, καὶ ἀντ' ἐλευθερίας ἂν Μηδικὴν ἀρχὴν τοῖς Ἕλλησι τοὺς Λακεδαιμονίους περιθεῖναι. ἑτέρας οὖν ἐκέλευε βελτίους σπένδεσθαι, ἢ ταύταις γε οὐ χρήσεσθαι, οὐδὲ τῆς τροφῆς ἐπὶ τούτοις δεῖσθαι οὐδέν. ἀγανακτῶν δὲ ὁ μὲν Τισσαφέρνης ἀπεχώ-
44 ρησεν ἀπ' αὐτῶν δι' ὀργῆς καὶ ἄπρακτος, οἱ δ' ἐς τὴν Ῥόδον ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν τὴν γνώμην εἶχον πλεῖν, ἐλπίζοντες νῆσόν τε οὐκ ἀδύνατον καὶ ναυβατῶν πλήθει καὶ πεζῷ προσάξεσθαι καὶ ἅμα ἡγούμενοι αὐτοὶ ἀπὸ τῆς ὑπαρχούσης ξυμμαχίας δυνατοὶ ἔσεσθαι, Τισσα-
2 φέρνην μὴ αἰτοῦντες χρήματα, τρέφειν τοὺς ναῦς. πλεύσαντες οὖν εὐθὺς ἐν τῷ αὐτῷ χειμῶνι ἐκ τῆς Κνίδου καὶ προσβαλόντες Καμείρῳ τῆς Ῥοδίας πρώτῃ ναυσὶ τέσσαρσι καὶ ἐνενήκοντα ἐξεφόβησαν μὲν τοὺς πολλούς, οὐκ εἰδότας τὰ πρασσόμενα, καὶ ἔφευγον, ἄλλως τε καὶ ἀτειχίστου οὔσης τῆς πόλεως· ἔπειτα ξυγκαλέσαντες οἱ Λακεδαιμόνιοι τούτους τε καὶ τοὺς ἐκ τοῖν δυοῖν πολέοιν, Λίνδου καὶ Ἰηλυσοῦ, Ῥοδίους ἔπεισαν ἀποστῆναι Ἀθηναίων. καὶ προσεχώρησε Ῥο-
3 δος Πελοποννησίοις. οἱ δ' Ἀθηναῖοι κατὰ τὸν καιρὸν τοῦτον ταῖς ἐκ τῆς Σάμου ναυσὶν αἰσθόμενοι ἔπλευσαν μέν, βουλόμενοι φθάσαι, καὶ ἐφάνησαν πελάγιοι, ὑστερήσαντες δὲ οὐ πολλῷ τὸ μὲν παραχρῆμα ἀπέπλευσαν ἐς Χάλκην, ἐντεῦθεν δ' ἐς Σάμον, ὕστερον δ' ἐκ τῆς Χάλκης καὶ ἐκ τῆς Κῶ καὶ ἐκ τῆς Σάμου τοὺς ἐπίπλους ποιούμενοι ἐπὶ τὴν Ῥόδον ἐπολέμουν. οἱ δὲ χρήματα μὲν ἐξέλεξαν ἐς δύο καὶ τριά-

---

§ 4. ἐνεῖναι für ἐνῆν Va. u. Bk. — περιθεῖναι. zu 6, 89, 2. — ἐπὶ τούτοις auf ſolche Bedingungen. (Hl.)

C. 44. § 1. ἐπικηρυκευομένων, τινῶν. (Va.) Gr. 47, 4 A. 3. — ἀπό geſchickt von. — τε. zu 5, 11, 2.

§ 2. πρώτῃ, πρῶτον eine gute Hſ. — ἔφευγον, οἱ πολλοί. ἔφυγον eine gute Hſ.

§ 3. Σάμου. Σύμης Kr. — ἐπὶ τὴν Ῥόδον verbindet Pv. mit beiden Verben; ich, wie ſchon Va., mit dem vorhergehenden. Sonſt würde wohl ἐπὶ τοὺς Ῥοδίους ſtehen. Auch galt der Krieg mehr den Peloponneſiern. — οἱ δέ, die Peloponneſier. (Va.) — ἐξέλεξαν trie-

χοντα τάλαντα, οἱ Πελοποννήσιοι, παρὰ τῶν Ῥοδίων, τὰ δ' ἄλλα ἡσύχαζον ἡμέρας ὀγδοήκοντα, ἀνελκύσαντες τὰς ναῦς.

Ἐν δὲ τούτῳ καὶ ἔτι πρότερον, πρὶν ἐς τὴν Ῥόδον αὖ- 45
τοὺς ἀναστῆναι, τάδε ἐπράσσετο. Ἀλκιβιάδης μετὰ τὸν Χαλκιδέως θάνατον καὶ τὴν ἐν Μιλήτῳ μάχην τοῖς Πελο-
ποννησίοις ὕποπτος ὢν καὶ ἀπ' αὐτῶν ἀφικομένης ἐπιστολῆς
πρὸς Ἀστύοχον ἐκ Λακεδαίμονος ὥστ' ἀποκτεῖναι — ἦν γὰρ
καὶ τῷ Ἄγιδι ἐχθρὸς καὶ ἄλλως ἄπιστος ἐφαίνετο — πρῶ-
τον μὲν ὑποχωρεῖ δείσας παρὰ Τισσαφέρνην, ἔπειτα ἐκάκου 2
πρὸς αὐτὸν ὅσον ἐδύνατο μάλιστα τῶν Πελοποννησίων τὰ
πράγματα, καὶ διδάσκαλος πάντων γιγνόμενος τήν τε μισθο-
φορὰν ξυνέτεμεν, ἀντὶ δραχμῆς Ἀττικῆς ὥσιε τριώβολον, καὶ
τοῦτο μὴ ξυνεχῶς, δίδοσθαι, λέγειν κελεύων τὸν Τισσαφέρνην
πρὸς αὐτοὺς ὡς Ἀθηναῖοι ἐκ πλείονος χρόνου ἐπιστήμονες
ὄντες τοῦ ναυτικοῦ τριώβολον τοῖς ἑαυτῶν διδόασιν, οὐ 3
τοσοῦτον πενίᾳ ὅσον ἵνα αὐτῶν μὴ οἱ ναῦται ἐκ περιουσίας
ὑβρίζοντες οἱ μὲν τὰ σώματα χείρω ἔχωσιν, δυπανῶντες ἐς
τοιαῦτα ἀφ' ὧν ἡ ἀσθένεια ξυμβαίνει, οἱ δὲ τὰς ναῦς ἀπο-
λείπωσιν, οὐχ ὑπολιπόντες ἐς ὁμηρείαν τὸν προσοφειλόμενον

---

ben ein. (Ba.) So ſteht das Wort bei Dem. 4, 34. 19, 293 u. öfter. (Bl.)

S. 45. § 1. *ἀναστῆναι ἐς.* zu 1, 87, 2. — *ὢν καὶ ἀφικομένης.* Gr. 56, 14 A. 2. — *ἀπ' αὐτῶν. παρ' αὐτῶν* würde man erwarten. vgl. § 5 u. 8, 33, 2. Doch ſteht eben ſo *παρεῖναι ἀπό* 8, 51, 1. (Pp.) — *ὥστε.* Gr. 65, 3 A. 1. — *ὑποχωρεῖ, ἤγουν λάθρᾳ ἐχώρησε.* (Sch.)

§ 2. *τήν τε.* Dem *τέ* entſpricht *καί* vor *τοὺς τριηράρχους.* (Pp.) Eben ſo entfernt von ſeinem *καί* Xen. Cyr. 8, 1, 40 f. (Hertlein.) — *ξυνέτεμεν, εἰς ὀλίγον συνέστειλε.* (Sch.) vgl. zu 8, 86, 5. Xen. Hier. 4, 9: *τὰς δαπάνας συντέμνειν.* — *ἀντὶ δραχμῆς Ἀττικῆς* tilgt Kr. p. 354, dem in ſeltſamer Weiſe Gö. widerſpricht. — *χρόνου* verdächtigt Kr. — *τοῖς ἑαυτοῦ, ναύταις δηλονότι.* (Sch.) Eig. nur: ihren Leuten. Gr. 47, 5 A. 2.

§. 3. *τοιαῦτα. τὰ τοιαῦτα* Martins u. eine andre Hſ. — *ἡ* vor *ἀσθένεια* würde man gern entbehren; vielleicht *δή.* — *χείρω, ἤγουν ἔχρηστα ἐς μάχην ἢ ἀσθενῆ.* (Sch.) — *ἀπολείπωσιν οὐχ ὑπολιπόντες* für *ἀπολείποντες* einige gute Hſſ., zum Theil *ἀπολίπωσιν*; eine ohne *οὔ*, was ſchon Dr. tilgen wollte. Wenn man auch *μή* vor *ἀπολείπωσιν* aus dem Vorigen ergänzt, ſo ergibt ſich doch damit keine genügende Erklärung und ich halte die Stelle mit Dr. für verſtümmelt. vgl. jedoch Haaſe S. 9 ff., der hiebei an einen Theil des Soldes denkt den

μισθόν· καὶ τοὺς τριηράρχους καὶ τοὺς στρατηγοὺς τῶν πόλεων ἐδίδασκεν ὥστε δόντα χρήματα αὐτὸν πεῖσαι, ὥστε ξυγχωρῆσαι ταῦτα ἑαυτῷ, πλὴν τῶν Συρακοσίων· τούτων δὲ Ἑρμοκράτης, στρατηγὸς ὤν, ἠναντιοῦτο ὑπὲρ τοῦ παντὸς ξυμ-
4 μαχικοῦ. τάς τε πόλεις δεομένας χρημάτων ἀπήλασεν, αὐτός ἀντιλέγων ὑπὲρ τοῦ Τισσαφέρνους ὡς οἱ μὲν Χῖοι ἀναλσχυντοι εἶεν, πλουσιώτατοι ὄντες τῶν Ἑλλήνων, ἐπικουρίᾳ δ' ὅμως σωζόμενοι ἀξιοῦσι καὶ τοῖς σώμασι καὶ τοῖς χρή-
5 μασιν ἄλλους ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας κινδυνεύειν· τὰς δ' ἄλλας πόλεις ἔφη ἀδικεῖν, αἳ ἐς Ἀθηναίους πρότερον ἢ ἀποστῆναι ἀνάλουν, εἰ μὴ καὶ νῦν καὶ τοσαῦτα καὶ ἔτι πλείω ὑπὲρ σφῶν αὐτῶν ἐθελήσουσιν ἐσφέρειν. τόν τε Τισσαφέρνην ἀπέφαινε νῦν μέν, τοῖς ἰδίοις χρήμασι πολεμοῦντα, εἰκότως φειδόμενον, ἢν δέ ποτε τροφὴ καταβῇ παρὰ βασι-
λέως, ἐντελῆ αὐτοῖς ἀποδώσειν τὸν μισθὸν καὶ τὰς πόλεις
46 τὰ εἰκότα ὠφελήσειν. παρῄνει δὲ καὶ τῷ Τισσαφέρνει μὴ ἄγαν ἐπείγεσθαι διαλῦσαι τὸν πόλεμον, μηδὲ βουληθῆναι κομίσαντα ἢ ναῦς Φοινίσσας ἅσπερ παρεσκευάζετο ἢ Ἕλλησι πλείοσι μισθὸν πορίζοντα τοῖς αὐτοῖς τῆς τε γῆς καὶ τῆς θαλάσσης τὸ κράτος δοῦναι, ἔχειν δ' ἀμφοτέρους ἐᾶν δίχα τὴν ὀρχήν, καὶ βασιλεῖ ἐξεῖναι ἀεὶ ἐπὶ τοὺς αὐτοῦ λυπηροὺς

---

man um die Soldaten zu fesseln ihnen einstweilen zurückgehalten. vgl. Polyän. 3, 9, 51 u. Veget. 2, 20. — *τοὺς τρ. καὶ τοὺς στρ.* ist Object von *πεῖσαι* regiert. (Sch.) — *ὥστε*, das erste, tilgt Reiske. — *ὥστε*. zu 2, 2, 4. — *στρατηγὸς ὤν* für *τε* eine gute Hs. u. Ba. — *μόνος* vor *ὑπέρ* ist mit derselben getilgt. — *παντός* für *ξύμπαντος* dieselbe.

§ 4. *τάς τε* knüpft wieder an § 2 an. (Pp.) — *αὐτός* verbindet Ba. richtig mit *ἀντιλέγων*. — *εἶεν. εἶεν εἰ* Ba., wenn nicht im Folgenden ein Uebergang vom Particip zum Verbum anzunehmen sei. vgl. Schäfer Dem. 2 p. 75. (Pp.) *εἰσίν, εἰ* Kr. Denn der Optativ ist kaum erträglich.

§ 5. *πρότερον ἤ* für *πρότερον* Dr. u. zwei Hsn. zu 1, 69, 4 u. 7, 63, 1. — *καταβῇ*. Kr. zu Xen. An. 4 8, 25. — *τὰ εἰκότα*. Gr. 46, 11 A. 2.

C. 46. § 1. *διαλῦσαι τὸν πόλεμον* für *τὸν πόλεμον διαλῦσαι* eine gute Hs. — *κομίσαντα ἢ ναῦς Φοινίσσας*. Eig. war *ἢ ναῦς Φοινίσσας* zu stellen. (Pp.) vgl. 6, 21, 1. Aehnlich bei *οὔτε* 3, 39, 3 u. *τέ* 5, 11, 2. — *Ἕλλησι* für *μελλήσει* einige Hs. u. Ba. — *ἐξεῖναι, ἔφη* aus *παρῄνει*. Gr. 65, 11 A. 7. — *αὐτοῦ* für *αὐτούς*

τοὺς ἑτέρους ἐπάγειν. γενομένης δ' ἂν καθ' ἓν τῆς ἐς γῆν 2
καὶ θάλασσαν ἀρχῆς, ἀπορεῖν ἂν αὐτὸν οἷς τοὺς κρατοῦντας
ξυγχαθαιρήσει, ἢν μὴ αὐτὸς βούληται μεγάλῃ δαπάνῃ καὶ
κινδύνῳ ἀναστάς ποτε διαγωνίσασθαι. εὐτελέστερα δὲ τὰ
δεινὰ βραχεῖ μορίῳ τῆς δαπάνης καὶ ἅμα μετὰ τῆς ἑαυτοῦ
ἀσφαλείας αὐτοὺς περὶ ἑαυτοὺς τοὺς Ἕλληνας κατατρῖψαι.
ἐπιτηδειοτέρους τ' ἔφη τοὺς Ἀθηναίους εἶναι κοινωνοὺς αὐτῷ 3
τῆς ἀρχῆς· ἧσσον γὰρ τῶν κατὰ γῆν ἐφίεσθαι, τόν λόγον τε
ξυμφορώτατον καὶ τὸ ἔργον ἔχοντας πολεμεῖν· τοὺς μὲν γὰρ
ξυγκαταδουλοῦν ἂν σφίσι τε αὐτοῖς τὸ τῆς θαλάσσης μέρος
καὶ ἐκείνῳ ὅσοι ἐν τῇ βασιλέως Ἕλληνες οἰκοῦσιν· τοὺς δὲ 4
τοὐναντίον ἐλευθερώσοντας ἥξειν, καὶ οὐκ εἰκὸς εἶναι Λακε-
δαιμονίους ἀπὸ μὲν σφῶν [τῶν Ἑλλήνων] ἐλευθεροῦν νῦν
τοὺς Ἕλληνας, ἀπὸ δ' ἐκείνων [τῶν βαρβάρων], ἢν μή ποτε
αὐτοὺς μὴ ἐξέλωσι, μὴ ἐλευθερῶσαι. τρίβειν οὖν ἐκέλευε

---

einige gute Hſn. Es iſt wohl Adverbium: dort, in Aſien. Denn als Ge. iſt es in keiner Weiſe zu rechtfertigen.

§ 2. *καθ' ἕν.* zu 3, 10, 3. — *ἐς γῆν* für *γῆς*, um zwei Genitive zu vermeiden. (Hertlein.) — *ἀναστάς. ἀντιστάς* Kr. — *εὐτελέστερα. ἀντίκειται τῷ πολυτελεῖ τὰ εὐτελέστερα. ἀδαπανώτερα οὖν λέγει.* (Sch.) — *τὰ δεινά* könnte Gloſſem ſein. Bloß satius esse Va. Jedenfalls iſt *κατατρῖψαι* Subject: die Gefahr ſei minder koſtſpielig, wenn er die Hellenen durch einander aufreibe. (Va.) — *κατατρῖψαι.* Xen. Dek. 1, 21: *τοὺς οἴκους κατατρίβουσι.* Mit *φθορά* ſynonym *τριβή* 8, 87, 4. über *περί* zu 6, 18, 7.

§ 3. *τὸν λόγον* den ausgeſprochenen Zweck des Krieges, die Erhaltung ihrer Herrſchaft. Wenn *τέ* dem folgenden *καί* entſpräche, ſo würde es wohl nach *τόν* und vor dieſem noch ein *καί* ſtehen. Demnach wird es *ἐφίεσθαι* und *πολεμεῖν* verbinden. — *ξυμφορώτατον. ξυμφορωτέρους εἶναι βασιλεῖ.* (Sch.) — *ξυγκαταδουλοῦν* gehört nur zu *ἐκείνῳ*, hier dem wichtigeren Begriffe; zu *σφίσιν αὐτοῖς* wird nur *καταδουλοῦν* gedacht. (Abr.) — *μέρος* zu tilgen? oder *τὸ μέρος* iſt den ſie betreffenden Theil.

§ 4. *ἀπὸ σφῶν* von ihnen, den Athenern, die Alkibiades durch *σφῶν* bezeichnet, weil er ſelbſt ihnen angehört. Gr. 58, 4 A. 3. Dabei iſt freilich *τῶν Ἑλλήνων*, zumal mit dem Artikel, ſehr anſtößig; verdächtigt ſchon von Valcken. z. Her. 5, 92, wie auch *τῶν βαρβάρων*, das im Vat. fehlt. — *ἢν μή. ἢν δή* Reiske. Py. erklärt mit Hk.: „außer wenn (nisi si) ſie dieſelben, die Athener, nicht überwältigten (everterint); ſie würden alſo die Hellenen auch von den Barbaren befreien, wofern es ihnen nicht unmöglich geworden die Athener zu überwältigen. Ein zwiefaches *μή*, oder *οὔ*, jedes zu einem andern Begriffe gehörig, finde ſich auch Lyk. Leokr. 140, Dem. 22, 18, Andok. 1, 22, Xen.

πρῶτον ἀμφοτέρους καὶ ἀποτεμόμενον ὡς μέγιστα ἀπὸ τῶν Ἀθηναίων ἔπειτ' ἤδη τοὺς Πελοποννησίους ἀπαλλάξαι ἐκ τῆς χώρας. καὶ διενοεῖτο τὸ πλέον οὕτως ὁ Τισσαφέρνης, 5 ὅσα γε ἀπὸ τῶν ποιουμένων ἦν εἰκάσαι. τῷ γὰρ Ἀλκιβιάδῃ διὰ ταῦτα ὡς εὖ περὶ τούτων παραινοῦντι προσθεὶς ἑαυτὸν ἐς πίστιν τήν τε τροφὴν κακῶς ἐπόριζε τοῖς Πελοποννησίοις καὶ ναυμαχεῖν οὐκ εἴα, ἀλλὰ καὶ τὰς Φοινίσσας φάσκων ναῦς ἥξειν καὶ ἐκ περιόντος ἀγωνιεῖσθαι ἔφθειρε τὰ πράγματα, καὶ τὴν ἀκμὴν τοῦ ναυτικοῦ αὐτῶν ἀφείλετο, γενομένην καὶ πάνυ ἰσχυράν, τά τε ἄλλα καταφανέστερον ἢ ὥστε λανθάνειν οὐ προθύμως ξυνεπολέμει.

47 Ὁ δὲ Ἀλκιβιάδης ταῦτα ἅμα μὲν τῷ Τισσαφέρνει καὶ τῷ βασιλεῖ, ὧν παρ' ἐκείνοις, ἄριστα εἶναι νομίζων παρῄνει, ἅμα δὲ τὴν ἑαυτοῦ κάθοδον ἐς τὴν πατρίδα ἐπιθεραπεύων, εἰδώς, εἰ μὴ διαφθερεῖ αὐτήν, ὅτι ἔσται ποτὲ αὐτῷ πεισαντι κατελθεῖν· πεῖσαι δ' ἂν ἐνόμιζε μάλιστα ἐκ τοῦ τοιούτου, εἰ Τισσαφέρνης φαίνοιτο αὐτῷ ἐπιτήδειος ὤν, ὅπερ καὶ 2 ἐγένετο. ἐπειδὴ γὰρ ᾔσθοντο αὐτὸν ἰσχύοντα παρ' αὐτῷ οἱ ἐν τῇ Σάμῳ Ἀθηναίων στρατιῶται, τὰ μὲν καὶ Ἀλκιβιάδου προσπέμψαντος λόγους ἐς τοὺς δυνατωτάτους αὐτῶν ἄνδρας ὥστε μνησθῆναι περὶ αὐτοῦ ἐς τοὺς βελτίστους τῶν ἀνθρώπων

Cyr. 3, 3, 24." Ueber *αὐτούς* für *σφῶν* zu 5, 32, 4. — *ἀποτεμόμενον, στερήσαντα.* (Sch.) — *ἔπειτ' ἤδη.* Gr. 56, 10 A. 3. — *τὸ πλέον.* Gr. 49, 2 A. 5. vgl. 1, 76, 3. 4, 27, 3. 108, 3. 8, 53, 4.

§ 5. *προσθεὶς ἑαυτόν*, wie 8, 50, 3. vgl. 3, 92, 1 u. 4, 86, 2. — *ἐκ περιόντος, ἤγουν ἐκ τοῦ ὑπερβάλλοντος.* (Sch.) mit überlegenen Streitkräften. vgl. 6, 55, 4. — *καὶ πάνυ.* Gr 69, 32 A. 18. — *ξυνεπολέμει* hat nur eine gute Hs. u. Va. Ohne das wäre mit Dr. *πρόθυμος* zu lesen.

C. 47. § 1. *τῷ* vor *βασιλεῖ* fehlt nur in einer schlechten Hs.; *ὁ βασιλεύς* auch bei Xen. An. 2, 4, 4. 5, 38 (?), Hell. 7, 1, 37. 38, Dem. 19, 137, Antiphanes b. Athen. 3, 27, [Heraklides eb. 4, 2], Theopompos eb. 6, 60. vgl. Bornem. zu Xen. Mem. 3, 5, 26. (Vp.) — *κάθοδον ἐς.* Gr. 50, 9 A. 9. — *ἐπιθεραπεύων, διορθούμενος, προμηθούμενος.* (Zonaras p. 837.) *ἐπι* — dazu, daneben. — *εἰ μὴ διαφθερεῖ αὐτήν, τὴν πατρίδα εἰ μὴ ἐάσει διαφθαρῆναι.* (Sch.) — *πεῖσαι, τοὺς Ἀθηναίους.* (Sch.)

§ 2. *Ἀθηναίων στρατιῶται* würde ich gerne entbehren. — *προσπέμψαντος. προπέμψαντος* einige Hsn. — *αὐτοῦ. αὑτοῦ?* — *ἐς τούς.* Gr. 68, 21 A. 6. — *βελτίστους* Optimaten. (Ba.) Kr.

ὅτι ἐπ' ὀλιγαρχίᾳ βούλεται καὶ οὐ πονηρίᾳ οὐδὲ δημοκρατίᾳ τῇ ἑαυτὸν ἐκβαλούσῃ κατελθὼν καὶ παρασχὼν Τισσαφέρνην φίλον αὐτοῖς ξυμπολιτεύειν, τὸ δὲ πλέον καὶ ἀπὸ σφῶν αὐτῶν οἱ ἐν τῇ Σάμῳ τριήραρχοί τε τῶν Ἀθηναίων καὶ δυνατώτατοι ὥρμηντο ἐς τὸ καταλῦσαι τὴν δημοκρατίαν. καὶ 48
ἐκινήθη πρότερον ἐν τῷ στρατοπέδῳ τοῦτο καὶ ἐς τὴν πόλιν ἐντεῦθεν ὕστερον ἦλθεν· τῷ τε Ἀλκιβιάδῃ διαβάντες τινὲς ἐκ τῆς Σάμου ἐς λόγους ἦλθον, καὶ ὑποτείνοντος αὐτοῦ Τισσαφέρνην μὲν πρῶτον, ἔπειτα δὲ καὶ βασιλέα φίλον ποιήσειν, εἰ μὴ δημοκρατοῖντο, οὕτω γὰρ ἂν πιστεῦσαι μᾶλλον βασιλέα, πολλὰς ἐλπίδας εἶχον αὐτοί θ' ἑαυτοῖς οἱ δυνατοὶ τῶν πολιτῶν τὰ πράγματα, οἵπερ καὶ ταλαιπωροῦνται μάλιστα, ἐς ἑαυτοὺς περιποιήσειν καὶ τῶν πολεμίων ἐπικρατήσειν. ἔς 2
τε τὴν Σάμον ἐλθόντες ξυνίστασάν τε τῶν ἀνθρώπων τοὺς ἐπιτηδείους ἐς ξυνωμοσίαν καὶ ἐς τοὺς πολλοὺς φανερῶς ἔλεγον ὅτι βασιλεὺς σφίσι φίλος ἔσοιτο καὶ χρήματα παρέξοι Ἀλκιβιάδου τε κατελθόντος καὶ μὴ δημοκρατουμένων. καὶ ὁ μὲν ὄχλος, εἰ καί τι παραυτίκα ἤχθετο τοῖς πρασσομένοις, διὰ τὸ εὔπορον τῆς ἐλπίδος τοῦ παρὰ βασιλέως μισθοῦ ἡσύχαζεν· οἱ δὲ ξυνιστάντες τὴν ὀλιγαρχίαν, ἐπειδὴ τῷ πλήθει ἐκοινώνησαν, αὖθις καὶ σφίσιν αὐτοῖς καὶ τοῦ ἑταιρικοῦ τῷ πλέονι τὰ ἀπὸ τοῦ Ἀλκιβιάδου ἐσκόπουν. καὶ τοῖς μὲν 3
ἄλλοις ἐφαίνετο εὔπορα καὶ πιστά, Φρυνίχῳ δέ, στρατηγῷ ἔτι ὄντι, οὐδὲν ἤρεσκεν, ἀλλ' ὅ τε Ἀλκιβιάδης, ὅπερ καὶ ἦν,

---

3. Dion. p. 270. — ἐπὶ πονηρίᾳ im Gegensatze zu βελτίστους, um den Schlechten, dem Pöbel, das Uebergewicht zu erhalten. — τὸ δὲ πλέον. Durch μέν und δέ werden Ἀλκιβιάδου προσπέμψαντος, das sich gleichfalls an ὥρμηντο anschließt, und ἀπὸ σφῶν αὐτῶν verbunden. Gr. 59, 2 A. 3.

C. 48. § 1. ἦλθε hat nur eine gute Hs., pervasit Ba. — ὑποτείνοντος, ὑπισχνουμένου. (Sch.) Ar. Ach. 657. Her. 7, 158: ὑποτείνοντος τὰ ἐμπόρια συνελευθεροῦν. (Valckenaer.) vgl. Jacobs z. Ach. Tat. p. 989. — ἑαυτοῖς für αὐτοῖς eine gute Hs., αὐτοῖς mehrere. — ἐς ἑαυτούς erneuert das ἑαυτοῖς. (Arn.) — οἵπερ — μάλιστα sollte nach πολιτῶν stehen. (Ba.)

§ 2. ξυνίστασαν. zu 6, 16, 6. — τι παραυτίκα. τὸ παραυτίκα oder τι τὸ παραυτίκα Kr. — παρά hat nur eine gute Hs. — καὶ σφίσιν. κἂν σφίσιν Dobree; καὶ ἐν σφίσιν Gö. — τοῦ ἑταιρικοῦ. vgl. 3, 82, 5 u. 8, 92, 5.

οὐδὲν μᾶλλον ὀλιγαρχίας ἢ δημοκρατίας δεῖσθαι ἐδόκει αὐτῷ, οὐδ' ἄλλο τι σκοπεῖσθαι ἢ ὅτῳ τρόπῳ ἐκ τοῦ παρόντος κόσμου τὴν πόλιν μεταστήσας ὑπὸ τῶν ἑταίρων παρακληθεὶς κάτεισιν, σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα ὅπως μὴ
4 στασιάσωσιν· τῷ τε βασιλεῖ οὐκ εὔπορον εἶναι καὶ Πελοποννησίων ἤδη ὁμοίως ἐν τῇ θαλάσσῃ ὄντων καὶ πόλεις ἐχόντων ἐν τῇ αὐτοῦ ἀρχῇ οὐ τὰς ἐλαχίστας, Ἀθηναίοις προσθέμενον, οἷς οὐ πιστεύει, πράγματα ἔχειν, ἐξὸν Πελοποννησίους, ὑφ' ὧν κακὸν οὐδέν πω πέπονθε, φίλους ποιή-
5 σασθαι. τάς τε ξυμμαχίδας πόλεις, αἷς ὑπεσχῆσθαι δὴ σφᾶς ὀλιγαρχίαν, ὅτι δὴ καὶ αὐτοὶ οὐ δημοκρατήσονται, εὖ εἰδέναι ἔφη ὅτι οὐδὲν μᾶλλον σφίσιν οὔθ' αἱ ἀφεστηκυῖαι προσχωρήσονται οὔθ' αἱ ὑπάρχουσαι βεβαιότεραι ἔσονται· οὐ γὰρ βουλήσεσθαι αὐτοὺς μετ' ὀλιγαρχίας ἢ δημοκρατίας δουλεύειν μᾶλλον ἢ μεθ' ὁποτέρου ἂν τύχωσι τούτων ἐλεύθέρους εἶναι· τούς τε καλοὺς κἀγαθοὺς ὀνομαζομένους οὐκ ἐλάσσω αὐτοὺς νομίζειν σφίσι πράγματα παρέξειν τοῦ δήμου, πορισταὶς ὄντας καὶ ἐσηγητὰς τῶν κακῶν τῷ δήμῳ, ἐξ ὧν τὰ
6 πλείω αὐτοὺς ὠφελεῖσθαι· καὶ τὸ μὲν ἐπ' ἐκείνοις εἶναι,

---

§ 3. οὐδ' ἄλλο für ἢ ἄλλο eine gute Hſ. — κόσμου, εὐταξίας. (Sch.) zu 4, 76, 1. — περιοπτέον, περιαρθρητέον, σκεπτέον. (Sch.) vgl. 4, 124, 4.

§ 4. τῷ τε βασιλεῖ für τῷ βασιλεῖ eine gute Hſ. — ὁμοίως, ὥσπερ καὶ Ἀθηναίων, κρατούντων τῆς θαλάσσης. (Sch.) — αὐτοῦ. Gr. 47, 9 A. 12. — προσθέμενον. zu 3, 11, 3.

§ 5. αἱ ἀφεστηκυῖαι. Eignes Subject nach der Anticipation, aus εὖ εἰδέναι ὅτι αἱ ξυμμαχίδες πόλεις οὔτε αἱ ἀφεστηκυῖαι. Eine ungewöhnliche aber hier ſehr natürliche Fügung. — ὁποτέρου mit Bezug auf ὀλιγαρχίας ἢ δημοκρατίας. (Hl.) — τύχωσι. Gr. 56, 4 A. 2. — καλοὺς κἀγαθούς die Optimaten. (St.) Es iſt Subject zu παρέξειν. (Hl.) — αὐτούς, τοὺς ξυμμάχους, Subject zu νομιεῖν: ſie würden nicht glauben. — πορισταί wohl in der gewöhnlichen Bedeutung τοὺς περὶ πόρου χρημάτων εἰσηγουμένους. (Sch. Ar. Frösche 1501.) Sie handelten beſonders auf Koſten der Bundesgenoſſen. — ἐσηγητὰς τῶν κακῶν τῷ δήμῳ die dem Volke Böſes, Bedrückungen der Bundesgenoſſen, an die Hand gäben. (St.) So εἰσηγεῖσθαι anleiten Ar. Frösche 971. vgl. zu 5, 30, 1. — αὐτούς ſie ſelbſt, die Optimaten. (Va.) — ὠφελεῖσθαι. Gr. 52, 4 A. 8. vgl. 6, 12, 2.

§ 6. ἐκείνοις. ἐκείνους einige gute Hſn. Gr. 68, 41 A. 9. —

καὶ ἄκριτοι ἂν καὶ βιαιότερον ἀποθνήσκειν', τὸν δὲ δῆμον σφῶν τε καταφυγὴν εἶναι καὶ ἐκείνων σωφρονιστήν. καὶ ταῦτα παρ' αὐτῶν τῶν ἔργων ἐπισταμένας τὰς πόλεις σαφῶς αὐτὸς εἰδέναι ὅτι οὕτω νομίζουσιν. οὔκουν ἑαυτῷ γε τῶν ἀπ' Ἀλκιβιάδου καὶ ἐν τῷ παρόντι πρασσομένων ἀρέσκειν οὐδέν. οἱ δὲ ξυλλεγέντες τῶν ἐν τῇ ξυνωμοσίᾳ, ὥσπερ καὶ 49
τὸ πρῶτον αὐτοῖς ἐδόκει, τά τε παρόντα ἐδέχοντο καὶ ἐς τὰς Ἀθήνας πρέσβεις Πείσανδρον καὶ ἄλλους παρεσκευάζοντο πέμπειν, ὅπως περί τε τῆς τοῦ Ἀλκιβιάδου καθόδου πράσσοιεν καὶ τῆς τοῦ ἐκεῖ δήμου καταλύσεως καὶ τὸν Τισσαφέρνην φίλον τοῖς Ἀθηναίοις ποιήσειαν. γνοὺς δὲ ὁ Φρύ- 50
νιχος ὅτι ἔσοιτο περὶ τῆς τοῦ Ἀλκιβιάδου καθόδου λόγος καὶ ὅτι Ἀθηναῖοι ἐνδέξονται αὐτήν, δείσας πρὸς τὴν ἐναντίωσιν τῶν ὑφ' αὐτοῦ λεχθέντων μή, ἢν κατέλθῃ, ὡς κωλυτὴν ὄντα κακῶς δρᾷ, τρέπεται ἐπὶ τοιόνδε τι. πέμπει ὡς 2
τὸν Ἀστύοχον τὸν Λακεδαιμονίων ναύαρχον, ἔτι ὄντα τότε περὶ τὴν Μίλητον, κρύφα ἐπιστείλας ὅτι Ἀλκιβιάδης αὐτῶν τὰ πράγματα φθείρει, Τισσαφέρνην Ἀθηναίοις φίλον ποιῶν, καὶ τἆλλα σαφῶς ἐγγράψας· ξυγγνώμην δ' εἶναι ἑαυτῷ περὶ ἀνδρὸς πολεμίου καὶ μετὰ τοῦ τῆς πόλεως ἀξυμφόρου κακόν τι βουλεύειν. ὁ δὲ Ἀστύοχος τὸν μὲν Ἀλκιβιάδην, ἄλλως 3
τε καὶ οὐκέτι ὁμοίως ἐς χεῖρας ἰόντα, οὐδὲ διενοεῖτο τιμωρεῖσθαι, ἀνελθὼν δὲ παρ' αὐτὸν ἐς Μαγνησίαν καὶ παρὰ Τισσαφέρνην ἅμα λέγει τε αὐτοῖς τὰ ἐπισταλέντα ἐκ τῆς

εἶναι. Gr. 55, 1 A. 1. — ἄκριτοι als ob ὅτι νομιοῦσι vorherginge. (Ba.) Aehnlich 5, 41, 2 ἑτοῖμοι, indem ὡς οὐκ εἴων vorschwebte. (Pp.) — σωφρονιστήν. zu 3, 65, 2. — παρ'. ἀπ' Dobree, vielleicht ἄρ' ἀπ'. — τὰς πόλεις ὅτι. Gr. 61, 6 A. 2.

C. 49. ξυνωμοσία für ξυμμαχία Hk. u. Dobree. vgl. 8, 48, 2. 69, 2.

C. 50. § 1. ὅτι ἔσοιτο καὶ ἐνδέξονται. Gr. 54, 6 A. 2. πρός. zu 8, 39, 2. — ὑφ' αὐτοῦ λεχθέντων für λεχθέντων ὑφ' αὐτοῦ eine gute Hs. — κωλυτήν hat Thuk. öfter, wie 5, 9, 7. vgl. zu 3, 23, 3; auch Dem. 18, 72, διακωλυτής Her. 6, 56.

§ 2. τόν für τῶν einige Hsn. vgl. Kr. p. 302 s. — ἐπιστείλας. ἐπιστολάς Ba. — ξυγγνώμην verzeihlich. (Ba.) Gr. 61, 7 A. 5. — καὶ μετά selbst mit. (Ba.)

§ 3. ἐς χεῖρας in seine Gewalt. (Ba.) wie Xen. An. 1, 2, 26. (Pp.) — λέγει. ἀγγέλλει, ἀπαγγέλλει mehrere Hsn.; mir ist der

Σάμου καὶ γίγνεται αὐτοῖς μηνυτής, προσέθηκέ τε, ὡς ἐλέγετο, ἐπὶ ἰδίοις κέρδεσι Τισσαφέρνει ξαυτὸν καὶ περὶ τούτων
4 καὶ περὶ τῶν ἄλλων κοινοῦσθαι· διόπερ καὶ περὶ τῆς μισθοφορᾶς οὐκ ἐντελοῦς οὔσης μαλακωτέρως ἀνθήπτετο. ὁ δὲ Ἀλκιβιάδης εὐθὺς πέμπει κατὰ Φρυνίχου γράμματα ἐς τὴν Σάμον πρὸς τοὺς ἐν τέλει ὄντας οἷα δέδρακεν, καὶ ἀξιῶν αὐτὸν ἀποθνήσκειν. θορυβούμενος δὲ ὁ Φρύνιχος καὶ πάνυ, ἐν τῷ μεγίστῳ κινδύνῳ ὢν διὰ τὸ μήνυμα, ἀποστέλλει αὖ-
5 θις πρὸς τὸν Ἀστύοχον, τά τε πρότερα μεμφόμενος ὅτι οὐ καλῶς ἐκρύφθη καὶ νῦν ὅτι ὅλον τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἑτοῖμος εἴη τὸ ἐν τῇ Σάμῳ παρασχεῖν αὐτοῖς διαφθεῖραι, γράψας καθ' ἕκαστα, ἀτειχίστου οὔσης Σάμου ᾧ ἂν τρόπῳ αὐτὰ πράξειεν, καὶ ὅτι ἀνεπίφθονόν οἱ ἤδη εἴη περὶ τῆς ψυχῆς δι' ἐκείνους κινδυνεύοντι καὶ τοῦτο καὶ ἄλλο πᾶν δρᾶσαι μᾶλλον ἢ ὑπὸ τῶν ἐχθίστων αὐτὸν διαφθαρῆναι.
51 ὁ δ' Ἀστύοχος μηνύει καὶ ταῦτα τῷ Ἀλκιβιάδῃ. καὶ ὡς προῄσθειο αὐτὸν ὁ Φρύνιχος ἀδικοῦντα καὶ ὅσον οὐ παροῦσαν ἀπὸ τοῦ Ἀλκιβιάδου περὶ τούτων ἐπιστολήν, αὐτὸς προφθάσας τῷ στρατεύματι ἐξάγγελος γίγνεται ὡς οἱ πολέμιοι μέλλουσιν ἀτειχίστου οὔσης τῆς Σάμου καὶ ἅμα τῶν νεῶν οὐ πασῶν ἔνδον ὁρμουσῶν ἐπιθήσεσθαι τῷ στρατοπέδῳ, καὶ ταῦτα σαφῶς πεπυσμένος εἴη, καὶ χρῆναι τειχίζειν τε Σάμον ὡς τάχιστα καὶ τἆλλα ἐν φυλακῇ ἔχειν· ἐστρατήγει
2 δὲ καὶ κύριος ἦν αὐτὸς πράσσων ταῦτα. καὶ οἱ μὲν τὸν τειχισμόν τε παρεσκευάζοντο καὶ ἐκ τοῦ τοιούτου, καὶ ὡς

Satz bis *Σάμου καί* verdächtig. — *αὐτοῖς μηνυτής.* *αὐτὸς μηνυτής* Dr., eine Hs. u. Va. — *κοινοῦσθαι* haben nur zwei Hsn. u. Va.

§ 4. *ἀνθήπτετο, ἀντέσχετο.* (Sch.) — *οἷα* mit Bezug auf den im Vorhergehenden enthaltenen Begriff anzeigend. — *καὶ πάνυ* verbindet Hl. gut mit *θορυβούμενος.* vgl. Gr. 69, 32 A. 18.

§ 5. *νῦν.* Ungern vermißt man *λέγων* oder ein ähnliches Particip. — *ᾧ* für *ὅτῳ* vgl. 8, 46, 2 und zu 1, 136, 3. (Pp.) — *πᾶν* für *ἄν* einige der besten Hsn.

C. 51. § 1. *ἐξάγγελος ὁ τὰ ἔσω γεγονότα τοῖς ἔξω ἀγγέλλων.* (Hesych.)

§ 2. *ἐκ τοῦ τοιούτου, διὰ τὸ τοιοῦτο· λέγει δὲ τὸ μήνυμα τὸ τοῦ Φρυνίχου.* (Sch.) — *καὶ ὡς* ohne hin. (Hl.) Gr. 9, 2 A. 2. —

μέλλουσα, Σάμος θᾶσσον ἐτειχίσθη· αἱ δὲ παρὰ τοῦ Ἀλκιβιάδου ἐπιστολαὶ οὐ πολὺ ὕστερον ἦκον ὅτι προδίδοταί τε τὸ στράτευμα ὑπὸ Φρυνίχου καὶ οἱ πολέμιοι μέλλουσιν ἐπιθήσεσθαι. δόξας δὲ ὁ Ἀλκιβιάδης οὐ πιστὸς εἶναι, ἀλλὰ τὰ ἀπὸ τῶν πολεμίων προειδὼς τῷ Φρυνίχῳ ὡς ξυνειδότι κατ' ἔχθραν ἀνατιθέναι, οὐδὲν ἔβλαψεν αὐτόν, ἀλλὰ καὶ ξυνεμαρτύρησε μᾶλλον ταὐτὰ ἐσαγγείλας.

Μετὰ δὲ τοῦτο Ἀλκιβιάδης μὲν Τισσαφέρνην παρε- 52
σκεύαζε καὶ ἀνέπειθεν ὅπως φίλος ἔσται τοῖς Ἀθηναίοις, δεδιότα μὲν τοὺς Πελοποννησίους, ὅτι πλείοσι ναυσὶ τῶν Ἀθηναίων παρῆσαν, βουλόμενον δὲ ὅμως, εἰ δύναιτό πως, πεισθῆναι, ἄλλως τε καὶ ἐπειδὴ τὴν ἐν τῇ Κνίδῳ διαφορὰν περὶ τῶν Θηραμένους σπονδῶν ᾔσθετο τῶν Πελοποννησίων — ἤδη γὰρ κατὰ τοῦτον τὸν καιρὸν ἐν τῇ Ῥόδῳ ὄντων αὐτῶν ἐγεγένητο — ἐν ᾗ τὸν τοῦ Ἀλκιβιάδου λόγον πρόιερον 2
εἰρημένον περὶ τοῦ ἐλευθεροῦν τοὺς Λακεδαιμονίους ἁπάσας τὰς πόλεις ἐπηλήθευσεν ὁ Λίχας, οὐ φάσκων ἀνεκτὸν εἶναι ξυγκεῖσθαι κρατεῖν βασιλέα τῶν πόλεων ὧν ποτε καὶ πρότερον ἢ αὐτὸς ἢ οἱ πατέρες ἦρχον. καὶ ὁ μὲν Ἀλκιβιάδης, ἅτε περὶ μεγάλων ἀγωνιζόμενος, προθύμως τὸν Τισσαφέρνην

μέλλουσα, τειχίζεσθαι. (Sch.) — τὰ ἀπὸ τῶν π. die von den Feinden bevorstehenden Unternehmungen. — ἀνατιθέναι aufbürden, zur Last legen. (Hl.) zu 2, 64, 2. — ξυνεμαρτύρησε, für die Aussage des Phrynichos. — ταὐτά für ταῦτα Hl.

C. 52. § 1. παρεσκεύαζε. zu 3, 36, 4. — πεισθῆναι ὑπὸ Ἀλκιβιάδου μεταθέσθαι πρὸς τοὺς Ἀθηναίους. (Sch.) Allein dieser Gedanke erscheint hier ziemlich seltsam, da Tissaphernes längst überzeugt war daß er eher die Athener als die Peloponnesier zu unterstützen Grund habe. vgl. 8, 46, 4. Auch kann eine bloße Ueberzeugung der Art ohne ihr gemäßes Verfahren zu nichts führen. Daher scheint mir die La. πιστευθῆναι von vielen, wenn gleich meist schlechteren Hsn. geboten und von Va. bestätigt, auch jetzt die richtige. Nach ihr wäre der Sinn: obgleich er die Peloponnesier fürchtete, und also ein Interesse daran hatte sie durch Theilnahme für Athen zu schwächen, so wollte er doch für jetzt noch sich ihr Vertrauen erhalten. — ἄλλως τε καί schließt sich an ἀνέπειθεν an und bezeichnet also den Grund warum Alkibiades jetzt eher seinen Zweck zu erreichen hoffen durfte. — Θηραμένους. Θηριμένους einige Hsn.

§ 2. πρότερον 8, 46, 3. — ἁπάσας τάς für τὰς ἁπάσας einige, auch gute Hsn. vgl. Gr. 50, 11 A. 11 f. — ἐπηλήθευσε. zu 4, 85, 1. — τὸν Τισσαφέρνην für τῷ Τισσαφέρνει mehrere gute

53 θεραπεύων προσέκειτο· οἱ δὲ μετὰ τοῦ Πεισάνδρου πρέσβεις τῶν Ἀθηναίων ἀποσταλέντες ἐκ τῆς Σάμου, ἀφικόμενοι ἐς τὰς Ἀθήνας, λόγους ἐποιοῦντο ἐν τῷ δήμῳ κεφαλαιοῦντες ἐκ πολλῶν, μάλιστα δὲ ὡς ἐξείη αὐτοῖς Ἀλκιβιάδην κατα-
2 γαγοῦσι καὶ μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις βασιλέα τε ξύμμαχον ἔχειν καὶ Πελοποννησίων περιγενέσθαι. ἀντιλεγόντων δὲ πολλῶν καὶ ἄλλων περὶ τῆς δημοκρατίας καὶ τῶν Ἀλκιβιάδου ἅμα ἐχθρῶν διαβοώντων ὡς δεινὸν εἴη εἰ τοὺς νόμους βιασάμενος κάτεισιν, καὶ Εὐμολπιδῶν καὶ Κηρύκων περὶ τῶν μυστικῶν, δι' ἅπερ ἔφυγε, μαρτυρομένων καὶ ἐπιθειαζόντων μὴ κατάγειν ὁ Πείσανδρος παρελθὼν πρὸς πολλὴν ἀντιλογίαν καὶ σχετλιασμὸν ἠρώτα ἕνα ἕκαστον πα-
3 ράγων τῶν ἀντιλεγόντων, εἴ τινα ἐλπίδα ἔχει σωτηρίας τῇ πόλει Πελοποννησίων ναῦς τε οὐκ ἐλάσσους σφῶν ἐν τῇ θαλάσσῃ ἀντιπρῴρους ἐχόντων καὶ πόλεις ξυμμαχίδας πλείους, βασιλέως τε αὐτοῖς καὶ Τισσαφέρνους χρήματα παρεχόντων, σφίσι τε οὐκέτι ὄντων, εἰ μή τις πείσει βασιλέα μεταστῆναι
4 παρὰ σφᾶς. ὁπότε δὲ μὴ φαίησαν ἐρωτώμενοι, ἐνταῦθα δὴ σαφῶς ἔλεγεν αὐτοῖς ὅτι "τοῦτο τοίνυν οὐκ ἔστιν ἡμῖν γενέσθαι, εἰ μὴ πολιτεύσομέν τε σωφρονέστερον καὶ ἐς ὀλίγους μᾶλλον τὰς ἀρχὰς ποιήσομεν, ἵνα πιστεύῃ ἡμῖν βασιλεύς, καὶ μὴ περὶ πολιτείας τὸ πλέον βουλεύσομεν ἐν τῷ παρόντι

Hſn. — προσέκειτο ohne Object auch 7, 18, 2. 78, 2. (Dr.) Doch ſ. Gr. 60, 5 A. 2.

C. 53. § 1. τῶν Ἀθηναίων verdächtigt Dobree [u. Kr.] — κεφαλαιοῦντες, ἤγουν κεφαλαιωδῶς καὶ ξυντετμημένως λέγοντες. (Sch.) — μὴ τὸν αὐτὸν τρόπον wie vorher. Unbedingte Aufhebung der Demokratie wagte man natürlich nicht zu beantragen.

§ 2. μαρτυρομένων. vgl. 6, 80, 3. — ἐπιθειαζόντων, ἤγουν θεΐά τινα ἐπιβοωμένων. (Sch.) zu 2, 75, 1. — σχετλιασμόν, ἤγουν δεινοπάθειαν. (Sch.) — παράγων. zu 3, 68, 1.

§ 3. εἴ τινα für ἤντινα eine gute Hſ. u. Va. — ἀντιπρῴρους die ihnen die Spitze böten. (Hl.) Es iſt aber prädicativ zu nehmen. (Pp.) — ὄντων, χρημάτων δηλονότι. (Sch.)

§ 4. φαίησαν. Gr. 36, 7 A. 1. — δή. ἤδη eine gute Hſ., nicht übel, wie 4, 35, 1. — ἡμῖν für ὑμῖν zwei Hſn. — ἐς ὀλίγους τὰς ἀρχὰς ποιεῖν auf Wenige die Staatsämter beſchränken. (Va.) zu 2, 37, 1. — μᾶλλον als zeither. (Pp.) — ποιήσομεν für ποιήσαιμεν Bk. — πλεῖον für πλέον die beſten Hſn. — βουλεύσομεν für βουλεύωμεν eine gute Hſ. Hl. nahm βουλεύσομεν und κατάξομεν

ἢ περὶ σωτηρίας — ὕστερον γὰρ ἐξέσται ἡμῖν καὶ μεταθέσθαι, ἢν μή τι ἀρέσκῃ — Ἀλκιβιάδην τε κατάξομεν, ὃς μόνος τῶν νῦν οἷός τε τοῦτο κατεργάσασθαι." ὁ δὲ δῆμος 54
τὸ μὲν πρῶτον ἀκούων χαλεπῶς ἔφερε τὸ περὶ τῆς ὀλιγαρχίας· σαφῶς δὲ διδασκόμενος ὑπὸ τοῦ Πεισάνδρου μὴ εἶναι ἄλλην σωτηρίαν, δείσας καὶ ἅμα ἐλπίζων ὡς καὶ μεταβαλεῖται, ἐνέδωκεν. καὶ ἐψηφίσαντο πλεύσαντα τὸν Πείσανδρον 2
καὶ δέκα ἄνδρας μετ' αὐτοῦ πράσσειν ὅπῃ ἂν αὐτοῖς δοκοίη ἄριστα ἔξειν τά τε πρὸς τὸν Τισσαφέρνην καὶ τὸν Ἀλκιβιάδην. ἅμα τε διαβαλόντος καὶ Φρύνιχον τοῦ Πεισάνδρου παρέλυσεν ὁ δῆμος τῆς ἀρχῆς καὶ τὸν ξυνάρχοντα Σκιρωνίδην, ἀντέπεμψαν δὲ στρατηγοὺς ἐπὶ τὰς ναῦς Διομέδοντα καὶ Λέοντα. τὸν δὲ Φρύνιχον ὁ Πείσανδρος, φάσκων Ἴασον προ- 3
δοῦναι καὶ Ἀμόργην, διέβαλεν, οὐ νομίζων ἐπιτήδειον εἶναι τοῖς πρὸς τὸν Ἀλκιβιάδην πρασσομένοις. καὶ ὁ μὲν Πείσανδρος τάς τε ξυνωμοσίας, αἵπερ ἐτύγχανον πρότερον ἐν τῇ πόλει οὖσαι ἐπὶ δίκαις καὶ ἀρχαῖς, ἁπάσας ἐπελθὼν καὶ παρακελευσάμενος ὅπως ξυσιραφέντες καὶ κοινῇ βουλευσάμενοι καταλύσουσι τὸν δῆμον, καὶ τἆλλα παρασκευάσας ἐπὶ τοῖς παροῦσιν ὥστε μηκέτι διαμέλλεσθαι, αὐτὸς μετὰ τῶν δέκα ἀνδρῶν τὸν πλοῦν ὡς τὸν Τισσαφέρνην ποιεῖται.

Ὁ δὲ Λέων καὶ Διομέδων ἐν τῷ αὐτῷ χειμῶνι ἀφιγμένοι 55
ἤδη ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς ἐπίπλουν τῇ Ῥόδῳ ἐποιήσαντο. καὶ τὰς μὲν ναῦς καταλαμβάνουσιν ἀνειλκυσμένας τῶν Πελοποννησίων, ἐς δὲ τὴν γῆν ἀπόβασίν τινα ποιησά-

---

als eine selbständige Aufforderung. Dobree wollte καὶ μή — ἀρέσκῃ parenthetisch nehmen und also das Folgende wieder an εἰ anschließen.

C. 54. § 1. ἐλπίζων. ἐπελπίζων die besten Hsn., was doch in der Bedeutung auf etwas hoffen erst bei den Spätern üblich ist. (Gö.) — μεταβαλεῖται daß es die jetzt einzuführende Verfassung wieder werde umändern können. (Ba.)

§ 2. ὅπῃ ἂν δοκοίη. Gr. 54, 15 A. 4. vgl. Schömann z. Isä. p. 306. — παρέλυσεν ὁ δῆμος für παρέλυσε die besten Hsn.

§ 3. ξυνωμοσίας geheime Verbindungen, Klubs. Kr. z. Dion. p. 362 ff. — ἐπὶ δίκαις καὶ ἀρχαῖς um das gerichtliche Verfahren und die Wahlen zu Aemtern ihren Interessen gemäß zu leiten. (Kr.) — ἐπὶ τοῖς παροῦσιν für die vorliegenden Zwecke. (Ba.) Ueber ἐπί Gr. 68, 41 A. 7.

μενοι καὶ τοὺς προσβοηθήσαντας Ῥοδίων νικήσαντες μάχῃ ἀπεχώρησαν ἐς τὴν Χάλκην, καὶ τὸν πόλεμον ἐντεῦθεν μᾶλλον ἢ ἐκ τῆς Κῶ ἐποιοῦντο· εὐφυλακτότερα γὰρ αὐτοῖς ἐγίγνετο, εἴ ποι ἀπαίροι τὸ τῶν Πελοποννησίων ναυτικόν.

2 Ἦλθε δ' ἐς τὴν Ῥόδον καὶ Ξενοφαντίδας Λάκων παρὰ Πεδαριτου ἐκ Χίου, λέγων ὅτι τὸ τεῖχος τῶν Ἀθηναίων ἤδη ἐπιτετέλεσται καὶ εἰ μὴ βοηθήσουσι πάσαις ταῖς ναυσίν, ἀπολεῖται τὰ ἐν Χίῳ πράγματα. οἱ δὲ διενοοῦντο βοηθήσειν.

3 ἐν τούτῳ δὲ ὁ Πεδάριτος αὐτός τε καὶ τὸ περὶ αὐτὸν ἐπικουρικὸν ἔχων καὶ τοὺς Χίους πανστρατιᾷ προσβαλὼν τῶν Ἀθηναίων τῷ περὶ τὰς ναῦς ἐρύματι αἱρεῖ τέ τι αὐτοῦ καὶ νεῶν τινων ἀνειλκυσμένων ἐκράτησεν· ἐπεκβοηθησάντων δὲ τῶν Ἀθηναίων καὶ τρεψαμένων τοὺς Χίους πρώτους νικᾶται καὶ τὸ ἄλλο τὸ περὶ τὸν Πεδάριτον, καὶ αὐτὸς ἀποθνήσκει

56 καὶ τῶν Χίων πολλοὶ καὶ ὅπλα ἐλήφθη πολλά. Μετὰ δὲ ταῦτα ἔκ τε γῆς καὶ θαλάσσης οἱ Χῖοι ἔτι μᾶλλον ἢ πρότερον ἐπολιορκοῦντο καὶ ὁ λιμὸς αὐτόθι ἦν μέγας.

Οἱ δὲ περὶ τὸν Πείσανδρον Ἀθηναίων πρέσβεις ἀφικόμενοι ὡς τὸν Τισσαφέρνην λόγους ποιοῦνται περὶ τῆς ὁμο-

2 λογίας. Ἀλκιβιάδης δέ — οὐ γὰρ αὐτῷ πάνυ τὰ ἀπὸ Τισσαφέρνους βέβαια ἦν, φοβουμένου τοὺς Πελοποννησίους μᾶλλον καὶ ἔτι βουλομένου, καθάπερ καὶ ὑπ' ἐκείνου ἐδιδάσκετο, τρίβειν ἀμφοτέρους — τρέπεται ἐπὶ τοιόνδε εἶδος ὥστε τὸν Τισσαφέρνην ὡς μέγιστα αἰτοῦντα παρὰ τῶν Ἀθη-

3 ναίων μὴ ξυμβῆναι. δοκεῖ δέ μοι καὶ ὁ Τισσαφέρνης τὸ αὐτὸ βουληθῆναι, αὐτὸς μὲν διὰ τὸ δέος, ὁ δ' Ἀλκιβιάδης, ἐπειδὴ ἑώρα ἐκεῖνον καὶ ὡς οὐ ξυμβασείοντα, δοκεῖν τοῖς

C. 55. § 1. ἢ ἐκ für ἐκ Paulmier. Ds. nimmt ἐντεῦθεν temporal. — εὐφυλακτότερα. Gr. 43, 4 A. 13 u. 44, 4 A. 2. vgl. 56, 5.

§ 3. βοηθήσειν. zu 1, 27, 2. — αὐτός τε καὶ ἔχων. Gr. 59, 2 A. 3. Plat. Rep. 398, a: ἀφίκετο εἰς τὴν πόλιν αὐτός τε καὶ τὰ ποιήματα βουλόμενος ἐπιδείξασθαι.

C. 56. § 1. οἱ Χῖοι mehrere gute Hſn.; die übrigen οἱ μὲν Χῖοι nach ταῦτα geſtellt.

§ 2. εἶδος, μηχανήν. (Sch.) zu 6, 77, 2.

§ 3. αὐτὸς μέν, des Gegenſatzes wegen hinzugefügt, ſollte eig. fehlen. — καὶ ὡς obgleich er beide Theile aufreiben wollte. (Ps.) Der

Ἀθηναίοις ἐβούλετο μὴ ἀδύνατος εἶναι πεῖσαι, ἀλλ' ὡς πε-
πεισμένῳ Τισσαφέρνει καὶ βουλομένῳ προσχωρῆσαι τοὺς
Ἀθηναίους μὴ ἱκανὰ διδόναι. ἤτει γὰρ τοσαῦτα ὑπερβάλλων 4
ὁ Ἀλκιβιάδης, λέγων αὐτὸς ὑπὲρ πυρόντος Τισσαφέρνους,
ὥσιε τὸ τῶν Ἀθηναίων, καίπερ ἐπὶ πολὺ ὅ τι αἰτοίη ξυγχω-
ρούντων, ὅμως αἴτιον γενέσθαι· Ἰωνίαν τε γὰρ πᾶσαν ἠξίουν
δίδοσθαι καὶ αἴθις νήσους τε τὰς ἐπικειμένας καὶ ἄλλα,
οἷς οὐκ ἐναντιουμένων τῶν Ἀθηναίων τέλος ἐν τῇ τρίτῃ ἤδη 5
ξυνόδῳ, δείσας μὴ πάνυ φωραθῇ ἀδύνατος ὤν, ναῦς ἠξίου
ἐᾶν βασιλέα ποιεῖσθαι καὶ παραπλεῖν τὴν ἑαυτῶν γῆν ὅπῃ
ἂν καὶ ὅσαις ἂν βούληται. ἐνταῦθα δὴ οὐκέτι τι, ἀλλ' ἄπορα
νομίσαντες οἱ Ἀθηναῖοι καὶ ὑπὸ τοῦ Ἀλκιβιάδου ἐξηπα-
τῆσθαι, δι' ὀργῆς ἀπελθόντες κομίζονται ἐς τὴν Σάμον.

Τισσαφέρνης δὲ εὐθὺς μετὰ ταῦτα καὶ ἐν τῷ αὐτῷ χει- 57
μῶνι παρέρχεται ἐς τὴν Καῦνον, βουλόμενος τοὺς Πελοπον-
νησίους πάλιν τε κομίσαι ἐς τὴν Μίλητον καὶ ξυνθήκας ἔτι
ἄλλας ποιησάμενος, ἃς ἂν δύνηται, τροφήν τε παρέχειν καὶ
μὴ παντάπασιν ἐκπεπολεμῆσθαι, δεδιὼς μή, ἢν ἀπορῶσι πολ-
λαῖς ναυσὶ τῆς τροφῆς, ἢ τοῖς Ἀθηναίοις ἀναγκασθέντες
ναυμαχεῖν ἡσσηθῶσιν ἢ κενωθεισῶν τῶν νεῶν ἄνευ ἑαυτοῦ

Sch.: καὶ εἰ τὰ μέγιστα λαμβάνοι; wohl richtiger. — ἀλλ' ὡς. ἀλλ' ἐ-
βούλετο δοκεῖν τοὺς Ἀθ. μὴ ἱκανὰ διδόναι τῷ Τισσ. ὡς πεπεισμένῳ.
(Ba.) — τοὺς Ἀθηναίους. τοῖς Ἀθηναίοις viele, meiſt ſchlechtere Hſn.
— μὴ ἱκανὰ διδόναι nicht genug bewilligen wollten. (St.)

§ 4. ὑπερβάλλων ſteigernd. — τὸ τῶν für τῶν eine gute Hſ.: das Verfahren der. — ἠξίουν, Tiſſaphernes und Alkibiades. (A. Ps.) ἠξίου einige Hſn. u. Ba.

§ 5. τέλος. zu 5, 50, 4. — ποιεῖσθαι καὶ für ποιησάμενον. Denn die Erlaubniß zum Schiffbau war ihm natürlich nicht erſt von den Athenern zu bewilligen. Kr. hiſt. phil. Stud. S. 88. — ἑαυτῶν, τῶν Ἀθηναίων; ἑαυτοῦ die beſten Hſn. (nicht Ba.) Doch ſ. Kr. Stud. S. 89. — ὅπῃ für ὅποι die beſten Hſn. — οὐκέτι τι. ἀπὸ κοινοῦ τὸ ξυγχωρούντων ἀκουστέον. (Sch.) Vielmehr οὐκ ἐναντιούμενοι d. h. ξυγχωροῦντες. Das τι iſt aus vielen und den beſten Hſn. hinzugefügt. — ἀλλ'. ἀλλ' ἢ Lindau. — ἄπορα. zu 55, 1.

C. 57. § 1. ἐκπεπολεμῆσθαι. ἐκπεπολεμῶσθαι eine gute Hſ.; doch ſ. zu 6, 91, 4. — ναυσί für Schiffe. vgl. 4, 6, 2. (Dr.) — κενωθεισῶν, ἀπολιπόντων αὐτοὺς τῶν στρατιωτῶν [ναυτῶν] διὰ τὸ μὴ λαμβάνειν μισθόν. (Sch.) — ἄνευ ἑαυτοῦ heißt wider ſeinen Willen. (Pp.) Aber nur wenn es ſo viel iſt als ohne ſeine Er-

2 γένηται τοῖς Ἀθηναίοις ἃ βούλονται. ἔτι δὲ ἐφοβεῖτο μάλιστα μὴ τῆς τροφῆς ζητήσει πορθήσωσι τὴν ἤπειρον. πάντων οὖν τούτων λογισμῷ καὶ προνοίᾳ, ὥσπερ ἐβούλετο ἐπανισοῦν τοὺς Ἕλληνας πρὸς ἀλλήλους, μεταπεμψάμενος οὖν τοὺς Πελοποννησίους τροφήν τε αὐτοῖς δίδωσι καὶ σπονδὰς τρίτας τάσδε σπένδεται.

58 "Τρίτῳ καὶ δεκάτῳ ἔτει Δαρείου βασιλεύοντος, ἐφορεύοντος δὲ Ἀλεξιππίδα ἐν Λακεδαίμονι, ξυνῆκαι ἐγένοντο ἐν Μαιάνδρου πεδίῳ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς Τισσαφέρνην καὶ Ἱεραμένην καὶ τοὺς Φαρνάκου παῖδας περὶ τῶν βασιλέως πραγμάτων καὶ Λακεδαιμονίων καὶ τῶν
2 ξυμμάχων. χώραν τὴν βασιλέως, ὅση τῆς Ἀσίας ἐστί, βασιλέως εἶναι· καὶ περὶ τῆς χώρας τῆς ἑαυτοῦ βουλευέτω βασιλεὺς ὅπως βούλεται. Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους μὴ ἰέναι ἐπὶ χώραν τὴν βασιλέως ἐπὶ κακῷ μηδενί, μηδὲ βασιλέα ἐπὶ τὴν Λακεδαιμονίων μηδὲ τῶν ξυμμάχων
3 ἐπὶ κακῷ μηδενί. ἢν δέ τις Λακεδαιμονίων ἢ τῶν ξυμμάχων ἐπὶ κακῷ ἴῃ ἐπὶ τὴν βασιλέως χώραν, Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κωλύειν· καὶ ἤν τις ἐκ τῆς βασιλέως ἴῃ ἐπὶ κακῷ ἐπὶ Λακεδαιμονίους ἢ τοὺς ξυμμάχους, βασιλεὺς κωλυέτω. τροφὴν δὲ ταῖς ναυσὶ ταῖς νῦν παρούσαις Τισσαφέρνην παρέχειν κατὰ τὰ ξυγκείμενα μέχρι ἂν αἱ νῆες αἱ
4 βασιλέως ἔλθωσιν· Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους, ἐπὴν αἱ βασιλέως νῆες ἀφίκωνται, τὰς ἑαυτῶν ναῦς ἢν βούλωνται τρέφειν, ἐφ' ἑαυτοῖς εἶναι. ἢν δὲ παρὰ Τισσαφέρνους λαμβάνειν ἐθέλωσι τὴν τροφήν, Τισσαφέρνην παρέχειν,

---

laubniß; hier: ohne sein Zuthun, so daß er dann nicht einmal Bewilligungen von ihnen hoffen durfte.

§ 2. ὥσπερ wie er denn. vgl. 7, 80, 3. (Pp.) — οὖν. zu 6, 64, 3.

C. 58. § 2. Λακεδαιμονίων. χώραν fügen die besten Hss. hinzu.

§ 3. τούς vor Λακεδαιμονίους ist mit einer guten Hs. getilgt. — κατὰ τὰ ξυγκείμενα. Nach dem mit Theramenes geschlossenen Vertrage. (Ds.) Wohl nur allgemein mit Bezug auf 8, 37, 3: τὴν δαπάνην βασιλέα παρέχειν. (Kr.)

§ 4. Λακεδαιμονίους. Die Accusative sind Subject zu dem

Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους τελευτῶντος τοῦ πολέμου τὰ χρήματα Τισσαφέρνει ἀποδοῦναι, ὁπόσα ἂν λάβωσιν. ἐπὴν δὲ αἱ βασιλέως νῆες ἀφίκωνται, αἵ τε Λακεδαιμονίων νῆες καὶ αἱ τῶν ξυμμάχων καὶ αἱ βασιλέως κοινῇ τὸν πόλεμον πολεμούντων, καϑ' ὅ τι ἂν Τισσαφέρνει δοκῇ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. ἢν δὲ καταλύειν βούλωνται πρὸς Ἀθηναίους, ἐν ὁμοίῳ καταλύεσϑαι."

Αἱ μὲν σπονδαὶ αὗται ἐγένοντο, καὶ μετὰ ταῦτα παρε- 59
σκευάζετο Τισσαφέρνης τάς τε Φοινίσσας ναῦς ἄξων, ὥσπερ εἴρητο, καὶ τἆλλα ὅσα περ ὑπέσχετο καὶ ἐβούλετο παρασκευαζόμενος γοῦν δῆλος εἶναι· Βοιωτοὶ δὲ τελευτῶντος ἤδη τοῦ 60
χειμῶνος Ὠρωπὸν εἷλον προδοσίᾳ Ἀθηναίων ἐμφρουρούντων. ξυνέπραξαν δὲ Ἐρετριέων τε ἄνδρες καὶ αὐτῶν Ὠρωπίων, ἐπιβουλεύοντες ἀπόστασιν τῆς Εὐβοίας· ἐπὶ γὰρ τῇ Ἐρετρίᾳ τὸ χωρίον ὃν ἀδύνατα ἦν Ἀθηναίων ἐχόντων μὴ οὐ μεγάλα βλάπτειν καὶ Ἐρέτριαν καὶ τὴν ἄλλην Εὔβοιαν. ἔχοντες οὖν ἤδη τὸν Ὠρωπὸν ἀφικνοῦνται ἐς Ῥόδον οἱ Ἐρε- 2
τριῆς, ἐπικαλούμενοι ἐς τὴν Εὔβοιαν τοὺς Πελοποννησίους. οἱ δὲ πρὸς τὴν τῆς Χίου κακουμένης βοήϑειαν μᾶλλον ὥρμηντο καὶ ἄραντες πάσαις ταῖς ναυσὶν ἐκ τῆς Ῥόδου ἔπλεον. καὶ γενόμενοι περὶ Τριόπιον καϑορῶσι τὰς τῶν Ἀθηναίων 3
ναῦς πελαγίας ἀπὸ τῆς Χάλκης πλεούσας· καὶ ὡς οὐδέτεροι ἀλλήλοις ἐπέπλεον, ἀφικνοῦνται οἱ μὲν ἐς τὴν Σάμον οἱ δ' ἐς τὴν Μίλητον, καὶ ἐώρων οὐκέτι ἄνευ ναυμαχίας οἷόν

---

bei ἐφ' ἑαυτοῖς εἶναι zu ergänzenden τρέφειν. (Arn.) — τελευτῶντος beim Ende.

§ 5. πρὸς Ἀθηναίους. τοῖς Ἀθηναίοις mehrere gute Hsn. — καταλύειν, διαλλάττεσϑαι. (Sch.) — ἐν ὁμοίῳ unter gleichen Bedingungen. — καταλύειν, καταλύεσϑαι, διαλλάττεσϑαι. (Sch.) Das Activ gebraucht Thuk. so nur noch 5, 23, 2; über das Medium zu 4, 18, 3.

C. 59. αὗται. τοιαῦται eine gute Hs. Allein es sind die eigenen Worte des Vertrages mitgetheilt. (Gö.) vgl. Gr. 61, 7 A. 2. — ταῦτα. ταύτας eine gute Hs. — εἴρητο, ἐν ταῖς σπονδαῖς δηλονότι. (Sch.)

C. 60. § 1. ἐπιβουλεύοντες. zu 6, 54, 3. — ἐπὶ τῇ Ἐ., ἐπικείμενον τῇ Ἐ. (Sch.) zu 5, 51, 1. — μὴ οὐ. Gr. 67, 12 A. 6.

§ 2. ἔχοντες. ἐχόντων? Da jedoch die Eretrier es wohl mit besetzt hatten, so mag die La. richtig sein.

τ' εἶναι ἐς τὴν Χίον βοηθῆσαι. καὶ δ χειμὼν ἐτελεύτα οὗτος καὶ εἰκοστὸν ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

61 Τοῦ δ' ἐπιγιγνομένου θέρους ἅμα τῷ ἦρι εὐθὺς ἀρχομένῳ Λερκυλίδας τε, ἀνὴρ Σπαρτιάτης, στρατιὰν ἔχων οὐ πολλὴν παρεπέμφθη πεζῇ ἐφ' Ἑλλησπόντου Ἄβυδον ἀποστήσων — εἰσὶ δὲ Μιλησίων ἄποικοι — καὶ οἱ Χῖοι ἐν ὅσῳ αὐτοῖς ὁ Ἀστύοχος ἠπόρει ὅπως βοηθήσοι ναυμαχῆσαι, πιε-
2 ζόμενοι τῇ πολιορκίᾳ, ἠναγκάσθησαν. ἔτυχον δ' ἔτι ἐν Ῥόδῳ ὄντος Ἀστυόχου ἐκ τῆς Μιλήτου Λέοντά τε, ἄνδρα Σπαρτιάτην, ὃς Ἀντισθένει ἐπιβάτης ξυνεξῆλθε, τοῦτον κεκομισμένοι μετὰ τὸν Πεδαρίτου θάνατον ἄρχοντα καὶ ναῦς δώδεκα, αἳ ἔτυχον φύλακες Μιλήτου οὖσαι, ὧν ἦσαν Θούριαι πέντε καὶ Συρακόσιαι τέσσαρες καὶ μία Ἀναιῖτις καὶ μία Μιλησία καὶ
3 Λέοντος μία. ἐπεξελθόντων δὲ τῶν Χίων πανδημεὶ καὶ καταλαβόντων τι ἐρυμνὸν χωρίον καὶ τῶν νεῶν αὐτοῖς ἅμα ἓξ καὶ τριάκοντα ἐπὶ τὰς τῶν Ἀθηναίων δύο καὶ τριάκοντα ἀναγαγομένων ἐναυμάχησαν· καὶ καρτερᾶς γενομένης ναυμαχίας οὐκ ἔλασσον ἔχοντες ἐν τῷ ἔργῳ οἱ Χῖοι καὶ οἱ ξύμμαχοι, ἤδη γὰρ καὶ ὀψὲ ἦν, ἀνεχώρησαν ἐς τὴν πόλιν.
62 μετὰ δὲ τοῦτο εὐθὺς τοῦ Λερκυλίδου πεζῇ ἐκ τῆς Μιλήτου παρεξελθόντος Ἄβυδος ἐν τῷ Ἑλλησπόντῳ ἀφίσταται πρὸς Λερκυλίδαν καὶ Φαρνάβαζον καὶ Λάμψακος δυοῖν ἡμέραιν ὕστερον. Στρομβιχίδης δ' ἐκ τῆς Χίου πυθόμενος κατὰ τάχος βοηθήσας ναυσὶν Ἀθηναίων τέσσαρσι καὶ εἴκοσιν, ὧν
2 καὶ στρατιώτιδες ἦσαν ὁπλίτας ἄγουσαι, ἐπεξελθόντων τῶν Λαμψακηνῶν μάχῃ κρατήσας καὶ αὐτοβοεὶ Λάμψακον ἀτεί-

---

§ 3. ἐτελεύτα hat hier eine gute Hs., die übrigen nach ἔτος.

C. 61. § 1. Ἑλλησπόντου für Ἑλλήσποντον eine gute Hs. — εἰσί, οἱ Ἄβυδηνοί. Gr. 58, 4 A. 1.

§ 2. ἐπιβάτης, οὐ τριήραρχος ἀλλ' ἄλλην ἀρχὴν ἔχων. (Sch.) Bei den Lakedämoniern wahrscheinlich Benennung eines Unterbefehlshabers. Kr. p. 300. Dazu gehört wohl die zu Ἀντισθένει angemerkte Variante ἀντὶ στραιηγοῦ. — ξυνεξῆλθε. ξυνῆλθε die besten Hsn. — τοῦτον. Gr. 51, 5 A. 1.

§ 3. τῶν νεῶν. Gr. 50, 11 A. 1.

C. 62. § 1. παρεξελθόντος. παρα — längs der Küste. (Abr.)

χιστον οὖσαν ἑλών, καὶ σκεύη μὲν καὶ ἀνδράποδα ἁρπαγὴν ποιησάμενος, τοὺς δ' ἐλευθέρους πάλιν κατοικίσας, ἐπ' Ἄβυδον ἦλθεν. καὶ ὡς οὔτε προσεχώρουν οὔτε προσβάλλων ἐδύνατο ἑλεῖν, ἐς τὸ ἀντιπέρας τῆς Ἀβύδου ἀποπλεύσας Σηστόν, πόλιν τῆς Χερσονήσου, ἣν τότε Μῆδοι εἶχον, καθίστατο φρούριον καὶ φυλακὴν τοῦ παντὸς Ἑλλησπόντου.

Ἐν τούτῳ δὲ οἱ Χῖοι τε θαλασσοκράτορες μᾶλλον ἐγέ- 63
νοντο καὶ οἱ ἐν τῇ Μιλήτῳ καὶ ὁ Ἀστύοχος πυθόμενος τὰ περὶ τῆς ναυμαχίας καὶ τὸν Στρομβιχίδην καὶ τὰς ναῦς ἀπελελυθότα ἐθάρσησεν. καὶ παραπλεύσας δυοῖν νεοῖν Ἀστύοχος ἐς Χίον κομίζει αὐτόθεν τὰς ναῦς καὶ ξυμπάσαις ἤδη ἐπίπλουν ποιεῖται ἐπὶ τὴν Σάμον· καὶ ὡς αὐτῷ διὰ τὸ ἀλλήλοις ὑπόπτως ἔχειν οὐκ ἀνιανήγοντο, ἀπέπλευσε πάλιν ἐς τὴν Μίλητον. ὑπὸ γὰρ τοῦτον τὸν χρόνον καὶ ἔτι πρό- 2
τερον ἢ ἐν ταῖς Ἀθήναις δημοκρατία κατελύετο. ἐπειδὴ γὰρ οἱ περὶ τὸν Πείσανδρον πρέσβεις παρὰ τοῦ Τισσαφέρνους ἐς

---

§ 2. ἁρπαγὴν ποιησάμενος. Herodi. 1, 10, 2: τὰ δὲ λοιπὰ ἁρπαγὴν ποιησάμενος. (Bl.) vgl. zu 8, 41, 2. — τότε für ποτέ die meisten und besten Hsn., bezogen auf 1, 89, 2. (Kr.) zu 1, 101, 2.

C. 63. § 1. ἀπελελυθότα. Gr. 58, 2 A. 2. — ἐθάρσησεν. Gr. 58, 4; über den Ao. Gr. 53, 5 A. 1.

§ 2. ὑπὸ γάρ. τὸ αἴτιον τῆς ὑποψίας. (Sch.) — ταῖς Ἀθήναις. τοῖς Ἀθηναίοις Kr. Denn aus dem Zusammenhange geht hervor daß Thuk. das erwähnte Mißtrauen von Umtrieben unter den auf Samos befindlichen Athenern herleite, nicht von Vorgängen die geraume Zeit vorher in Athen selbst erfolgt waren. Wenn H. Pp. das Letztere behauptet, so muß er annehmen Thucydidem in proximis, ne turbarum imperii formae causa motarum seriem interrumperet, aliquantum redire. Aber wenn diese Worte sich auf Vorgänge zu Athen beziehen, welche Beziehung hat dann das γάρ nach ἐπειδή? Wenn man nicht annehmen will daß Thuk. nicht bloß im Nächstfolgenden etwas nachhole, sondern daß Alles was er etwa bis C. 74 erzählt vor dem erwähnten Versuche des Astyochos die Athener zu einer Schlacht zu veranlassen erfolgt sei, so sehe ich nicht die entfernteste Möglichkeit wie Hn. Pps. Ansicht sich behaupten ließe; eben so wenig als ich κατελέλυτο, zumal in Verbindung mit ἔτι πρότερον, hier denkbar finde. Was aber will H. Gö., wenn er mir einwendet: „Wie hätten die Athener auf Samos ohne Kunde von der zu Athen erfolgten Umwälzung sein können, da Peisandros, der Urheber der in der Stadt eingeleiteten Umwälzung, sich auf Samos befand?" Wird denn etwa Peisandros das Heer damit bekannt haben? Er hatte doch wohl gute Gründe über seine Umtriebe zu schweigen. — κατελύετο. κατελέλυτο viele u. mit die besten Hsn. — προ-

τὴν Σάμον ἦλθον, τά τ' ἐν αὐτῷ τῷ στρατεύματι ἔτι βεβαιότερον κατέλαβον, καὶ αὐτῶν τῶν Σαμίων προτρέψαντων τοὺς δυνατοὺς ὥστε πειρᾶσθαι μετὰ σφῶν ὀλιγαρχηθῆναι, καίπερ
3 ἐπαναστάντες αὐτοὶ ἀλλήλοις, ἵνα μὴ ὀλιγαρχῶνται, καὶ ἐν σφίσιν αὐτοῖς ἅμα οἱ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων κοινολογούμενοι ἐσκέψαντο Ἀλκιβιάδην μέν, ἐπειδή περ οὐ βούλεται ἐᾶν — καὶ γὰρ οὐκ ἐπιτήδειον αὐτὸν εἶναι ἐς ὀλιγαρ-

---

τρεψάντων. προὐτρέψαντο Hk. u. eine gute Hs. Allein ich sehe nicht ein was bei dieser La. αὐτῶν bedeuten soll, was bei προτρεψάντων völlig klar ist, wenn man die Stelle nur ein wenig anders erklärt. Ich suche nämlich den Gegensatz zu dem τέ in τά τε ἐν αὐτῷ τῷ στρατεύματι erst in dem καί zu ἐν σφίσιν αὐτοῖς und erkläre καὶ αὐτῶν durch sogar selbst. Die ganze Stelle fasse ich mithin so: nicht nur im Lager selbst versicherten sie sich der Verhältnisse noch mehr, da sogar die Samier selbst die Oligarchen der Athener anregten daß sie versuchen möchten mit ihnen eine oligarchische Verfassung anzunehmen, obgleich sie (die Samier) früher einen Aufstand gemacht hatten, um keine oligarchische Verfassung zu haben; sondern auch unter einander beschlossen diejenigen Athener welche sich (zu diesen Neuerungen) vereinigt hatten mit Aufgebung des Alkibiades dahin zu wirken daß sie — der Verhältnisse Meister blieben. Bei dieser Erklärung hat der Satz mit καίπερ eine sehr klare Beziehung, was bei der La. προὐτρέψαντο nicht so der Fall sein würde. Noch weniger kann ich den Ac. ἐπαναστάντας αὐτούς mit dieser La. vereinbaren. Denn wie die Worte da stehen, dächte ich, müßte sie doch Jeder der sie liefet in der Bedeutung: obgleich sie selbst gegen einander aufgestanden waren, auf τοὺς δυνατούς beziehen: sie selbst, nämlich die Oligarchen. Da dies aber sinnwidrig ist, so läßt H. Pp. das τοὺς δυνατούς den Ac. des Part. nur veranlassen und denkt bei αὐτούς sie, dieselben, τοὺς Σαμίους. Allein diese Weise ist so hart, hat in den dafür nachgewiesenen Stellen so wenig etwas Analoges, daß es sehr gewagt wäre sie als zulässig anzuerkennen. Nun aber gibt es noch eine andere La.: ἐπαναστάντες αὐτοί, die so gut begründet ist, so viel Empfehlendes hat daß auch H. Pp. sonst sie billigte und nur jetzt sie der La. προὐτρέψαντο zu Liebe verworfen hat. Ich hielt sie früher und halte sie auch jetzt für richtig, da sie durch mehrere der von mir nachgewiesenen Stellen sprachlich hinreichend gerechtfertigt wird. Denn daß ἐπαναστάντες, dem Begriffe nach auf Σαμίων bezogen im No., der in solchen Fällen gleichsam als die rohe Form des Nomens zu fassen ist, stehen kann, beweisen Her. 1, 51, 1: τῷ χρυσέῳ περιῤῥαντηρίῳ ἐπιγέγραπται Λακεδαιμονίων, φαμένων εἶναι ἀνάθημα, οὐκ ὀρθῶς λέγοντες. Plat. Ges. 908, a: δεσμωτηρίων ὄντων ἐν τῇ πόλει τριῶν, ἑνὸς περὶ τὸν τῶν νύκτωρ συλλεγομένων ξύλλογον, σωφρονιστήριον ἐπονομαζόμενον. Ueber den No. nach dem Da. zu 3, 36, 2, nach dem Ac. die Erkl. zu Plat. Phadr. 241, d. vgl. Gr. 45, 2 A. 3.

χίαν ἐλθεῖν —, αὐτοὺς δὲ ἐπὶ σφῶν αὐτῶν, ὡς ἤδη καὶ κινδυνεύοντας, ὁρῶν ὅτῳ τρόπῳ μὴ ἀνεθήσεται τὰ πράγματα, καὶ τὰ τοῦ πολέμου ἅμα ἀντέχειν, καὶ ἐσφέρειν αὐτοὺς ἐκ τῶν ἰδίων οἴκων προθύμως χρήματα καὶ ἤν τι ἄλλο δέῃ, ὡς οὐκέτι ἄλλοις ἢ σφίσιν αὐτοῖς ταλαιπωροῦντας.

Παραχελευσάμενοι οὖν τοιαῦτα τὸν μὲν Πείσανδρον εὐ- 64
θὺς τότε καὶ τῶν πρέσβεων τοὺς ἡμίσεις ἀπέστελλον ἐπ' οἴκου πράξοντας τἀκεῖ, καὶ εἴρητο αὐτοῖς τῶν ὑπηκόων πόλεων αἷς ἂν προσίσχωσιν ὀλιγαρχίαν καθιστάναι· τοὺς δ' ἡμίσεις ἐς τἆλλα τὰ ὑπήκοα χωρία ἄλλους ἄλλῃ διέπεμπον καὶ Διοτρέφην, ὄντα περὶ Χίον, ἠρημένον δὲ ἐς τὰ ἐπὶ Θρᾴκης ἄρχειν, ἀπέστελλον ἐπὶ τὴν ἀρχήν. καὶ ἀφικόμενος ἐς τὴν Θάσον 2
τὸν δῆμον κατέλυσεν. καὶ ἀπελθόντος αὐτοῦ οἱ Θάσιοι δευτέρῳ μηνὶ μάλιστα τὴν πόλιν ἐτείχιζον, ὡς τῆς μὲν μετ' Ἀθηναίων ἀριστοκρατίας οὐδὲν ἔτι προσδεόμενοι, τὴν δ' ἀπὸ Λακεδαιμονίων ἐλευθερίαν ὁσημέραι προσδεχόμενοι· καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων παρὰ τοῖς Πελοποννησίοις, καὶ αὕτη μετὰ τῶν ἐν τῇ πόλει ἐπιτηδείων κατὰ κράτος ἔπρασσε ναῦς τε κομίσαι καὶ τὴν Θάσον ἀποστῆσαι. ξυνέβη οὖν αὐτοῖς μάλιστα ἃ ἐβούλοντο, τὴν 3
πόλιν τε ἀκινδύνως ὀρθοῦσθαι καὶ τὸν ἐναντιωσόμενον δῆμον καταλελύσθαι. περὶ μὲν οὖν τὴν Θάσον τἀναντία τοῖς τὴν ὀλιγαρχίαν καθιστᾶσι τῶν Ἀθηναίων ἐγένετο, δοκεῖν δέ μοι καὶ ἐν ἄλλοις πολλοῖς τῶν ὑπηκόων· σωφροσύνην γὰρ

C. 64. § 1. εἴρητο, προσετέταχτο. (Sch.) — τἆλλα. τ' ἄλλα Bk. Ueber den Artikel Gr. 50, 9 A. 1. — ἠρημένον ἄρχειν. zu 6, 8, 3.

§ 2. ὁσημέραι für ὅσαι ἡμέραι einige gute Hſn. — καὶ γὰρ καί. Gr. 69, 32 A. 21. vgl. 4, 108, 3. — φυγή, φυγάδες. (Sch.) wie Iſokr. 8, 123. (Arn.) vgl Schneider zu Xen. Hell. 5, 2, 9 u. Bergmann zu Iſokr. Areop. p. 172. (Bp.) — ὑπό bei φυγή wie bei φεύγειν. vgl. zu 1, 130, 1. — ναῦς, τῶν Λακεδαιμονίων. (Sch.) — κομίσαι, nach Thaſos; über den Inf. Gr. 55, 3 A. 11. Eine nach πράσσειν bei Thuk. ſonſt nicht vorkommende Conſtruction; mit ὥστε noch 5, 78.

§ 3. μάλιστα gehört zu ἐβούλοντο. (Bs.) — τἀναντία das Gegentheil von dem was ſie erwarteten. (St.) — τῶν Ἀθηναίων hängt von τοῖς καθιστᾶσι ab. (Bs.) — δοκεῖν für δοκεῖ eine gute Hſ. vgl. 7, 87, 5. — σωφροσύνην λαβοῦσαι, εὐβουλότεραι γενό-

λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τὴν ἀπὸ τῶν Ἀθηναίων ὕπουλον αὐτονομίαν οὐ προτιμήσαντες.

65 Οἱ δ' ἀμφὶ τὸν Πείσανδρον παραπλέοντές τε, ὥσπερ ἐδέδοκτο, τοὺς δήμους ἐν ταῖς πόλεσι κατέλυον καὶ ἅμα ἔστιν ἀφ' ὧν χωρίων καὶ ὁπλίτας ἔχοντες σφίσιν αὐτοῖς ξυμμάχους ἦλθον ἐς τὰς Ἀθήνας. καὶ καταλαμβάνουσι τὰ
2 πλεῖστα τοῖς ἑταίροις προειργασμένα. καὶ γὰρ Ἀνδροκλέα τέ τινα, τοῦ δήμου μάλιστα προεστῶτα, ξυστάντες τινὲς τῶν νεωτέρων κρύφα ἀποκτείνουσιν, ὅσπερ καὶ τὸν Ἀλκιβιάδην οὐχ ἥκιστα ἐξήλασεν, καὶ αὐτὸν κατ' ἀμφότερα, τῆς τε δημαγωγίας ἕνεκα καὶ οἰόμενοι τῷ Ἀλκιβιάδῃ ὡς κατιόντι καὶ τὸν Τισσαφέρνην φίλον ποιήσοντι χαριεῖσθαι, μᾶλλόν τι διέφθειραν· καὶ ἄλλους τινὰς ἀνεπιτηδείους τῷ αὐτῷ τρόπῳ
3 κρύφα ἀνάλωσαν. λόγος τε ἐκ τοῦ φανεροῦ προσείργαστο αὐτοῖς ὡς οὔτε μισθοφορητέον εἴη ἄλλους ἢ τοὺς στρατευομένους, οὔτε μεθεκτέον τῶν πραγμάτων πλείοσιν ἢ πενταχισχιλίοις, καὶ τούτοις οἳ ἂν μάλιστα τοῖς τε χρήμασι καὶ
66 τοῖς σώμασιν ὠφελεῖν οἷοί τε ὦσιν. ἦν δὲ τοῦτο εὐπρεπὲς πρὸς τοὺς πλείους, ἐπεὶ ἔξειν γε τὴν πόλιν οἵπερ καὶ μεθι-

---

μεναι. (Sch.) Der σωφροσύνη rühmte ſich beſonders die Ariſtokratie; ſ. 3, 82, 8. (Arn.) vgl. 8, 53, 4. (Pp.) — ἀπό für ὑπό eine gute Hſ. vgl. § 2. (Pp.) — αὐτονομίαν für εὐνομίαν viele und die beſten Hſn. — ἄντικρυς. zu 1, 122, 3. — οὐ προτιμήσαντες, οὐ προτιμοτέραν σχόντες, οὐδὲν φροντίζοντες. (Sch.)

C. 65. § 1. ὥσπερ ἐδέδοκτο 64, 1 — τοὺς δήμους die Demokratien. Eben ſo der Plu. 3, 82, 1. — σφίσιν αὐτοῖς. zu 7, 48, 4.

§ 2. Ἀνδροκλέα τε. Es entſpricht καὶ ἄλλους τινάς. — τῆς τε δ. ἕνεκα καὶ οἰόμενοι. Gr. 59, 2 A. 3. — ἀνεπιτηδείους, τῇ ὀλιγαρχίᾳ δηλονότι. (Sch.)

§ 3. ἄλλους. Gr. 56, 18 A. 3. Der Zweck war die Armen durch Entziehung der Beſoldungen von Aemtern und Gerichten zu entfernen. (Kr.) — τῶν πραγμάτων an der Verwaltung. (A. Ps.) vgl. Kr. z. Dion. p. 254 u. 269.

C. 66. § 1. εὐπρεπές, πιθανόν. (Sch.) zu 1, 37, 3. — ἔπειτα — ἔμελλον denn verwalten wollten den Staat die welche ihn umwälzen wollten, keineswegs geſonnen einer Anzahl von 5000 Bürgern an der Verwaltung Antheil zu gewähren. — πόλιν, πολιτείαν 74, 3. (Kr.) — μεθιστάναι, μεθίστασαν eine gute Hſ. —

στάναι ἔμελλον. δῆμος μέντοι ὅμως ἔτι καὶ βουλὴ ἡ ἀπὸ τοῦ κυάμου ξυνελέγετο· ἐβούλευον δὲ οὐδὲν ὅ τι μὴ τοῖς ξυνεστῶσι δοκοίη, ἀλλὰ καὶ οἱ λέγοντες ἐκ τούτων ἦσαν καὶ τὰ ῥηθησόμενα πρότερον αὐτοῖς προὔσκεπτο. ἀντέλεγέ τε 2
οὐδεὶς ἔτι τῶν ἄλλων, δεδιὼς καὶ ὁρῶν πολὺ τὸ ξυνεστηκός· εἰ δέ τις καὶ ἀντείποι, εὐθὺς ἐκ τρόπου τινὸς ἐπιτηδείου τεθνήκει καὶ τῶν δρασάντων θὔτε ζήτησις οὔτ' εἰ ὑποπτεύοιντο, δικαίωσις ἐγίγνειο, ἀλλ' ἡσυχίαν εἶχεν ὁ δῆμος καὶ κατάπληξιν τοιαύτην ὥστε κέρδος ὁ μὴ πάσχων τι βίαιον, εἰ καὶ σιγῴη, ἐνόμιζεν. καὶ τὸ ξυνεστηκὸς πολὺ πλέον ἡγού- 3
μενοι εἶναι ἢ ὅσον ἐτύγχανεν ὂν ἡσσῶντο ταῖς γνώμαις, καὶ ἐξευρεῖν αὐτὸ [ἀδύνατοι ὄντες] διὰ τὸ μέγεθος τῆς πόλεως καὶ διὰ τὴν ἀλλήλων ἀγνωσίαν οὐκ εἶχον. κατὰ δὲ ταὐτὸ τοῦτο καὶ προσολοφύρασθαί τινι ἀγαναχτήσαντα, ὥστε ἀμύνασθαι ἐπιβουλεύσαντα, ἀδύνατον ἦν· ἢ γὰρ ἀγνῶτα ἂν εὗρεν ᾧ ἐρεῖ ἢ γνώριμον ἄπιστον. ἀλλήλοις γὰρ ἅπαντες ὑπόπτως 4
προσῄεσαν οἱ τοῦ δήμου, ὡς μετέχοντά τινα τῶν γιγνομένων.

ἔμελλον ist zwei Mal zu denken. — ἀπὸ κυάμου durch das Bohnenloos erwählt. vgl. 8, 69, 3 u. Xen. Mem. 1, 2, 9: μωρῶν ἐστὶ τοὺς μὲν τῆς πόλεως ἄρχοντας ἀπὸ κυάμου καθίστασθαι, κυβερνήτῃ δὲ μηδένα θέλειν κεχρῆσθαι κυαμευτῷ. (Ba.) Der Singular ist material. Gr. 44, 1 A. 1. — ἐβούλευον. ἐβουλεύοντο die besten Hss. — ξυνεστῶσι, συνωμόταις. (Sch.) vgl. § 2. 3. u. zu 5, 82, 1. — οἱ λέγοντες, οἱ δημηγοροῦντες. (Sch.) — προὔσκεπτο für προὐσκέπτετο Ba. u. entschiedener Elmsley zu Eur. Her. 148. προ — πρὶν ἐλθεῖν ἐς τὴν συλλογήν. (Sch.)

§ 2. δεδιώς, ἕκαστος aus οὐδείς. vgl. 4, 10, 1 und über das nächste καί zu 1, 1, 1. — ἐπιτηδείου geschickt. (Hl.) — δικαίωσις ἀντὶ τοῦ κόλασις ἢ εἰς δίκην ἀπαγωγὴ ἤτοι κρίσις. (Sch.) Bei den Attikern ist diese Bedeutung sonst ziemlich verschollen; doch führt Harpokr. aus Lysias δικαίωσις für δικαιολογία an; und öfter gebraucht Her. δικαιοῦσθαι für bestrafen.

§ 3. ὄν für ὃ ἦν A. Ps., von einer Hs. bestätigt. — ἡσσῶντο, τεταπείνωτο. (Sch.) — αὐτό. αὐτοί die besten Hsn. — ἀδύνατοι ὄντες würde man gern entbehren. (Pp.) — τὴν ἀλλήλων ἀγνωσίαν. Gr. 47, 25 A. 1. — ἐπιβουλεύσαντα kann Subject oder auch Object sein. (Hl.) Wegen des Artikels Kr. zu Xen. An. 2, 3, 23. Doch ist es wohl ersteres: durch genommene Gegenmaßregeln sich vertheidigen.

§ 4. ἂν εὗρεν. Gr. 54, 3 A. 10. — ᾧ ἐρεῖ. Gr. 53, 7 A. 8. — ἀλλήλοις. ἀλλ' ἀλλήλοις? Der Begriff ist nicht so betont daß er an der ersten Stelle stehen könnte. Gr. 51, 3 zweite Ausg. — οἱ τοῦ δήμου, wie 5, 4, 3. — ὡς μετέχοντά τινα. Gr. 56, 9 A. 10.

ἐνῆσαν γὰρ καὶ οὓς οὐκ ἄν ποτέ τις ᾠήθη ἐς ὀλιγαρχίαν τραπέσθαι· καὶ τὸ ἄπιστον οὗτοι μέγιστον πρὸς τοὺς πολλοὺς ἐποίησαν καὶ πλεῖστα ἐς τὴν τῶν ὀλίγων ἀσφάλειαν ὠφέλησαν, βέβαιον τὴν ἀπιστίαν τῷ δήμῳ πρὸς ἑαυτὸν καταστήσαντες.

67 Ἐν τούτῳ οὖν τῷ καιρῷ οἱ περὶ τὸν Πείσανδρον ἐλθόντες εὐθὺς τῶν λοιπῶν εἴχοντο. καὶ πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας, τούτους δὲ ξυγγράψαντας γνώμην

2 ἐσενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν καθ' ὅ τι ἄριστα ἡ πόλις οἰκήσεται· ἔπειτα ἐπειδὴ ἡ ἡμέρα ἐφῆκεν, ξυνέκλησαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνόν — ἔστι δὲ ἱερὸν Ποσειδῶνος ἔξω πόλεως, ἀπέχον σταδίους μάλιστα δέκα — καὶ ἐσήνεγκαν οἱ ξυγγραφῆς ἄλλο μὲν οὐδέν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων ἀνειπεῖν γνώμην ἣν ἄν τις βούληται· ἢν δὲ

3 τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. ἐνταῦθα δὴ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ

— πλεῖστα ὠφέλησαν. Gr. 46, 5 A. 5. vgl. 6, 14. 7, 68, 3. 8, 68, 2. 96, 4, πλείω 2, 60, 2, μέγιστα 5, 9, 3. — βέβαιον unzweifelhaft. (Ps.) Diese Zeile ist fast nur Wiederholung des schon Ausgesprochenen; eine Spur an Mangel der letzten Durchsicht. (Arn.)

C. 67. § 1. δέκα. λ' d. h. τριάκοντα C. F. Hermann. vgl. Wattenbach de quadring. Ath. fact. p. 38. — ξυγγραφέας. Eine Behörde welche die neue Verfassung entwerfen (συγγράφειν) sollte. Kr. p. 375. — ἐς ἡ. vgl. 93, 3 u. Her. 1, 77: παρεῖναι ἐς χρόνον ῥητόν. — οἰκήσεται verwaltet werden könnte. Gr. 53, 7 A. 8.

§ 2. ἔπειτα ἐπειδή. Eine nicht gemiedene Verbindung. Kr. z. Dion. p. 376 u. Lobeck zu Soph. Aj. 61. — ἡ fehlt in den besten Hss. fälschlich, da ἡ ῥητὴ ἡμέρα bezeichnet wird. (Ps.) — ἐφῆκε, παρῆν. (Sch.) zu 3, 72. — ξυνέκλησαν für ξυνέλεξαν die besten Hss., wohl mit Bezug auf die Beschränktheit des Raumes, bei der nicht alle Platz fanden. — πόλεως. Gr 50, 2 A. 15. — δέκα. δ' (τέσσαρας) Meursius; doch s. Seidler und Reisig z. Soph. Oed. K. 15. (Ps.) — ἐσήνεγκαν. zu 5, 38, 5. — ἄλλο μέν. zu 1, 139, 3. — τῶν Ἀθηναίων hängt von τις ab. (Ba.) Von einem zu ergänzenden τινί meint Fritzsche Quaestt. Luc. p. 201. — ἀνειπεῖν. ἀναιρέπειν mehrere und gute Hss. Beides scheint mir falsch. — παρανόμων. Aesch. 3, 191: τηνικαῦτα ὁ δῆμος κατελύθη ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. (Kr.) vgl. Dem. 24, 154.

§ 3. ἐκ τοῦ αὐτοῦ κόσμου, ἦγον ἐκ τῆς παλαιᾶς καὶ δημο-

κόσμου μήτε μισθοφορεῖν, προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους δ' ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτὸν τρεῖς· ἐλθόντας δὲ αὐτούς, τετρακοσίους ὄντας, ἐς τὸ βουλευτήριον ἄρχειν ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν αὐτοκράτορας, καὶ τοὺς πεντακισχιλίους δὲ ξυλλέγειν ὁπόταν αἰτοῖς δοκῇ. ἦν δὲ ὁ μὲν τὴν γνώμην ταύτην εἰπὼν Πει- 68
σανδρος, καὶ τἆλλα ἐκ τοῦ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον· ὁ μέντοι ἅπαν τὸ πρᾶγμα ξυνθεὶς ὅτῳ τρόπῳ κατέστη ἐς τοῦτο καὶ ἐκ πλείστου ἐπιμεληθεὶς Ἀντι- 2
φῶν ἦν, ἀνὴρ Ἀθηναίων τῶν καθ' ἑαυτὸν ἀρετῇ τε οὐδενὸς ὕστερος καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος καὶ ἃ ἂν γνοίη εἰπεῖν, καὶ ἐς μὲν δῆμον οὐ παριὼν οὐδ' ἐς ἄλλον ἀγῶνα ἑκούσιος οὐδένα, ἀλλ' ὑπόπτως τῷ πλήθει διὰ δόξαν δεινότητος διακείμενος, τοὺς μέντοι ἀγωνιζομένους καὶ ἐν δικαστηρίῳ καὶ ἐν δήμῳ πλεῖστα εἷς ἀνὴρ ὅστις ξυμβουλεύσαιτό τι δυνάμενος ὠφελεῖν. καὶ αὐτὸς δέ, ἐπειδὴ τὰ τῶν τετρα- 3
κοσίων ἐν ὑστέρῳ μεταπεσόντα ὑπὸ τοῦ δήμου ἐκακοῦτο, ἄρισια φαίνεται τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων, αἰτιαθεὶς ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησάμενος. παρέσχε δὲ καὶ ὁ Φρύνιχος ἑαυτὸν πάντων διαφερόντως προθυμότατον ἐς τὴν ὀλιγαρχίαν, δεδιὼς τὸν Ἀλκιβιάδην καὶ

τικῆς καταστάσεως. (Sch.) — μισθοφορεῖν 8, 65, 3. (Ds.) — ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν. zu 1, 126, 5.

C. 68. § 1. ὅτῳ τρόπῳ κατέστη ἐς τοῦτο auf die Weise auf welche es bis dahin gedieh. (Ps.) zu der C. 67 erwähnten Umwälzung. vgl. 68, 4. (Pp.)

§ 2. τὸ πρᾶγμα — τοῦτο die Maßregeln entwarf wodurch es so weit gedieh. (Hl.) — ἐνθυμηθῆναι. zu 2, 60, 4. — ἀνὴρ Ἀθηναίων. zu 7, 43, 3. — ἄν, was in mehrern Hss. fehlt, verdächtigt Pp. vgl. Gr. 54, 15 A. 2. — ἑκούσιος. ἑκουσίως gute Hss. — ὑπόπτως τῷ πλήθει διακείμενος. zu 1, 75, 1. — δεινότητος. zu 3, 37, 5. — πλεῖστα εἷς ἀνήρ. Gr. 49, 10 A. 5. — ὅστις pluralisch auf τοὺς ἀγωνιζομένους bezogen. Gr. 58, 4 A. 5.

§ 3. αὐτὸς δέ für αὐτός τε Hk. — ἐπειδὴ τὰ τῶν. ἐπειδὴ μετέστη ἡ δημοκρατία καὶ ἐς ἀγῶνας κατέστη μετὰ τῶν die besten Hss. Wohl von Th. herrühren dürfte καὶ ἐς ἀγῶνας κατέστη, aber nach ἐκακοῦτο gestellt. (Kr.) — ὑπὲρ αὐτῶν τούτων ist mit ἀπολογησάμενος zu verbinden. (Kr.) — ὡς ξυγκατέστησε, ταῦτα, τὰ τῶν τετρακοσίων. (Kr.) — πάντων διαφερόντως προθυμότατον auf eine vor allen ausgezeichnete Weise sehr eifrig. — καὶ

ἐπιστάμενος εἰδότα αὐτὸν ὅσα ἐν τῇ Σάμῳ πρὸς τὸν Ἀστύοχον ἔπραξεν, νομίζων οὐκ ἄν ποτε αὐτὸν κατὰ τὸ εἰκὸς ὑπ' ὀλιγαρχίας κατελθεῖν· πολύ τε πρὸς τὰ δεινά, ἐπειδή-
4 περ ὑπέστη, φερεγγυώτατος ἐφάνη. καὶ Θηραμένης ὁ τοῦ Ἄγνωνος ἐν τοῖς ξυγκαταλύουσι τὸν δῆμον πρῶτος ἦν, ἀνὴρ οὔτ' εἰπεῖν οὔτε γνῶναι ἀδύνατος. ὥστε ἀπ' ἀνδρῶν πολλῶν καὶ ξυνετῶν πραχθὲν τὸ ἔργον οὐκ ἀπεικότως, καίπερ μέγα ὄν, προὐχώρησεν· χαλεπὸν γὰρ ἦν τὸν Ἀθηναίων δῆμον [ἐπ'] ἔτει ἑκατοστῷ μάλισια ἐπειδὴ οἱ τύραννοι κατελύθησαν ἐλευθερίας παῦσαι, καὶ οὐ μόνον μὴ ὑπήκοον ὄντα, ἀλλὰ καὶ ὑπὲρ ἥμισυ τοῦ χρόνου τούτου αὐτὸν ἄλλων ἄρχειν εἰωθότα.

69 Ἐπειδὴ δὲ ἡ ἐκκλησία οὐδενὸς ἀντειπόντος ἀλλὰ κυρώσασα ταῦτα διελύθη, τοὺς τετρακοσίους ἤδη ὕστερον τρόπῳ τοιῷδε ἐς τὸ βουλευτήριον ἐσήγαγον. ἦσαν [δ'] Ἀθηναῖοι πάντες ἀεὶ οἱ μὲν ἐπὶ τειχει οἱ δ' ἐν τάξει τῶν ἐν Δεκελείᾳ
2 πολεμίων ἕνεκα ἐφ' ὅπλοις. τῇ οὖν ἡμέρᾳ ἐκείνῃ τοὺς μὲν μὴ ξυνειδότας εἴασαν, ὥσπερ εἰώθεσαν, ἀπελθεῖν, τοῖς δ' ἐν τῇ ξυνωμοσίᾳ εἴρητο ἡσυχῇ μὴ ἐπ' αὐτοῖς τοῖς ὅπλοις ἀλλ' ἄποθεν περιμένειν καὶ ἤν τις ἐνιστῆται τοῖς ποιουμέ-

---

ἐπιστάμενος. Ueber καί zu 1, 1, 1. — ἔπραξε, Φρύνιχος. 8, 50, 1. (Arn.) — ὑπ' ὀλιγαρχίας κατελθεῖν, so v. a. ὑπ' ὀλιγαρχίας καταχθῆναι. (Abr.) Gr. 52, 3 A. 1. ἐπί bietet keine Hs. — πολύ gehört zum Comparativ. Gr. 49, 7 A. 7. — ὑπέστη, ὑπέσχετο. (Sch.) Vielmehr: sich unterzogen hatte, suscepit Ps. — φερεγγυώτατος von zuverlässiger Hingebung. zu 3, 46, 1.

§ 4. ἐπ' ἔτει für ἔτει viele und mit die besten Hsn. — ἐπειδή. zu 1, 6, 4. — ἐλευθερίαν erkannte man nur in der Demokratie. Kr. z. Dion. p. 374, 56. — καί vor οὐ und zwar ist mir verdächtig. — οὐ μόνον bildet eine feste Formel; μή ist des Inf. wegen gesetzt. Doch findet sich beim Particip μὴ μόνον 1, 82, 2. 3, 59, 1. (Pp.) vgl. 6, 38, 3.

C. 69. § 1. ἀλλά verbindet verschiedene Casus von Participien. Gr. 56, 14 A. 2. — ἦσαν δ'. Das δέ wünscht man getilgt. Recht. vgl. 3, 20, 2. 52, 1. 8, 104, 1. (Pp.) 1, 89, 1. 2, 34, 1. 3, 104, 1. — Ἀθηναῖοι für Ἀθηναίων die besten Hsn. Doch Σαμίων πάντες 8, 75, 3. (Pp.) — ἐπὶ τείχει ohne Artikel. 4, 133, 1: Θεσπιέων τεῖχος περιεῖλον. Ar. Thesm. 495: ἀπὸ τείχους εἰσιών. vgl. dort Fritzsche. (Hertlein Ms.) Gr. 50, 2 A. 15. — τάξει, παρατάξει. (Sch.) — ἐφ' ὅπλοις. zu 7, 28, 2. (Pp.)

§ 2. ἡσυχῇ, κρύφα. (Sch.) unbemerkbar. — ἐνιστῆται

νοις, λαβόντας τὰ ὅπλα μὴ ἐπιτρέπειν. ἦσαν δὲ καὶ Ἄνδριοι καὶ Τήνιοι καὶ Καρυστίων τριακόσιοι καὶ Αἰγινητῶν τῶν ἐποίκων, οὓς Ἀθηναῖοι ἔπεμψαν οἰκήσοντας, ἐπ' αὐτὸ τοῦτο ἥκοντες ἐν τοῖς ἑαυτῶν ὅπλοις, οἷς ταῦτα προείρητο. τούτων 3
δὲ διατεταγμένων οὕτως ἐλθόντες οἱ τετρακόσιοι, μετὰ ξιφιδίου ἀφανοῦς ἕκαστος, καὶ οἱ εἴκοσι καὶ ἑκατὸν μετ' αὐτῶν Ἕλληνες νεανίσκοι, οἷς ἐχρῶντο εἴ τι που δέοι χειρουργεῖν, ἐπέστησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς, οὖσιν ἐν τῷ βουλευτηρίῳ, καὶ εἶπον αὐτοῖς ἐξιέναι λαβοῦσι τὸν μισθόν· ἔφερον δὲ αὐτοῖς τοῦ ὑπολοίπου χρόνου παντὸς αὐτοὶ καὶ ἐξιοῦσιν ἐδίδοσαν.

Ὡς δὲ τούτῳ τῷ τρόπῳ ἥ τε βουλὴ οὐδὲν ἀντειποῦσα 70
ὑπεξῆλθε καὶ οἱ ἄλλοι πολῖται οὐδὲν ἐνεωτέριζον ἀλλ' ἡσύχαζον, οἱ [δὲ] τετρακόσιοι ἐσελθόντες ἐς τὸ βουλευτήριον τότε μὲν πρυτάνεις τε σφῶν αὐτῶν ἀπεκλήρωσαν, καὶ ὅσα πρὸς τοὺς θεούς, εὐχαῖς καὶ θυσίαις καθιστάμενοι ἐς τὴν ἀρχὴν ἐχρήσαντο, ὕστερον δὲ πολὺ μεταλλάξαντες τῆς τοῦ δήμου διοικήσεως, πλὴν τοὺς φεύγοντας οὐ κατῆγον τοῦ Ἀλκιβιάδου ἕνεκα, τὰ δὲ ἄλλα ἔνεμον κατὰ κράτος τὴν πό-

---

eintrete, um es zu hindern. — *τῶν ἐποίκων*, *πνές.* Gr. 47, 15 A. 5. — *οὓς Ἀ. ἔ. οἰκήσοντας* würde ich gern entbehren. — *ἑαυτῶν*, im Gegensatze zu denen der Athener.

§ 3. *Ἕλληνες* fehlt in mehrern Hss., vielleicht gesetzt, damit man nicht an die skythischen Bogenschützen, eine Art Gensdarmerie, denke. (Wasse.) — *χειρουργεῖν*, *διαχειρίσασθαί τινα καὶ ἀναιρεῖν.* (Sch.) — *κυάμου.* zu 8, 66, 1. — *τοῦ ὑπολοίπου* für die verflossene Zeit. (Ps.) Für den Rest des Jahres meint Böckh Staatsh. d. Ath. 1 p. 250. Aber wozu die unnöthige Ausgabe? Also für die übrige Zeit, wofür sie den Betrag noch nicht erhalten, den rückständigen Sold. Kr. zu Dion. p. 377. Der Ge. hängt von *μισθόν* ab. Gr. 47, 8 A. 1.

C. 70. § 1. *οἱ δέ.* *δέ* von Hk. verdächtigt fehlt in einer Hs. vgl. jedoch zu 1, 11, 1. — *σφῶν. ἐκ σφῶν.* (Sch.) Gr. 47, 9. — *ἀπεκλήρωσαν, ἦγουν διὰ κλήρου ἀποκατέστησαν.* (Sch.) — *ὅσα πρὸς τοὺς θεούς, ἦν* erforderlich war. Her. 1, 215: *ὅσα μὲν ἐς αἰχμάς, χαλκῷ χρέωνται.* (Arn.) Gr. 62, 1 A. 4. — *τὰ δέ.* Das *δέ* steht mit Bezug auf das parenthetische *πλὴν — ἕνεκα.* vgl. 7, 33, 2. (Arn.) — *ἔνεμον* verwalteten, Thuk. in diesem Sinne nur hier, öfter Her. u. Soph. Aesch. Hik. 655: *ὡς πόλις εὖ νέμοιτο.* Der gew. att. Prosa ist dieser Gebrauch wohl fremd. — *κατὰ κράτος* gebieterisch.

2 λιν. καὶ ἄνδρας τέ τινας ἀπέκτειναν οὐ πολλούς, οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι, καὶ ἄλλους ἔδησαν, τοὺς δὲ καὶ μετεστήσαντο· πρός τε Ἄγιν τὸν Λακεδαιμονίων βασιλέα ὄντα ἐν τῇ Δεκελείᾳ ἐπεκηρυκεύοντο, λέγοντες διαλλαγῆναι βούλεσθαι καὶ εἰκὸς εἶναι αὐτὸν σφίσι καὶ οὐκέτι τῷ ἀπίσιῳ
71 δήμῳ μᾶλλον ξυγχωρεῖν. ὁ δὲ νομίζων τὴν πόλιν οὐχ ἡσυχάζειν, οὐδ' εὐθὺς οὕτω τὸν δῆμον τὴν παλαιὰν ἐλευθερίαν παραδώσειν, εἴ τε στρατιὰν πολλὴν ἴδοι σφῶν, οὐκ ἂν ἡσυχάσειν, οὐδ' ἐν τῷ παρόντι πάνυ τι πιστεύων μὴ οὐκέτι ταράσσεσθαι αὐτούς, τοῖς μὲν ἀπὸ τῶν τετρακοσίων ἐλθοῦσιν
2 οὐδὲν ξυμβατικὸν ἀπεκρίνατο, προσμεταπεμψάμενος δὲ ἐκ Πελοποννήσου στρατιὰν πολλὴν οὐ πολλῷ ὕσιερον καὶ αὐτὸς τῇ ἐκ τῆς Δεκελείας φρουρᾷ μετὰ τῶν ἐλθόντων κατέβη πρὸς αὐτὰ τὰ τείχη τῶν Ἀθηναίων, ἐλπίσας ἢ ταραχθέντας αὐτοὺς μᾶλλον ἂν χειρωθῆναι σφίσιν ἢ βούλονται, ἢ καὶ αὐτοβοεὶ ἂν διὰ τὸν ἔνδοθέν τε καὶ ἔξωθεν κατὰ τὸ εἰκὸς γενησόμενον θόρυβον· τῶν γὰρ μακρῶν τειχῶν διὰ τὴν
3 κατ' αὐτὰ ἐρημίαν λήψεως οὐκ ἂν ἁμαρτεῖν. ὡς δὲ προσέμιξέ τε ἐγγὺς καὶ οἱ Ἀθηναῖοι τὰ μὲν ἔνδοθεν οὐδ' ὁπωστιοῦν ἐκίνησαν, τοὺς δ' ἱππέας ἐκπέμψαντες καὶ μέρος τι τῶν ὁπλιτῶν καὶ ψιλῶν καὶ τοξοτῶν ἄνδρας τε κατέβαλον

---

§ 2, τινὰς οὐ πολλούς. Gr. 51, 16 A. 4. — ἐπιτήδειοι geeignet, verdienend. Kr. zu Xen. An. 2, 3, 11. — ὑπεξαιρεθῆναι aus dem Wege geräumt zu werden. (Ps.) — μετέστησαν entfernten sie, nicht eben alle durch Verbannung; μετεστήσαντο viele u. auch gute Hsn.; allein Thuk. hat so nur das Activ 4, 57, 4. 8, 72, 2. — αὐτόν. viele und auch gute Hsn. αὐτοῖς, sprachwidrig. Gr. 51, 2 A. 8.

C. 71. § 1. τὴν πόλιν οὐκ ἂν ἡσυχάζειν getilgt und das nächste οὐδέ in οὔτε verwandelt würde der Stelle helfen. (Kr.) — σφῶν, τῶν Λακεδαιμονίων. (A. Ps.) vgl. Gr. 51, 2 A. 3. — ἐν τῷ παρόντι gehört zu ταράσσεσθαι. (Hl.) — μή. zu 1, 10, 1. — ταράσσεσθαι Gö., ταράττεσθαι die Hsn. — ξυμβατικόν Versöhnliches, wie 8, 91, 1. εἰρηναῖον 1, 29, 3.

§ 2. ἤ. εἰ die besten Hsn. — βούλονται, οἱ Πελοποννήσιοι. (Sch.) — ἄν, αἱρεθῆναι, ἁλῶναι aus χειρωθῆναι, wenn nicht vielmehr γοῦν für das folgende γάρ zu lesen ist. (Ba.) — τῶν γάρ. τῆς τῶν eine Hf. corr., bloß τῶν zwei. — λήψεως. τῆς λήψεως Reiske. — ἐρημίαν Unbesetztheit. (Hl.)

§ 3. τὰ ἔνδοθεν den innern Zustand. (Ba.) — ὁπωστιοῦν. Gr. 51, 15 A. 3. — ἄνδρας αὐτῶν, zu 7, 43, 3. — τε ist

αὐτῶν διὰ τὸ ἐγγὺς προσελθεῖν καὶ ὅπλων τινῶν καὶ νεκρῶν ἐκράτησαν, οὕτω δὴ γνοὺς ἀπήγαγε πάλιν τὴν στρατιάν. καὶ 4
αὐτὸς μὲν καὶ οἱ μετ' αὐτοῦ κατὰ χώραν ἐν τῇ Λεκελείᾳ ἔμενον, τοὺς δ' ἐπελθόντας ὀλίγας τινὰς ἡμέρας ἐν τῇ γῇ μείναντας ἀπέπεμψεν ἐπ' οἴκου. μετὰ δὲ τοῦτο παρά τε τὸν Ἄγιν ἐπρεσβεύοντο οἱ τετρακόσιοι οὐδὲν ἧσσον, κἀκείνου μᾶλλον ἤδη προσδεχομένου καὶ παραινοῦντος ἐκπέμπουσι καὶ ἐς τὴν Λακεδαίμονα περὶ ξυμβάσεως πρέσβεις, βουλόμενοι διαλλαγῆναι.

Πέμπουσι δὲ καὶ ἐς τὴν Σάμον δέκα ἄνδρας παραμυ- 72
θησομένους τὸ στρατόπεδον καὶ διδάξοντας ὡς οὐκ ἐπὶ βλάβῃ τῆς πόλεως καὶ τῶν πολιτῶν ἡ ὀλιγαρχία κατέσιη, ἀλλ' ἐπὶ σωτηρίᾳ τῶν ξυμπάντων πραγμάτων, πεντακισχίλιοί τε ὅτι εἶεν καὶ οὐ τετρακόσιοι μόνον οἱ πράσσοντες· καίτοι 2
οὐ πώποτε Ἀθηναίους διὰ τὰς στρατείας καὶ τὴν ὑπερόριον ἀσχολίαν ἐς οὐδὲν πρᾶγμα οὕτω μέγα ἐλθεῖν βουλεύσοντας ἐν ᾧ πεντακισχιλίους ξυνελθεῖν. ἄλλα τ' ἐπιστείλαντες τὰ πρέποντ' εἰπεῖν ἀπέπεμψαν αὐτοὺς εὐθὺς μετὰ τὴν ἑαυτῶν κατάστασιν, δείσαντες μή, ὅπερ ἐγένετο, ναυτικὸς ὄχλος οὔτ' αὐτὸς μένειν ἐν τῷ ὀλιγαρχικῷ κόσμῳ ἐθέλῃ, σφᾶς τε μὴ ἐκεῖθεν ἀρξαμένου τοῦ κακοῦ μεταστήσωσιν. ἐν γὰρ τῇ 73

---

aus einer guten Hs. zugefügt. — *κατέβαλον*, das Transitiv zu *πίπτειν*, syn. *ἀποκτείνειν* nach Hesych., bei Thuc. nur hier. Her. 9, 63: *ἀμυνόμενοι κατέβαλλον πολλοὺς τῶν Λακεδαιμονίων*. vgl. dort Wess. u. Lex. Xen. — *γνούς*. *ἀπογνούς* Haase.

§ 4. *κἀκείνου* für *καὶ ἐκείνου* eine gute Hs.

C. 72. § 2. *στρατείας*. *στρατιάς* viele, auch gute Hsn. zu 1, 3, 4. — *τὴν ὑπερόριον ἀσχολίαν* auswärtige Geschäfte theils für den Staat theils in Privatangelegenheiten. (Kr.) Zweier Endungen ist das Adj. auch Aesch. 1, 19. 2, 49; aber substantivirt *ἡ ὑπερορία* an ungefähr einem Dutzend Stellen von Attikern. — *ἐς οὐδὲν — βουλεύσοντας* sie seien zu keinem so wichtigen Geschäfte der Berathung halber gekommen. (Sch.) — *ἐν ᾧ π. ξυνελθεῖν, ὥστε ἀθρόους πεντακισχιλίους συνελθεῖν. δηλοῦται δὲ ἐντεῦθεν ὅτι οἱ τετρακόσιοι δημοκρατικωτέραν τῆς πρόσθεν ἐπηγγέλλοντο ποιήσειν τὴν πολιτείαν, πεντακισχιλίους κοινωνοὺς παραλαβόντες, ὅσοι οὐδεπώποτε πρότεροι βουλευσόμενοι συνῆλθον.* (Sch.) — *ἄλλα τε* für *καὶ τἆλλα* eine gute Hs. — *ἑαυτῶν* für *αὐτῶν* dieselbe. — *τοῦ κακοῦ*, der Kampf gegen die Oligarchie. — *ναυτικὸς ὄχλος*. Verrufen war die *ναυτικὴ ἀναρχία*. Eur. Hek. 607.

Σάμῳ ἐνεωτερίζετο ἤδη τὰ περὶ τὴν ὀλιγαρχίαν καὶ ξυνέβη τοιάδε γενέσθαι ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον ὅνπερ οἱ τετρακόσιοι ξυνίστανιο. οἱ γὰρ τότε τῶν Σαμίων ἐπαναστάντες τοῖς δυνατοῖς καὶ ὄντες δῆμος, μεταβαλλόμενοι αὖθις καὶ πεισθέντες ὑπό τε τοῦ Πεισάνδρου, ὅτ' ἦλθεν, καὶ τῶν ἐν τῇ Σάμῳ ξυνεσιώτων Ἀθηναίων, ἐγένοντό τε ἐς τριακοσίους ξυνωμόται καὶ ἔμελλον τοῖς ἄλλοις ὡς δήμῳ ὄντι ἐπιθήσεσθαι. καὶ Ὑπέρβολόν τέ τινα τῶν Ἀθηναίων, μοχθηρὸν ἄνθρωπον, ὠσιραχισμένον οὐ διὰ δυνάμεως καὶ ἀξιώματος φόβον ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως, ἀποκτείνουσι μετὰ Χαρμίνου τε, ἑνὸς τῶν στρατηγῶν, καὶ τινων τῶν παρὰ σφίσιν Ἀθηναίων, πίστιν διδόντες αὐτοῖς, καὶ ἄλλα μετ' αὐτῶν τοιαῦτα ξυνέπραξαν, τοῖς τε πλείοσιν ὥρμηντο ἐπιτίθεσθαι. οἱ δὲ αἰσθόμενοι τῶν τε στρατηγῶν Λέοντι καὶ Διομέδοντι — οὗτοι γὰρ οὐχ ἑκόντες, διὰ τὸ τιμᾶσθαι ὑπὸ τοῦ δήμου, ἔφερον τὴν ὀλιγαρχίαν — τὸ μέλλον σημαίνουσι καὶ Θρασυβούλῳ καὶ Θρασύλλῳ, τῷ μὲν τριηραρχοῦντι τῷ δὲ ὁπλιτεύοντι, καὶ ἄλλοις οἳ ἐδόκουν αεὶ μάλιστα ἐναντιοῦσθαι τοῖς ξυνεστῶσιν· καὶ οὐχ ἠξίουν περιιδεῖν αὐτοὺς σφᾶς τε διαφθαρέντας καὶ Σάμον Ἀθηναίοις ἀλλοτριωθεῖσαν, δι' ἣν μόνον ἡ ἀρχὴ αὐτοῖς ἐς τοῦτο ξυνέμεινεν. οἱ δὲ ἀκούσαντες τῶν τε στρατιωτῶν ἕνα ἕκαστον μετῄεσαν μὴ ἐπιτρέπειν, καὶ οὐχ ἥκιστα τοὺς Παράλους, ἄνδρας Ἀθηναίους τε καὶ ἐλευθέρους πάντας ἐν τῇ νηὶ πλέ-

---

C. 73. § 1. *ἐνεωτερίζετο τὰ περὶ τὴν ὀλιγαρχίαν* es wurde an dem Umsturze der Oligarchie gearbeitet. — *τότε* 8, 21, 1. (Kr.) — *ἐς τριακοσίους.* Gr. 60, 8 A. 1.

§ 2. *Ὑπέρβολόν τε.* Dem *τέ* entspricht *καὶ ἄλλα.* — *διὰ αἰσχύνην τῆς πόλεως* weil er der Stadt Schande machte. (Hl.) — *τοῖς πλείοσι* der Mehrzahl, den Demokraten.

§ 3. *Θρασύλλῳ.* Das doppelte λ schützen besonders die Inschriften. Schömann Isä. p. 355. — *ὁπλιτεύοντι ἀντὶ τοῦ ὁπλιτικοῦ ἄρχοντι.* (Sch.) Den Begriff Befehlshaberschaft hat das Wort doch wohl nie gehabt. — *τοῖς ξυνεστῶσι* der Verschwörung. (Va.) zu 8, 66, 1. — *αὐτούς*, die erwähnten Athener, Subject zu *περιιδεῖν*; *σφᾶς* die samischen Demokraten. — *μέχρι νῦν* vor *ἡ ἀρχή*, Glossem zu *ἐς τοῦτο*, ist mit guten Hss. getilgt.

§ 4. *μετῄεσαν* gingen an mit Bitten. (Sch.) vgl. 3, 70, 1. — *τοὺς Παράλους, τοὺς ἐκ τῆς νεὼς τῆς Παράλου.* (Sch.) vgl. § 5

οντας καὶ ἀεὶ δή ποτε ὀλιγαρχίᾳ, καὶ μὴ παρούσῃ, ἐπικειμένους· ὅ τε Λέων καὶ ὁ Διομέδων αὐτοῖς ναῦς τινάς, ὁπότε ποι πλέοιεν, κατέλειπον φύλακας. ὥστ' ἐπειδὴ αὖτοῖς ἐπείσθεντο οἱ τριακόσιοι, βοηθησάντων πάντων τούτων, μάλιστα δὲ τῶν Παράλων, περιεγένοντο οἱ τῶν Σαμίων πλείονες, καὶ τριάκοντα μέν τινας ἀπέκτειναν τῶν τριακοσίων, τρεῖς δὲ τοὺς αἰτιωτάτους φυγῇ ἐζημίωσαν· τοῖς δ' ἄλλοις οὐ μνησικακοῦντες δημοκρατούμενοι τὸ λοιπὸν ξυνεπολίευον. τὴν δὲ Πάραλον ναῦν καὶ Χαιρέαν ἐπ' αὐτῆς τὸν Ἀρχεστρά- 74
του, ἄνδρα Ἀθηναῖον, γενόμενον ἐς τὴν μετάστασιν πρόθυμον, ἀποπέμπουσιν οἵ τε Σάμιοι καὶ οἱ στρατιῶται κατὰ τάχος ἐς τὰς Ἀθήνας ἀπαγγελοῦντα τὰ γεγενημένα· οὐ γὰρ ἤδεσάν πω τοὺς τετρακοσίους ἄρχοντας. καὶ καταπλευσάντων 2
αὐτῶν εὐθέως τῶν μὲν Παράλων τινὰς οἱ τετρακόσιοι, δύο ἢ τρεῖς, ἔδησαν, τοὺς δ' ἄλλους ἀφελόμενοι τὴν ναῦν καὶ μετεμβιβάσαντες ἐς ἄλλην στρατιῶτιν ναῦν ἔταξαν φρουρεῖν περὶ Εὔβοιαν. ὁ δὲ Χαιρέας εὐθύς, διαλαθών πως, ὡς εἶδε τὰ παρόντα, πάλιν ἐς τὴν Σάμον ἐλθὼν ἀγγέλλει τοῖς στρατιώταις, ἐπὶ τὸ μεῖζον πάντα δεινώσας, τὰ ἐκ τῶν Ἀθηνῶν, ὡς πληγαῖς τε πάντας ζημιοῦσι καὶ ἀντειπεῖν ἔστιν 3
οὐδὲν πρὸς τοὺς ἔχοντας τὴν πολιτείαν, καὶ ὅτι αὐτῶν καὶ γυναῖκες καὶ παῖδες ὑβρίζονται καὶ διανοοῦνται, ὁπόσοι ἐν Σάμῳ στρατεύονται μὴ ὄντες τῆς σφετέρας γνώμης, τούτων πάντων τοὺς προσήκοντας λαβόντες εἴρξειν, ἵνα, ἢν μὴ ὑπακούωσι, τεθνήξωσιν· καὶ ἄλλα πολλὰ ἐπικαταψευδόμενος

---

u. 74, 2, Ar. Ly. 58, Aeſch. 3, 162. — καὶ μὴ παρούσῃ, καὶ εἰ μὴ εἶναι (οὖσα) τύχοι. (Sch.) — ἐπικειμένους, ἀχθομένους. (Sch.) vgl. 2, 49, 4 u. 59, 1.

§ 5. οἱ πλείονες, οἱ δημοκρατικοί. (Sch.)

C. 74. § 1. ἐς τὴν μετάστασιν, ἤγουν ἐς τὸ καταλῦσαι τὴν ὀλιγαρχίαν. (Sch.) für den Sturz der Oligarchie im Heere. (Pp.) — οὐ γάρ. vgl. 8, 77. (Pp.)

§ 2. φρουρεῖν περὶ Εὔβοιαν. vgl. 8, 86, 6. (Hl.) — ἐπὶ τὸ μεῖζον. zu 1, 10, 4. — δεινώσας, τῷ λόγῳ ἐπάρας. (Sch.) — Ἀθηνῶν für Ἀθηναίων vielleicht nur zwei Hſn., wohl auch Va.

§ 3. τε nach ὁπόσοι iſt mit einer guten Hſ. getilgt. — ὄντες τῆς σφετέρας γνώμης. zu 1, 113, 2. — εἴρξειν. ἕρξειν eine gute Hſ. Ueber den Inf. Fu. zu 1, 27, 2. — ὑπακούωσι für ὑπακούσωσι die beſten Hſn.

75 ἔλεγεν. οἱ δ' ἀκούσαντες ἐπὶ τοὺς τὴν ὀλιγαρχίαν μάλιστα ποιήσαντας καὶ ἐπὶ τῶν ἄλλων τοὺς μετασχόντας τὸ μὲν πρῶτον ὥρμησαν βάλλειν, ἔπειτα μέντοι ὑπὸ τῶν διὰ μέσου κωλυθέντες, καὶ διδαχθέντες, μὴ τῶν πολεμίων ἀντιπρῴρων ἐγγὺς ἐφορμούντων ἀπολέσωσι τὰ πράγματα, ἐπαύσαντο.
2 μετὰ δὲ τοῦτο, λαμπρῶς ἤδη ἐς δημοκρατίαν βουλόμενοι μεταστῆσαι τὰ ἐν τῇ Σάμῳ, ὅ τε Θρασύβουλος ὁ τοῦ Λύκου καὶ Θράσυλλος — οὗτοι γὰρ μάλιστα προεστήκεσαν τῆς μεταβολῆς — ὤρκωσαν πάντας τοὺς στρατιώτας τοὺς μεγίστους ὅρκους, καὶ αὐτοὺς τοὺς ἐκ τῆς ὀλιγαρχίας μάλιστα, ἢ μὴν δημοκρατήσεσθαί τε καὶ ὁμονοήσειν, καὶ τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν, καὶ τοῖς τετρακο-
3 σίοις πολέμιοι τ' ἔσεσθαι καὶ οὐδὲν ἐπιχηρυκεύεσθαι. ξυνώμνυσαν δὲ καὶ Σαμίων πάντες τὸν αὐτὸν ὅρκον οἱ ἐν τῇ ἡλικίᾳ, καὶ τὰ πράγματα πάντα καὶ τὰ ἀποβησόμενα ἐκ τῶν κινδύνων ξυνεκοινώσαντο οἱ στρατιῶται τοῖς Σαμίοις, νομίζοντες οὔτ' ἐκείνοις ἀποστροφὴν σωτηρίας οὔτε σφίσιν εἶναι, ἀλλ' ἐάν τε οἱ τετρακόσιοι κρατήσωσιν, ἐάν τε οἱ ἐκ Μιλήτου
76 πολέμιοι, διαφθαρήσεσθαι. ἐς φιλονεικίαν τε καθέστασαν τὸν χρόνον τοῦτον οἱ μὲν τὴν πόλιν ἀναγκάζοντες δημοκρατεῖσθαι, οἱ δὲ τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι. ἐποίησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται, ἐν ᾗ τοὺς μὲν προτέρους στρατηγοὺς καὶ εἴ τινα τῶν τριηράρχων ὑπετόπευον, ἔπαυσαν,

---

C. 75. § 1. *ὑπὸ τῶν διὰ μέσου.* Xen. Hell. 5, 4, 25: *ἐμποδοῦντο τοὺς διὰ μέσου.* (Dobree.) zu 3, 82, 9. — *διδαχθέντες*, über die Lage der Dinge. (Ba.)

§ 2. *λαμπρῶς* ist hinzugefügt weil Schritte zur *μετάστασις* schon vorher gethan waren. 8, 73, 3 ff. 74, 1. (Pp.) — *τῆς μεταβολῆς, τῆς ἀπὸ ὀλιγαρχίας εἰς δημοκρατίαν.* (Sch.) — *ὤρκωσαν* mit zwei Ac. wie Ar. Lys. 187: *τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς;* — *δημοκρατήσεσθαι. δημοκρατηθήσεσθαι* die vier besten Hss. Doch steht jene Form 48, 5. (Pp.) u. Dem. 24, 99. — *διοίσειν.* zu 1, 11, 2.

§ 3. *ἀποστροφὴν σωτηρίας* refugium salutis Ps. Eine sonst nicht leicht vorkommende Verbindung nach Bl. — *ἐάν τε*, das zweite, für *ἄν τε* eine gute Hs. zu 4, 46, 2. vgl. Kr. z. Dion. p. 274 f.

C. 76. § 1. *οἱ μέν, οἱ ἐν Σάμῳ.* (Sch.) — *ἀναγκάζοντες* zu zwingen versuchend. (A. Ps.) Es könnte wohl auch ein Glossem sein. Gr. 55, 3 A. 16. — *οἱ δέ, οἱ ἐν Ἀθήναις.* (Sch.) — *ὑπετόπευον* für *ὑπώπτευον* gute Hss. zu 2, 5, 3.

ἄλλους δὲ ἀνθελλοντο καὶ τριηράρχους καὶ στρατηγούς, ὧν Θρασύβουλός τε καὶ Θράσυλλος ὑπῆρχον. καὶ παραινέσεις 2
ἄλλας τ' ἐποιοῦντο ἐν σφίσιν αὐτοῖς ἀνιστάμενοι καὶ ὡς οὐ δεῖ ἀθυμεῖν ὅτι ἡ πόλις αὐτῶν ἀφέστηκεν· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν τῶν πλεόνων καὶ ἐς πάντα ποριμωτέρων μεθεστάναι. ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικόν, τὰς ἄλλας πόλεις ὧν ἄρχουσιν ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι καὶ εἰ ἐκεῖθεν ὥρμῶντο. πόλιν τε γὰρ σφίσιν ὑπάρχειν 3
Σάμον οὐκ ἀσθενῆ, ἀλλ' ἣ παρ' ἐλάχιστον δὴ ἦλθε τὸ Ἀθηναίων κράτος τῆς θαλάσσης, ὅτε ἐπολέμησεν, ἀφελέσθαι, τούς τε πολεμίους ἐκ τοῦ αὐτοῦ χωρίου ἀμύνεσθαι οὗπερ καὶ πρότερον. καὶ δυνατώτεροι εἶναι σφεῖς ἔχοντες τὰς ναῦς πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει. καὶ δι' ἑαυτούς 4
τε ἐν τῇ Σάμῳ προκαθημένους καὶ πρότερον αὐτοὺς κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου, καὶ νῦν ἐς τοιοῦτον καταστήσονται μὴ βουλομένων σφίσι πάλιν τὴν πολιτείαν ἀποδοῦναι, ὥστε αὐτοὶ καὶ δυνατώτεροι εἶναι εἴργειν ἐκείνους τῆς θαλάσσης ἢ ὑπ' ἐκείνων εἴργεσθαι. βραχύ τέ τι εἶναι καὶ οὐ- 5

---

§ 2. αὑτῶν für αὐτῶν Bk. Es hängt von ἀφέστηκε ab. (Bs.) — ποριμωτέρων. εὐπορωτέρων ein Gloſſem Ar. Frösche 1429: μισῶ πολίτην — πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον. (Bl.) Ar. Frie. 1030: φρονεῖν σοφῇ φρενὶ πορίμῳ τε τόλμῃ. Thesm. 776: ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ. — ἐχόντων σφῶν für den Nominativ. (Bv.) Gr. 47, 4 A. 2. — καὶ εἰ als wenn. zu 6, 21, 2. — ἐκεῖθεν, ἀπὸ τῶν Ἀθηνῶν. (Bs.) — ὥρμῶντο für ὥρμηντο einige gute Hſn.

§ 3. παρ' ἐλάχιστον ἦλθε. zu 4, 106, 3. — ὅτε ἐπολέμησεν 1, 115, 5 ff. (Hk.) Vielleicht iſt dies ein Gloſſem wodurch τότε verdrängt iſt. — ἀφελέσθαι. zu 6, 11 3. — ἀμύνεσθαι könnte auch von ὑπάρχειν abhängen. — οὗπερ, ἐξ οὗπερ. Gr. 51, 11 A. 1.

§ 4. ἑαυτούς τε. ἑαυτοὺς δέ Hk. — προκαθημένους, Ἀθηνῶν, zum Schutze Athens. (Hk.) Her. 8, 36: αὐτὸς ἱκανὸς εἶναι τῶν ἑωυτοῦ προκαιῆσθαι. — αὐτούς, die zu Athen befindlichen Athener. (Dr.) — τοιοῦτον für τοσοῦτον eine gute Hſ. — καταστήσονται. καταστήσεσθαι Dobree. Der Uebergang iſt auffallend; der Sinn ſcheint zu ſein: ſie, die zu Samos befindlichen Athener, würden jene, die zu Athen, wenn dieſe ihnen nicht die demokratiſche Verfaſſung wieder geben wollten in eine ſolche Lage verſetzen. Der Sch. erklärt: ſie, die zu Samos befindlichen Athener, würden ſo mächtig ſein. Haaſe nimmt eine Lücke nach καὶ νῦν an, etwa: ἔτι μᾶλλον ἐλπίδα εἶναι, ὡς προσλαβόντες καὶ τὸ τῶν Σαμίων κοινόν. — καὶ nach αὐτοί fehlt im Sch. u. einer guten Hſ.

δενὸς ἄξιον ᾧ πρὸς τὸ περιγίγνεσθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν, καὶ οὐδὲν ἀπολωλεκέναι, οἵ γε μήτε ἀργύριον εἶχον ἔτι πέμπειν, ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται, μήτε βούλευμα χρηστόν, οὗπερ ἕνεκα πόλις στραιο-
6 πέδων κρατεῖ· ἀλλὰ καὶ ἐν τούτοις τοὺς μὲν ἡμαρτηκέναι τοὺς πατρίους νόμους καταλύσαντας, αὐτοὶ δὲ σώζειν καὶ ἐκείνους πειράσεσθαι προσαναγκάζειν, ὥστε οὐδὲ τοιούτους οἵπερ ἂν βουλεύοιέν τι χρηστὸν παρὰ σφίσι χείρους εἶναι. Ἀλκιβιάδην τε, ἢν αὐτῷ ἄδειάν τε καὶ κάθοδον ποιήσωσιν, ἄσμενον τὴν παρὰ βασιλέως ξυμμαχίαν παρέξειν. τό τε μέγιστον, ἢν ἁπάντων σφάλλωνται, εἶναι αὐτοῖς, τοσοῦτον ἔχουσι ναυτικόν, πολλὰς τὰς ἀποχωρήσεις, ἐν αἷς καὶ πόλεις καὶ γῆν
77 εὑρήσουσιν. τοιαῦτα ἐν ἀλλήλοις ἐκκλησιάσαντες καὶ παραθαρσύναντες σφᾶς αὐτοὺς καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο οὐδὲν ἧσσον. οἱ δ' ἀπὸ τῶν τετρακοσίων πεμφθέντες ἐς τὴν Σάμον, οἱ δέκα πρεσβευταί, ὡς ταῦτα, ἐν τῇ Δήλῳ ἤδη ὄντες, ᾐσθάνοντο, ἡσύχαζον αὐτοῦ.

78 Ὑπὸ δὲ τὸν χρόνον τοῦτον καὶ οἱ ἐν τῇ Μιλήτῳ τῶν Πελοποννησίων ἐν τῷ ναυτικῷ στρατιῶται κατὰ σφᾶς αὐτοὺς διεβόων ὡς ὑπό τε Ἀστυόχου καὶ Τισσαφέρνους φθείρεται τὰ πράγματα, τοῦ μὲν οὐκ ἐθέλοντος οὔτε πρότερον ναυμαχεῖν, ἕως ἔτι αὐτοί τε ἔρρωντο μᾶλλον καὶ τὸ ναυτικὸν τῶν Ἀθηναίων ὀλίγον ἦν, οὔτε νῦν, ὅτε στασιάζειν τε λέγονται

---

§ 5. *οὐδὲν ἀπολωλεκέναι* sie, die auf Samos, hätten nichts verloren. — *οἵ γε* die ja, auf *πόλιν* d. h. *τοὺς ἐν τῇ πόλει* bezogen. (Schömann.) Gr. 58, 4 A. 1. — *μήτε*. Gr. 67, 4 A. 3. — *ἀλλ' αὐτοί*. Gr. 59, 2 A. 6.

§ 6. *πατρίους*. *πατρῴους* viele, auch gute Hsn. Gr. 41, 11 A. 9. — *αὐτοί* für *αὐτούς* Hk. u. eine gute Hs. — *προσαναγκάζειν, σώζειν* (*τοὺς πατρίους νόμους*). (Sch.) Gr. 55, 4 A. 11. — *ὥστε οὐδέ*. zu 5, 40, 2. — *οἵπερ*. *οὗπερ* die besten Hsn. — *ποιήσωσιν* verschafft haben würden. (Ba.) — *τό τε μέγιστον*. Gr. 57, 10 A. 12. — *ἀποχωρήσεις* Zufluchtsörter, wie sonst *ἀποστροφή*.

C. 77. *πρεσβευταί* für *πρέσβεις* hier und 8, 86, 1. (Ds.) — *αὐτοῦ* ist aus mehrern und guten Hs. zugefügt.

C. 78. § 1. *διεβόων* kann wohl nur Verbreitung lauter Beschwerden bezeichnen. vgl. 8, 53, 2. — *τῶν Πελοποννησίων*. Ueber die Stellung zu 1, 126, 6. — *τοῦ μέν, τοῦ Ἀστυόχου*. (Sch.) — *πρότερον* 8, 30, 2. 44, 3. (Kr.)

καὶ αἱ νῆες αὐτῶν οὐδέπω ἐν τῷ αὐτῷ εἰσίν, ἀλλὰ τὰς παρὰ 2
Τισσαφέρνους Φοινίσσας ναῦς μένοντες, ἄλλως ὄνομα καὶ
οὐκ ἔργον, κινδυνεύσειν διατριβῆναι· τὸν δ' αὖ Τισσαφέρνην
τάς τε ναῦς ταύτας οὐ κομίζειν, καὶ τροφὴν ὅτι οὐ ξυνεχῶς
οὐδ' ἐντελῆ διδοὺς κακοῖ τὸ ναυτικόν. οὖκουν ἔφασαν χρῆ-
ναι μέλλειν ἔτι ἀλλὰ ναυμαχεῖν. καὶ μάλιστα οἱ Συρακόσιοι
ἐνῆγον. αἰσθόμενοι δὲ οἱ ξύμμαχοι καὶ ὁ Ἀστύοχος τὸν 79
θροῦν καὶ δόξαν αὐτοῖς ἀπὸ ξυνόδου ὥστε διαναυμαχεῖν,
ἐπειδὴ καὶ ἐσηγγέλλετο αὐτοῖς ἡ ἐν τῇ Σάμῳ ταραχή, ἄραντες
ταῖς ναυσὶ πάσαις, οὔσαις δώδεκα καὶ ἑκατόν, καὶ τοὺς Μι-
λησίους πεζῇ κελεύσαντες ἐπὶ τῆς Μυκάλης παριέναι ἔπλεον
ὡς πρὸς τὴν Μυκάλην. οἱ δ' Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ 2
δυοῖν καὶ ὀγδοήκοντα, αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης
ὁρμοῦσαι — διέχει δ' ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου
πρὸς τὴν Μυκάλην — ὡς εἶδον τὰς τῶν Πελοποννησίων ναῦς
προσπλεούσας, ὑπεχώρησαν ἐς τὴν Σάμον, οὐ νομίσαντες τῷ
πλήθει διακινδυνεῦσαι περὶ τοῦ παντὸς ἱκανοὶ εἶναι. καὶ 3
ἅμα — προῄσθοντο γὰρ αὐτοὺς ἐκ τῆς Μιλήτου ναυμαχη-
σείοντας — προσεδέχοντο καὶ τὸν Στρομβιχίδην ἐκ τοῦ Ἑλ-
λησπόντου σφίσι ταῖς ἐκ τῆς Χίου ναυσὶν ἐπ' Ἄβυδον ἀφι-
κομέναις προσβοηθήσειν· προὐπέπεμπτο γὰρ αὐτῷ ἄγγελος.
καὶ οἱ μὲν οὕτως ἐπὶ τῆς Σάμου ἀνεχώρησαν, οἱ δὲ Πελο-

---

§ 2. ἄλλως ὄνομα die ein leerer Name, bloß eine Vorspiegelung seien. Eur. Hel. 1421: τὰ τῶν θανόντων οὐδέν, ἀλλ' ἄλλως πόνος. vgl. zu 1, 109, 2. — κινδυνεύσειν hängt noch von διεβόων ab. (Dr.) — διατριβῆναι, διαφθαρῆναι. (Sch.) vgl. 87, 3 u. zu 46, 2. (Kr.) — καὶ ὅτι. Ein etwas harter Uebergang. — κακοῖ, ἤγουν εἰς κακοπάθειαν ἐμβάλλει. (Sch.)

C. 79. § 1. ὥστε. Xen. Cyr. 2, 2, 20: ἦ οἴει ἂν ψηφίσασθαι τὸ πλῆθος συνελθὸν ὥστε μὴ ἴσων ἕκαστον τυγχάνειν; Gr. 65, 3 A. 1. — ἀπὸ ξυνόδου. zu 1, 97, 1.

§ 2. πρὸς τὴν M. an der Seite die nach M. zu liegt. (Ba.) — ὡς. καὶ ὡς viele, auch gute Hsn.; gut wenn man vorher αἱ mit einer der besten u. Ba. tilgt. — προσπλεούσας für ἐπιπλεούσας eine gute Hsn., προσεπιπλεούσας mehrere.

§ 3. ἐκ τῆς M. ist mit προῄσθοντο zu verbinden. (Dr.) — Ἄβυδον für Ἀβύδου einige gute Hsn. Mit dem Ge. scheint ἐπί nur von Abgehenden, nicht von Ankommenden gebraucht zu sein. Denn 1, 60, 2 dürfte ἐπὶ Θρᾴκης für ἐς τὰ ἐπὶ Θ. stehen. (Pp.) — προὐπέπεμπτο für προὔπεμπτο Ba. u. Hk. προὐπέμπετο schlechte Hsn. — ἀνεχώρη-

πονν ήσιοι καταπλεύσαντες ἐπὶ τῆς Μυκάλης ἐστρατοπεδεύσαντο καὶ τῶν Μιλησίων καὶ τῶν πλησιοχώρων ὁ πεζός. 4 καὶ τῇ ὑστεραίᾳ μελλόντων αὐτῶν ἐπιπλεῖν τῇ Σάμῳ ἀγγέλλεται ὁ Στρομβιχίδης ταῖς ἀπὸ τοῦ Ἑλλησπόντου ναυσὶν ἀφιγμένος· καὶ εὐθὺς ἀπέπλεον πάλιν ἐπὶ τῆς Μιλήτου. οἱ δ' Ἀθηναῖοι προσγενομένων σφίσι τῶν νεῶν ἐπίπλουν αὐτοὶ ποιοῦνται τῇ Μιλήτῳ ναυσὶν ὀκτὼ καὶ ἑκατόν, βουλόμενοι ναυμαχῆσαι· καὶ ὡς οὐδεὶς αὐτοῖς ἀντανήγετο, ἀπέπλευσαν πάλιν ἐς τὴν Σάμον.

80 Ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τοῦτο εὐθὺς οἱ Πελοποννήσιοι, ἐπειδὴ ἀθρόαις ταῖς ναυσὶν οὐχ ἀξιόμαχοι νομίσαντες εἶναι οὐκ ἀντανήγοντο, ἀπορήσαντες ὁπόθεν τοσαύταις ναυσὶ χρήματα ἕξουσιν, ἄλλως τε καὶ Τισσαφέρνους κακῶς διδόντος, ἀποστέλλουσιν ὡς τὸν Φαρνάβαζον, ὥσπερ καὶ τὸ πρῶτον ἐκ τῆς Πελοποννήσου προσετάχθη, Κλέαρχον τὸν 2 Ῥαμφίου ἔχοντα ναῦς τεσσαράκοντα. ἐπεκαλεῖτό τε γὰρ αὐτοὺς ὁ Φαρνάβαζος καὶ τροφὴν ἑτοῖμος ἦν παρέχειν, καὶ ἅμα καὶ τὸ Βυζάντιον ἐπεκηρυκεύετο αὐτοῖς ἀποστῆναι. καὶ αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες ἀπάρασαι ἐς τὸ πέλαγος, ὅπως λάθοιεν ἐν τῷ πλῷ τοὺς Ἀθηναίους, χειμασθεῖσαι καὶ αἱ μὲν Λήλου λαβόμεναι αἱ πλείους μετὰ Κλε-

---

σαν. ἀπεχώρησαν mehrere Hsn. — ἐπὶ τῆς für ἐπί eine gute Hs. — τῆς Μυκάλης. vielmehr τῇ Μυκάλῃ, zu verbinden mit ἐστρατοπεδεύοντο. vgl. 1, 30, 1. 51, 3. (Pp.)

§ 4. ἀφιγμένος. Gr. 56, 7 A. 3.

C. 80. § 1. ἐπειδή nachdem, enge mit μετὰ τοῦτο εὐθύς zu verbinden. vgl. 102, 3. u. 7, 69, 1. (Kr.) — ἀθρόαις ταῖς ναυσὶ οὐκ ἀξιόμαχοι den versammelten Schiffen der Athener (8, 79, 4) nicht gewachsen. vgl. 5, 60, 3. Her. 7, 157. 9, 90. (Kr.) mit ihren versammelten Schiffen, zu ἀντανήγοντο gezogen, Ps., wobei man ein obgleich vermissen würde. — τὸ πρῶτον 8, 39, 2. (Ds.) Doch hindert ἐκ τῆς II. wohl nicht es auch auf 8, 8, 3 zu beziehen.

§ 2. αὗται. Gr. 50, 11 A. 20. — χειμασθεῖσαι καί. καὶ χειμασθεῖσαι Kr. oder auch καί getilgt, wobei die Parentheſenzeichen zu ſtreichen und angefangen wäre als ſollte folgen ἐς τὸν Ἑλλήσποντον ἄρχων ἐκομίσθη. Da jedoch auch für καὶ ὕστερον πάλιν ἐλθοῦσαι eig καὶ ὕ. π. ἦλθον ſtehen ſollte, ſo hat hier wohl der Schriftſteller ſelbſt gefehlt. — αἱ πλείους appoſitiv, wie 3, 23, 2.

ἄρχου καὶ ὕστερον πάλιν ἐλθοῦσαι ἐς Μίλητον — Κλέαρχος δὲ κατὰ γῆν αὖθις ἐς τὸν Ἑλλήσποντον κομισθεὶς ἦρχεν — αἱ δὲ μετὰ Ἐλίξου τοῦ Μεγαρέως στρατηγοῦ δέκα ἐς τὸν Ἑλλήσποντον διασωθεῖσαι Βυζάντιον ἀφιστᾶσιν. καὶ μετὰ 3
ταῦτα οἱ ἐκ τῆς Σάμου πέμπουσιν αἰσθόμενοι νεῶν βοήθειαν καὶ φυλακὴν ἐς τὸν Ἑλλήσποντον, καί τις καὶ ναυμαχία βραχεῖα γίγνεται πρὸ τοῦ Βυζαντίου ναυσὶν ὀκτὼ πρὸς ὀκτώ.

Οἱ δὲ προεστῶτες ἐν τῇ Σάμῳ καὶ μάλιστα Θρασύβου- 81
λος, ἀεί [τε] τῆς αὐτῆς γνώμης ἐχόμενος, ἐπειδὴ μετέστησε τὰ πράγματα, ὥστε κατάγειν Ἀλιβιάδην, [καὶ] τέλος ἐπ' ἐκκλησίας ἔπεισε τὸ πλῆθος τῶν στρατιωτῶν, καὶ ψηφισαμένων αὐτῶν Ἀλκιβιάδῃ κάθοδον καὶ ἄδειαν πλεύσας ὡς τὸν Τισσαφέρνη κατῆγεν ἐς τὴν Σάμον τὸν Ἀλκιβιάδην, νομίζων μόνην σωτηρίαν εἰ Τισσαφέρνην αὐτοῖς μεταστήσειεν ἀπὸ Πελοποννησίων. γενομένης δὲ ἐκκλησίας τήν τε ἰδίαν ξυμ- 2
φορὰν τῆς φυγῆς ἐπῃτιάσατο καὶ ἀνωλοφύρατο ὁ Ἀλκιβιάδης καὶ περὶ τῶν πολιτικῶν πολλὰ εἰπὼν ἐς ἐλπίδας αὐτοὺς οὐ σμικρὰς τῶν τε μελλόντων καθίστη καὶ ὑπερβάλλων ἐμεγάλυνε τὴν ἑαυτοῦ δύναμιν παρὰ τῷ Τισσαφέρνει, ἵν' οἵ τε οἶκοι τὴν ὀλιγαρχίαν ἔχοντες φοβοῖντο αὐτὸν καὶ μᾶλλον αἱ ξυνωμοσίαι διαλυθεῖεν, καὶ οἱ ἐν τῇ Σάμῳ τιμιώτερόν τε αὐτὸν ἄγοιεν καὶ αὐτοὶ ἐπὶ πλεῖον θαρσοῖεν, οἵ τε πολέμιοι τῷ Τισσαφέρνει ὡς μάλιστα διαβάλλοιντο καὶ τῶν

---

§ 3. φυλακήν. zu 7, 4, 7.

C. 81. § 1. ἀεί. καὶ ἀεί mehrere Hſn. Für τέ vermuthet Py. ποτέ. — αὐτῆς für αὐτοῦ zwei Hſn. u. Ba. — ἐπ' für ἀπ' viele und gute Hſn. Doch ſ. 8, 97, 2. (Abr.) vgl. zu 1, 97, 1. (Dr.) Allein dieſe Stellen ſind verſchieden; ἐπ' ἐκκλησίας findet ſich auch bei Memnon Herakl. G. 59, ἐπὶ τῆς ἐκκλησίας bei Polyän Strat. 5, 3, 2. (Haaſe.) — καί vor τέλος tilgt Dobree. — ἔπεισε. ἔπεισαν die beſten Hſn., gut wenn vorher μετέστη ſtände.

§ 2. τῶν vor πολιτικῶν fehlt in vielen und den beſten Hſn. — τε nach ἐλπίδας iſt mit einer guten Hſ. getilgt; γε Reiske. Doch wozu hier die Beſchränkung? — τῶν μελλόντων. zu 2, 89, 8. — ἄγοιεν hielten; ſelten. Eur. Bach. 225: τὴν Ἀφροδίτην πρόσθ' ἄγει τοῦ Βακχίου. — τῷ T. διαβάλλοιντο mit dem T. verunwilligt würden. (Hl.) vgl. 8, 83, 1. 109, 1 u. Pflugk zu Eur. Her. 423. — καὶ τῶν. καὶ ἀπὸ τῶν die beſten Hſn.

3 ὑπαρχουσῶν ἐλπίδων ἐκπίπτοιεν. ὑπισχνεῖτο δ' οὖν τάδε, μέγιστα ἐπικομπῶν, ὁ Ἀλκιβιάδης, ὡς Τισσαφέρνης αὐτῷ ὑπεδέξατο ἢ μήν, ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἣν Ἀθηναίοις πιστεύσῃ, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς, οὐδ' ἣν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρίσαι, τάς τε ἐν Ἀσπένδῳ ἤδη οὔσας Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις καὶ οὐ Πελοποννησίοις· πισιεῦσαι δ' ἂν μόνως Ἀθηναίοις, εἰ
§2 αὐτὸς κατελθὼν αὐτῷ ἀναδέξαιτο. οἱ δ' ἀκούσαντες ταῦτά τε καὶ ἄλλα πολλὰ στρατηγόν τε αὐτὸν εὐθὺς εἵλοντο μετὰ τῶν προτέρων καὶ τὰ πράγματα πάντα ἀνετίθεσαν, τήν τε παραυτίκα ἐλπίδα ἕκαστος τῆς τε σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας οὐδενὸς ἂν ἠλλάξαντο, καὶ ἑτοῖμοι ἤδη ἦσαν κατὰ τὸ αὐτίκα τούς τε παρόντας πολεμίους ἐκ τῶν
2 λεχθέντων καταφρονεῖν καὶ πλεῖν ἐπὶ τὸν Πειραιᾶ. ὁ δὲ τὸ μὲν ἐπὶ τὸν Πειραιᾶ πλεῖν τοὺς ἐγγυτέρω πολεμίους ὑπολιπόντας καὶ πάνυ διεκώλυσε, πολλῶν ἐπειγομένων· τὰ δὲ τοῦ πολέμου πρῶτον ἔφη, ἐπειδὴ καὶ στρατηγὸς ᾑρητο, πλεύσας
3 ὡς Τισσαφέρνην πράξειν. καὶ ἀπὸ ταύτης τῆς ἐκκλησίας εὐθὺς ᾤχετο, ἵνα δοκῇ πάντα μετ' ἐκείνου κοινοῦσθαι, καὶ ἅμα βουλόμενος αὐτῷ τιμιώτερός τε εἶναι καὶ ἐνδείκνυσθαι ὅτι καὶ στρατηγὸς ἤδη ᾑρηται καὶ εὖ καὶ κακῶς οἷός τ' ἐστὶν αὐτὸν ἤδη ποιεῖν. ξυνέβαινε δὲ τῷ Ἀλκιβιάδῃ τῷ μὲν Τισσαφέρνει τοὺς Ἀθηναίους φοβεῖν, ἐκείνοις δὲ τὸν Τισσαφέρνην.

---

§ 3. ἐπικομπῶν, ἤγουν κομπωδῶς λέγων. (Sch.) — ἐξαργυρίσαι für ἐξαργυρῶσαι mehrere Hſn. und jene Form ſcheinen die Attiker ausſchließlich gebraucht zu haben. (Pp.) ἐξαργυρίσαι, ἤγουν ἀργυρίου πωλῆσαι. (Sch.) — μόνως Thuk. nur hier wie Xen. nur Cyr. 3, 2, 23. (Pp.) μόνον einige Hſn. — αὐτός, Ἀλκιβιάδης. (Sch.) Vor dieſem Worte haben mehrere Hſn. σῶς. — ἀναδέξαιτο Gewähr für ſie leiſtete. (St.)

C. 82. § 1. ἀνετίθεσαν. zu 2, 65, 2. — ἂν ἠλλάξαντο für ἀντηλλάξαντο mehrere Hſn., ἂν ἀντηλλάξαντο Pp. — κατά. διά eine gute Hſ. Die Präpoſition tilgen will Pp. — πολεμίους καταφρονεῖν. Gr. 47, 24 A. 3.

§ 2. καὶ πάνυ. Gr. 69, 32 A. 18.

§ 3. ἵνα. ἵνα δή corr. Eine, ἵνα δέ mehrere Hſn. — ἤδη, das zweite, iſt aus vielen und den beſten Hſn. zugefügt.

Οἱ δὲ Πελοποννήσιοι ἐν τῇ Μιλήτῳ πυνθανόμενοι τὴν 83
Ἀλκιβιάδου κάθοδον, καὶ πρότερον τῷ Τισσαφέρνει ἀπι-
στοῦντες, πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο. ξυνηνέχθη γὰρ
αὐτοῖς κατὰ τὸν ἐπὶ τὴν Μίλητον τῶν Ἀθηναίων ἐπίπλουν,
ὡς οὐκ ἠθέλησαν ἀντιναυμαχῆσαι, πολλῷ ἐς τὴν
μισθοδοσίαν τὸν Τισσαφέρνην ἀρρωστότερον γενόμενον καὶ
ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν πρότερον ἔτι τούτων διὰ τὸν
Ἀλκιβιάδην ἐπιδεδωκέναι. καὶ ξυνισιάμενοι κατ' ἀλλήλους 2
οἱάπερ καὶ πρότερον οἱ στρατιῶται ἀνελογίζοντο καί τινες
καὶ τῶν ἄλλων τῶν ἀξίων λόγου ἀνθρώπων καὶ οὐ μόνον
τὸ στρατιωτικόν, ὡς οὔτε μισθὸν ἐντελῆ πώποτε λάβοιεν, τό
τε διδόμενον βραχὺ καὶ οὐδὲ τοῦτο ξυνεχῶς· καὶ εἰ μή τις
ἢ διαναυμαχήσει ἢ ἀπαλλάξεται ὅθεν τροφὴν ἕξει, ἀπολεί-
ψειν τοὺς ἀνθρώπους τὰς ναῦς· πάντων τε Ἀστύοχον εἶναι
αἴτιον, ἐπιφέροντα ὀργὰς Τισσαφέρνει διὰ ἴδια κέρδη. ὃν- 84
των δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ ξυνηνέχθη καὶ τοιόσδε
τις θόρυβος περὶ τὸν Ἀστύοχον. τῶν γὰρ Συρακοσίων καὶ
Θουρίων ὅσῳ μάλιστα καὶ ἐλεύθεροι ἦσαν τὸ πλῆθος οἱ
ναῦται, τοσούτῳ καὶ θρασύτατα προσπεσόντες τὸν μισθὸν
ἀπῄτουν. ὁ δὲ αὖθαδέστερόν τέ τι ἀπεκρίνατο καὶ ἠπείλησεν,
καὶ τῷ γε Λωριεῖ ξυναγορεύοντι τοῖς ἑαυτοῦ ναύταις καὶ
ἐπανήρατο τὴν βακτηρίαν. τὸ δὲ πλῆθος τῶν στρατιωτῶν 2
ὡς εἶδον, οἷα δὴ ναῦται, ὥρμησαν ἐγκραγόντες ἐπὶ τὸν

C. 83. § 1. *καὶ πρότερον.* zu 6, 88, 5. — *διεβέβληντο.* zu 81, 2. (Hl.) — *κατὰ τόν* oder *μετὰ τόν* für *καὶ τόν* Dr.

§ 2. *ἀξίων λόγου.* *ἀξιολόγων* die beſten Hſn. — *τις ἦ.* *τις ἤδη* Haaſe. — *ναυμαχήσει.* *ἴδιᾳ* oder *ἴδια ναυμαχήσει* drei der beſten Hſn., *διαναυμαχήσει* Haaſe. — *ὁθεν, ἐκεῖσε ὅθεν.* Gr. 51, 13 A. 9. — *ὡς* daß nämlich, epexegetiſch an *ἀνελογίζοντο οἱάπερ καὶ πρότερον* angefügt. — *ἕξει.* *ἕξειν* die beſten Hſn. — *ὀργάς.* *τὸ ἐπιφέρειν ὀργὰς ἐπὶ τοῦ χαρίζεσθαι καὶ συγχωρεῖν ἔσχατον οἱ ἀρχαῖοι. μάρτυς Κρατῖνος λέγων τὴν μουσικὴν ἀχορέστους ἐπιφέρειν ὀργὰς βροτοῖς σώφροσιν.* (Sch.) vgl. zu 1, 130, 2. Später iſt die Redensart verſchollen. — *διὰ ἴδια κέρδη* 8, 50, 3. (Didot.)

C. 84. § 1. *τὸ πλῆθος.* Iſt dies No. oder Ac.? (Pp.) — *οἱ ναῦται* verdächtigt Hk. vgl. § 2.

§ 2. *οἷα.* zu 2, 5, 2. — *ναῦται, ἀκρατεῖς δηλονότι.* (Ds.) — *ἐγκραγόντες.* *ἐκβαγέντες* die beſten Hſn. unſer losbrechen. vgl. Her. 6, 129. (Pp.)

Ἀστύοχον ὥστε βάλλειν· ὁ δὲ προϊδὼν καταφεύγει ἐπὶ βωμόν τινα. οὐ μέντοι ἐβλήθη γε, ἀλλὰ διελύθησαν ἀπ' ἀλλήλων. ἔλαβον δὲ καὶ τὸ ἐν τῇ Μιλήτῳ ἐνῳκοδομημένον τοῦ Τισσαφέρνους φρούριον οἱ Μιλήσιοι λάθρᾳ ἐπιπεσόντες, καὶ τοὺς ἐνόντας φύλακας αὐτοῦ ἐκβάλλουσιν· ξυνεδόκει δὲ καὶ τοῖς ἄλλοις ξυμμάχοις ταῦτα καὶ οὐχ ἥκιστα τοῖς Συρακοσίοις. ὁ μέντοι Λίχας οὔτε ἠρέσκετο αὐτοῖς, ἔφη τε χρῆναι Τισσαφέρνει καὶ δουλεύειν Μιλησίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ βασιλέως τὰ μέτρια καὶ ἐπιθεραπεύειν, ἕως ἂν τὸν πόλεμον εὖ θῶνται. οἱ δὲ Μιλήσιοι ὠργίζοντό τε αὐτῷ, καὶ διὰ ταῦτα καὶ ἄλλα τοιουτότροπα καὶ νόσῳ ὕστερον ἀποθανόντα αὐτὸν οὐκ εἴασαν θάψαι οὗ ἐβούλοντο οἱ παρόντες τῶν Λακεδαιμονίων. κατὰ δὴ τοιαύτην διαφορὰν ὄντων αὐτοῖς τῶν πραγμάτων πρός τε τὸν Ἀστύοχον καὶ τὸν Τισσαφέρνην, Μίνδαρος διάδοχος τῆς Ἀσιυόχου ναυαρχίας ἐκ Λακεδαίμονος ἐπῆλθε καὶ παραλαμβάνει την ἀρχήν· ὁ δὲ Ἀστύοχος ἀπέπλει. ξυνέπεμψε δὲ καὶ Τισσαφέρνης αὐτῷ πρεσβευτὴν τῶν παρ' ἑαυτοῦ, Γαυλίτην ὄνομα, Κᾶρα δίγλωσσον, κατηγορήσοντα τῶν τε Μιλησίων περὶ τοῦ φρουρίου καὶ περὶ αὐτοῦ ἅμα ἀπολογησόμενον, εἰδὼς τούς τε Μιλησίους πορευομένους ἐπὶ καταβοῇ τῇ αὐτοῦ μάλιστα καὶ τὸν Ἑρμοκράτην μετ' αὐτῶν, ὃς ἔμελλε τὸν Τισσαφέρνην ἀποφαίνειν φθείροντα τῶν Πελοποννησίων τὰ πράγματα μετὰ Ἀλκιβιάδου καὶ ἐπαμφοτερίζοντα. ἔχθρα δὲ πρὸς αὐτὸν ἦν αὐτῷ ἀεί ποτε περὶ τοῦ μισθοῦ τῆς ἀποδόσεως· καὶ τὰ τελευταῖα φυγόντος ἐκ Συρακουσῶν τοῦ Ἑρμοκράτους καὶ ἑτέρων ἡκόντων ἐπὶ τὰς ναῦς τῶν Συρακοσίων ἐς τὴν Μίλητον στρατηγῶν, Ποτάμιδος καὶ Μύσκωνος καὶ Λημάρχου,

---

§ 3. *καὶ δουλεύειν.* *δουλεύειν καί* Kr. Pp. bezieht jenes auf *καὶ ἐπιθεραπεύειν.*

C. 85. § 2. *δίγλωσσον.* zu 4, 109, 2. — *τῇ αὐτοῦ* für *τῇ αὐτοῦ* Hf. Gr. 47, 9 A. 12. — *ἐπαμφοτερίζοντα* zweideutig handle, auch den Gegnern Gunst beweisend. Ruhnken z. Tim. p. 107. (Abr.) Schneider zu Aristot. Rep. 7, 12, 6. vgl. eb. 8, 2, 2 u. Plut. Mar. 40 u. Luc. 30. (Kr.)

§ 3. *αὐτόν*, den Tissaphernes, *αὐτῷ*, dem Hermokrates. (Kr.) —

ἐνέκειτο ὁ Τισσαφέρνης φυγάδι ὄντι ἤδη τῷ Ἑρμοκράτει πολλῷ ἔτι μᾶλλον, καὶ κατηγόρει ἄλλα τε καὶ ὡς χρήματά ποτε αἰτήσας αὐτὸν καὶ οὐ τυχὼν την ἔχθραν οἱ πρόθοιτο. ὁ μὲν οὖν Ἀσιόχος καὶ οἱ Μιλήσιοι καὶ ὁ Ἑρμοκράτης 4
ἀπέπλευσαν ἐς τὴν Λακεδαίμονα, ὁ δ' Ἀλκιβιάδης διεβ-
βήκει πάλιν ἤδη παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον.

Καὶ οἱ ἐκ τῆς Λήλου ἀπὸ τῶν τετρακοσίων πρεσβευταί, 86
οὓς τότε ἔπεμψαν παραμυθησομένους καὶ ἀναδιδάξοντας τοὺς ἐν τῇ Σάμῳ, ἀφικνοῦνται παρόντος τοῦ Ἀλκιβιάδου, καὶ ἐκκλησίας γενομένης λέγειν ἐπεχείρουν. οἱ δὲ στρατιῶται τὸ μὲν πρῶτον οὐκ ἤθελον ἀκούειν, ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τὸν δῆμον καταλύοντας, ἔπειτα μέντοι μόλις ἡσυχά- 2
σαντες ἤκουσαν. οἱ δ' ἀπήγγελλον ὡς οὔτ' ἐπὶ διαφθορᾷ τῆς πόλεως ἡ μετάστασις γίγνοιτο ἀλλ' ἐπὶ σωτηρίᾳ, οὔθ' ἵνα τοῖς πολεμίοις παραδοθῇ — ἐξεῖναι γὰρ, ὅτε ἐσέβαλον ἤδη σφῶν ἀρχόντων, τοῦτο ποιῆσαι — τῶν τε πεντακισχιλίων ὅτι πάντες ἐν τῷ μέρει μεθέξουσιν, οἵ τε οἰκεῖοι αὐτῶν οὔθ' ὑβρίζονται, ὥσπερ Χαιρέας διαβάλλων ἀπήγγειλεν, οὔτε κακὸν ἔχουσιν οὐδέν, ἀλλ' ἐπὶ τοῖς σφετέροις αὐτῶν ἕκαστοι κατὰ χώραν μένουσιν. ἄλλα τε πολλὰ εἰπόντων οὐ- 3
δὲν μᾶλλον ἐσήκουον, ἀλλ' ἐχαλέπαινον καὶ γνώμας ἄλλοι ἄλλας ἔλεγον, μάλιστα δ' ἐπὶ τὸν Πειραιᾶ πλεῖν. καὶ ἐδό-
κει Ἀλκιβιάδης πρῶτον τότε καὶ οὐδενὸς ἔλασσον τὴν πόλιν

αὐτόν für αὐτόν Bk. — προὀθοιτο für προθεῖτο die beſten Hſn. Doch iſt wohl πρόσθοιτο zu leſen. Her. 7, 229: οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίαν προσθέσθαι, wo Bl. προθέσθαι will, was mir nicht recht erklärlich ſcheint.

C. 86 § 1. τότε 8, 72, 1. (Kr.) — παραμυθησομένους um zu beſchwigtigen. — τούς. zu 3, 81, 3.

§ 2. ἐξεῖναι der Inf. zu ἐξῆν es wäre ihnen möglich geweſen. Gr 53, 2 A. 7. — οὔθ' ἵνα. οὐδ' ἵνα Pp., ſo daß dem vorigen οὔτε erſt τῶν τε entſpräche. — ἐσέβαλον, οἱ Λακεδαιμόνιοι 8, 71, 2; ἐς — mit Bezug auf das Stadtgebiet. — τῶν πεντακισχιλίων μεθέξουσιν in die Zahl der Fünftauſend würden aufgenommen werden. (Ba.) — αὐτῶν, τῶν στρατιωτῶν. (Sch.) — ἀπήγγειλεν 74, 3. — ἔχουσιν, ὑπομένουσιν. So κακὸν ἔχειν οὐδέν Plut. T. 2 p. 161, b. (Abr.)

§ 3. πλεῖν von γνώμην ἔλεγον regiert, hier ſie äußerten als Vorſchlag. — πρῶτον für πρῶτος mehrere Hſn. Auch ſpäter nämlich wirkte er rettend. Gr. 57, 5 A. 3. — οὐδενὸς ἔλασσον. Gr. 47,

ὠφελῆσαι· ὡρμημένων γὰρ τῶν ἐν Σάμῳ Ἀθηναίων πλεῖν ἐπὶ σφᾶς αὐτούς, ἐν ᾧ σαφέστατα Ἰωνίαν καὶ Ἑλλήσποντον
4 εὐθὺς εἶχον οἱ πολέμιοι, κωλυτὴς γενέσθαι. καὶ ἐν τῷ τότε ἄλλος μὲν οὐδεὶς ἂν ἱκανὸς ἐγένετο κατασχεῖν τὸν ὅχλον, ἐκεῖνος δὲ τοῦ τ' ἐπίπλου ἔπαυσε καὶ τοὺς ἰδίᾳ τοῖς πρέσβεσιν ὀργιζομένους λοιδορῶν ἀπέτρεπεν. αὐτὸς δὲ ἀποκριτάμενος αὐτοῖς ἀπέπεμπεν ὅτι τοὺς μὲν πεντακισχιλίους οὐ κωλύοι ἄρχειν, τοὺς μέντοι τετρακοσίους ἀπαλλάσσειν ἐκέλευεν αὐτοὺς καὶ καθιστάναι τὴν βουλήν, ὥσπερ καὶ πρό-
5 τερον, τοὺς πεντακοσίους· εἰ δὲ ἐς εὐτέλειάν τι ξυντέτμηται ὥσιε τοὺς στρατευομένους μᾶλλον ἔχειν τροφήν, πάνυ ἐπαινεῖν. καὶ τἆλλα ἐκέλευεν ἀντέχειν καὶ μηδὲν εἰδιδόναι τοῖς πολεμίοις· πρὸς μὲν γὰρ σφᾶς αὐτοὺς σωζομένης τῆς πόλεως πολλὴν ἐλπίδα εἶναι καὶ ξυμβῆναι, εἰ δ' ἅπαξ τὸ ἕτερον σφαλήσεται, ἢ τὸ ἐν Σάμῳ ἢ κεῖνοι, οὐδ' ὅτῳ διαλλαγήσεταί τις ἔτι ἔσεσθαι.

6 Παρῆσαν δὲ καὶ Ἀργείων πρέσβεις, ἐπαγγελλόμενοι τῷ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων δήμῳ ὥστε βοηθεῖν· ὁ δὲ Ἀλκιβιάδης ἐπαινέσας αὐτοὺς καὶ εἰπὼν ὅταν τις καλῇ παρεῖναι οὕτως ἀπέπεμπεν. ἀφίκοντο δὲ οἱ Ἀργεῖοι μετὰ τῶν Παράλων, οἳ τότε ἐτάχθησαν ἐν τῇ στρατιώτιδι νηὶ ὑπὸ τῶν
7 τετρακοσίων περιπλεῖν Εὔβοιαν, καὶ ἄγοντες Ἀθηναίων ἐς Λακεδαίμονα ἀπὸ τῶν τετρακοσίων πεμπτοὺς πρέσβεις Λαισποδίαν καὶ Ἀριστοφῶντα καὶ Μελησίαν [οἱ] ἐπειδὴ ἐγέ-

---

27 A. 3. — σφᾶς αὐτούς die Athener in Attika. — ἐν ᾧ wobei. — σαφέστατα σαφέστατ' ἄν Dobree; doch ſ. Gr. 53, 10 A. 5.

§ 4. οὐδεὶς ἄν für οὐδ' ἄν εἷς die beſten Hſn., vielleicht mit Unrecht. — ἔπαυσε. παύσας mehrere gute Hſn. — κωλύοι. κωλύει mehrere gute Hſn. — τοὺς πεντακοσίους. Gr. 50, 7 A. 4.

§ 5. ἐς εὐτέλειαν. zu 8, 1, 4. — ἀντέχειν, ἤγουν ἀνθίστασθαι. (Sch.) — καὶ ξυμβῆναι nicht nur das Uebrige zu ordnen ſondern auch ſich auszuſöhnen. — ἢ κεῖνοι für ἢ ἐκεῖνο oder ἢ ἐκεῖνοι eine gute Hſ. Häufig ſteht κεῖνος nach einem Vocal bei Rednern, wie nach ἤ Iſokr. 5, 36. 8, 115. 10, 50, Dem. 18, 178. vgl. Bekker zu Dem. 4, 4, Lobeck z. Phryn. p. 7 u. Schneider zu Plat. Rep. 1 p. 154. (Pp.)

§ 6. ὥστε. zu 7, 86, 3. — τότε 8, 74, 2.

§ 7. πεμπτούς. πέμποντα viele und die beſten Hſn. — οἱ iſt mit Reiske zu tilgen.

νοντο πλέοντες καὶ ᾽Αργος, τοὺς μὲν πρέσβεις ξυλλαβόντες τοῖς ᾽Αργείοις παρέδοσαν ὡς τῶν οὐχ ἥκιστα καταλυσάντων τὸν δῆμον ὄντας, αὐτοὶ δὲ οὐκέτι ἐς τὰς ᾽Αθήνας ἀφίκοντο, ἀλλ᾽ ἄγοντες ἐκ τοῦ ᾽Αργους ἐς τὴν Σάμον τοὺς πρέσβεις ἀφικνοῦνται ἥπερ εἶχον τριήρει.

Τοῦ δ᾽ αὐτοῦ θέρους Τισσαφέρνης, κατὰ τὸν καιρὸν 87
τοῦτον ἐν ᾧ μάλιστα διά τε τἆλλα καὶ διὰ τὴν ᾽Αλκιβιάδου κάθοδον ἤχθοντο αὐτῷ οἱ Πελοποννήσιοι ὡς φανερῶς ἤδη ἀττικίζοντι, βουλόμενος, ὡς ἐδόκει δή, ἀπολύεσθαι πρὸς αὐτοὺς τὰς διαβολάς, παρεσκευάζετο πορεύεσθαι ἐπὶ τὰς Φοινίσσας ναῦς ἐς ᾽Ασπενδον, καὶ τὸν Λίχαν ξυμπορεύεσθαι ἐκέλευεν· τῇ δὲ στρατιᾷ προσιάξειν ἔφη Ταμώ̃ν, ἑαυτοῦ 2
ὕπαρχον, ὥστε τροφὴν ἐν ὅσῳ ἂν αὐτὸς ἀπῇ διδόναι. λέγεται δὲ οὐ κατὰ ταὐτό, οὐδὲ ῥᾴδιον εἰδέναι τίνι γνώμῃ παρῆλθεν ἐς τὴν ᾽Ασπενδον καὶ παρελθὼν οὐκ ἤγαγε τὰς ναῦς. ὅτι μὲν γὰρ αἱ Φοινισσαι νῆες ἑπτὰ καὶ τεσσαράκοντα καὶ ἑκατὸν μέχρι ᾽Ασπένδου ἀφίκοντο σαφές ἐστιν, διότι δὲ οὐκ ἦλθον πολλαχῇ εἰκάζεται. οἱ μὲν γὰρ ἵνα δι- 3
ατρίβῃ ἀπελθών, ὥσπερ καὶ διενοήθη, τὰ τῶν Πελοποννησίων — τροφὴν γοῦν οὐδὲν βέλτιον ἀλλὰ καὶ χεῖρον ὁ Ταμώς, ᾧ προσετάχθη, παρεῖχεν — οἱ δὲ ἵνα τοὺς Φοινικας προαγαγὼν ἐς τὴν ᾽Ασπενδον ἐκχρηματίσαιτο ἀφεῖς — καὶ γὰρ ὡς αὐτοῖς οὐδὲν ἔμελλε χρήσεσθαι — ἄλλοι δ᾽ ὡς καταβοῆς ἕνεκα τῆς ἐς Λακεδαίμονα, τοῦ λέγεσθαι ὡς οὐκ ἀδικεῖ ἀλλὰ καὶ σαφῶς οἴχεται ἐπὶ τὰς ναῦς ἀληθῶς πε-

---

C. 87. § 1. διὰ τἆλλα wegen der Besoldung und der nicht gehaltenen Versprechungen. (Ds.) — διὰ τήν für τήν eine gute Hs. — ἀττικίζοντι, τὰ τῶν ᾽Αθηναίων φρονοῦντι. (Sch.) — ἀπολύεσθαι beseitigen, sich rechtfertigen. vgl. 5, 75, 2. vgl. Ind. Dem.

§ 2. πολλαχῇ, κατὰ πολλοὺς τρόπους. (Sch.)

§ 3. οἱ μὲν γάρ, εἰκάζουσιν. Gr. 69, 14 A. 5. — διατρίβῃ. zu 78, 2. — ἐκχρηματίσαιτο ἀφεῖς um für die Entlassung von ihnen Geld zu erpressen. (Matth. § 557 p. 1296.) — καὶ γὰρ ὡς denn auch so, auch wenn er kein Geld erhalten hätte Kr.; denn obgleich er sie bis Aspendos führte Py. — καταβοῆς hier für Ruf zu nehmen veranlaßt ἕνεκα, obschon das Wort sonst bei Thuk. nur Anklage heißt. zu 1, 73, 1. Doch könnte es wohl auch hier Anklage von Seiten des Tissaphernes gegen die Beschuldigungen der Peloponnesier bedeuten. — τοῦ für τό Py., τῷ einige Hss.

4 πληρωμένας. ἐμοὶ μέντοι δοκεῖ σαφέστατον εἶναι τριβῆς ἕνεκα καὶ ἀναχωχῆς τῶν Ἑλληνικῶν τὸ ναυτικὸν οὐκ ἀγαγεῖν, φθορᾶς μὲν ἐν ὅσῳ παρῄει ἐκεῖσε καὶ διέμελλεν, ἀνισώσεως δέ, ὅπως μηδετέρους προσθέμενος ἰσχυροτέρους ποιήσῃ, ἐπεὶ εἴγε ἐβουλήθη διαπολεμῆσαι, ἐπιφανὲς δήπου οὐκ ἐνδοιαστῶς· κομίσας γὰρ ἂν Λακεδαιμονίοις τὴν νίκην κατὰ τὸ εἰκὸς ἔδωκεν, οἵ γε καὶ ἐν τῷ παρόντι ἀντιπάλως μᾶλλον ἢ
5 ὑποδεεστέρως τῷ ναυτικῷ ἀνθώρμουν. καταφορᾷ δὲ μάλιστα καὶ ἣν εἶπε πρόφασιν οὐ κομίσας τὰς ναῦς. ἔφη γὰρ αὐτὰς ἐλάσσους ἢ ὅσας βασιλεὺς ἔταξε ξυλλεγῆναι· ὁ δὲ χάριν ἂν δήπου ἐν τούτῳ μείζω ἔτι ἔσχεν, οὔτ' ἀναλώσας πολλὰ τῶν βασιλέως, τά τε αὐτὰ ἀπ' ἐλασσόνων πράξας. ἐς δ' οὖν τὴν Ἄσπενδον ἥτινι δὴ γνώμῃ ὁ Τισσαφέρνης ἀφικνεῖται καὶ τοῖς Φοίνιξι ξυγγίγνεται· καὶ οἱ Πελοποννήσιοι ἔπεμψαν ὡς ἐπὶ τὰς ναῦς κελεύσαντος αὐτοῦ Φίλιππον
88 ἄνδρα Λακεδαιμόνιον δύο τριήρεσιν. Ἀλκιβιάδης δὲ ἐπειδὴ καὶ τὸν Τισσαφέρνην ἤσθετο παριόντα ἐπὶ τῆς Ἀσπένδου, ἔπλει καὶ αὐτὸς λαβὼν τρεῖς καὶ δέκα ναῦς, ὑποσχόμενος τοῖς ἐν τῇ Σάμῳ ἀσφαλῆ καὶ μεγάλην χάριν — ἦ γὰρ αὐτὸς ἄξειν Ἀθηναίοις τὰς Φοινίσσας ναῦς ἢ Πελοποννησίοις γε κωλύσειν ἐλθεῖν — εἰδώς, ὡς εἰκός, ἐκ πλείονος τὴν Τισσαφέρνους γνώμην ὅτι οὐκ ἄξειν ἔμελλεν, καὶ βουλόμενος αὖ-

---

§ 4. ἀναχωχῆς Hinhalten. (Va.?) — ἐκεῖσε, ἐς τὴν Ἄσπενδον. (Sch.) — διέμελλεν, ἤγουν ἐβράδυνεν. (Sch.) — διαπολεμῆσαι ἄν Dobree, nach ἐβουλήθη ein Komma ſetzend. — ἐπιφανές glaubt Pp. ſtehe wie δηλονότι, οἶμαι, δοκεῖ ohne ὅτι außer der Conſtruction und ergänzt διεπολέμησεν ἄν. Beides unzuläſſig. Ich leſe ἐπιφανεῖς mit Reiske, und tilge γάρ, ſo daß mit κομίσας erg. τὰς ναῦς der Nachſatz anfängt. (Kr.) — ἀντιπάλως, ἤγουν ἰσοπάλως. (Sch.) Dies Adv. hat auch Thuk. ſonſt nicht gebraucht; ſtatthaft war auch ἀντίπαλοι.

§ 5. καταφορᾷ für καταφοράν ein Anonymos, beſtätigt von einigen Hſn, die jedoch meiſt καταφοράν haben. Der Sinn: Ueberführung gibt der Vorwand weswegen er die Flotte nicht herbeigeführt zu haben vorſchützte. (Abr. u. Dobree.) — ἔσχεν, παρέσχεν ἂν βασιλεῖ. (Sch.) hätte Gunſt bei ihm gehabt. (Va.) Eur. Hek. 830: ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων χάριν τιν' ἕξει παῖς ἐμή, κείνης δ' ἐγώ. (Pp.) — ἀπ' ἐλασσόνων mit geringeren Mitteln. Gr. 68, 16 A. 7. — ἥτινι δή. Gr. 51, 15 A. 1.

C. 88. τρεῖς καὶ δέκα für τρισκαίδεκα eine gute Hſ. zu 8,

τὸν τοῖς Πελοποννησίοις ἐς τὴν ἑαυτοῦ καὶ Ἀθηναίων φιλίαν ὡς μάλιστα διαβάλλειν, ὅπως μᾶλλον δι' αὐτὸ σφίσιν ἀναγκάζοιτο προσχωρεῖν. καὶ ὁ μὲν ἄρας εὐθὺ τῆς Φασήλιδος καὶ Καύνου ἄνω τὸν πλοῦν ἐποιεῖτο.

Οἱ δ' ἐκ τῆς Σάμου ἀπὸ τῶν τετρακοσίων πεμφθέντες 89
πρέσβεις ἐπειδὴ ἀφικόμενοι ἐς τὰς Ἀθήνας ἀπήγγειλαν τὰ παρὰ τοῦ Ἀλκιβιάδου, ὡς κελεύει τε ἀντέχειν καὶ μηδὲν ἐνδιδόναι τοῖς πολεμίοις, ἐλπίδας τε ὅτι πολλὰς ἔχει κἀκείνοις τὸ στράτευμα διαλλάξειν καὶ Πελοποννησίων περιέσεσθαι, ἀχθομένους καὶ πρότερον τοὺς πολλοὺς τῶν μετεχόντων τῆς ὀλιγαρχίας καὶ ἡδέως ἂν ἀπαλλαγέντας πῃ ἀσφαλῶς τοῦ πράγματος πολλῷ δὴ μᾶλλον ἐπέρρωσαν. καὶ ξυνί- 2
στασάν τε ἤδη καὶ τὰ πράγματα διεμέμφοντο, ἔχοντες ἡγεμόνας τῶν πάνυ στρατηγῶν τῶν ἐν τῇ ὀλιγαρχίᾳ καὶ ἐν ἀρχαῖς ὄντων, οἷον Θηραμένην τε τὸν Ἄγνωνος καὶ Ἀριστοκράτην τὸν Σκελλίου καὶ ἄλλους, οἳ μετέσχον μὲν ἐν τοῖς πρῶτοι τῶν πραγμάτων, φοβούμενοι δ', ὡς ἔφασαν, τό τ' ἐν τῇ Σάμῳ στράτευμα καὶ τὸν Ἀλκιβιάδην [σπουδῇ πάνυ], τούς τε ἐς τὴν Λακεδαίμονα πρεσβευομένους [ἔπεμπον], μὴ 3
τι ἄνευ τῶν πλειόνων κακὸν δράσωσι τὴν πόλιν, οὐ τὸ ἀπαλ-

22, 1. — *ἐς τήν*, zu 5, 75, 2. — *ἑαυτοῦ* für *αὐτοῦ* eine gute Hs. — *καὶ Καύνου*. Dasselbe Hysteronproteron 8, 108, 1. (Abr.) — *ἄνω*, gen Osten. (Ds.)

C. 89. § 1. *οἱ ἐκ τῆς Σάμου, ἐπανερχόμενοι*. (Ds.) — *τὰ παρὰ τοῦ*. Gr. 43, 4 A. 23.

§ 2. *διεμέμφοντο* ähnlich unserm durchziehen. — *τῶν πάνυ*. zu 8, 1, 1. — *στρατηγῶν τῶν*. *στρατηγούντων* Bk. — *ἐν πρώτοις*. *ἐν τοῖς πρώτοις* eine gute Hs., *ἐν τοῖς πρῶτοι* Bk. u. Dobree. vgl. zu 7, 19, 4. — *φοβούμενοι δέ, μετέσχον*, jedoch nur aus Furcht. — *δέ, ὡς*. *δὲ ἀδεῶς* mehrere Hs. — *σπουδῇ πάνυ* fügen viele und die besten Hsn. hinzu. *Σπουδῇ* findet sich bei Thuk. noch 8, 27, 3? (Pp.) — *ἔπεμπον* ist mit drei Hsn. zu tilgen. Andere wollen vorher *οὕς τε* für *τούς τε*. Allein nicht die Gesandten, *τοὺς πρεσβεύοντας*, fürchtete man, sondern die Parthei welche die Gesandten schickte, *τοὺς πρεσβευομένους*. — *ἄνευ τῶν πλειόνων* ohne Vorwissen oder Zustimmung der Majorität der verwaltungsberechtigten Bürger, was zu verhüten sie eben Theil genommen hätten. — *οὐ τό*. *οὐ τῶι* eine gute Hs., *οὕτω* ein Rand, *οὕτω γάρ* ein anderer; *οὕτοι* Pp., *οὔτε* Hl., vielmehr *οὐδέ*. Doch steckt hier wohl ein bedeutenderer Fehler. — *ἀπαλλάξειν*. *ἀπαλλαξείειν* Abr. aus dem Sch.: *ἔλεγον οὐχ ὅτι ἀπαλλαχτι-*

λάξειν τοῦ ἄγαν ἐς ὀλίγους ἐλθεῖν, ἀλλὰ τοὺς πεντακισχιλίους ἔργῳ καὶ μὴ ὀνόματι χρῆναι ἀποδεικνύναι καὶ τὴν πολιτείαν ἰσαιτέραν καθιστάναι. ἦν δὲ τοῦτο μὲν σχῆμα πολιτικὸν τοῦ λόγου αὐτοῖς, κατ' ἰδίας δὲ φιλοτιμίας οἱ πολλοὶ αὐτῶν τῷ τοιούτῳ προσέκειντο, ἐν ᾧπερ καὶ μάλιστα
4 ὀλιγαρχία ἐκ δημοκρατίας γενομένη ἀπόλλυται· πάντες γὰρ αὐθημερὸν ἀξιοῦσιν οὐχ ὅπως ἴσοι, ἀλλὰ καὶ πολὺ πρῶτος αὐτὸς ἕκαστος εἶναι· ἐκ δὲ δημοκρατίας αἱρέσεως γιγνομένης ῥᾷον τὰ ἀποβαίνοντα ὡς οὐκ ἀπὸ τῶν ὁμοίων ἐλασσούμενός τις φέρει. σαφέστατα δ' αὐτοὺς ἐπῆρε τὰ ἐν τῇ Σάμῳ τοῦ Ἀλκιβιάδου ἰσχυρὰ ὄντα καὶ ὅτι αὐτοῖς οὐκ ἐδόκει μόνιμον τὸ τῆς ὀλιγαρχίας ἔσεσθαι· ἠγωνίζετο οὖν εἷς ἕκαστος αὐτὸς
90 πρῶτος προστάτης τοῦ δήμου γενέσθαι. οἱ δὲ τῶν τετρακοσίων μάλιστα ἐναντίοι ὄντες τῷ τοιούτῳ εἴδει καὶ προεστῶτες Φρύνιχός τε, ὃς καὶ στρατηγήσας ἐν τῇ Σάμῳ [ποτὲ] τῷ Ἀλκιβιάδῃ τότε διηνέχθη, καὶ Ἀρίσταρχος, ἀνὴρ ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ, καὶ Πείσανδρος καὶ
2 Ἄντιφῶν καὶ ἄλλοι οἱ δυνατώτατοι πρότερόν τε, ἐπεὶ τά-

χως ἔχουσι τῆς ὀλιγαρχίας, ὅπερ ἦν ἀληθές, ἀλλ' ὅτι φοβοῦνται τοὺς ἐν Σάμῳ καὶ τὸν Ἀλκιβιάδην καὶ τοὺς ἀπιόντας ἐς Λακεδαίμονα πρέσβεις, μή τι οὗτοι κακὸν ἐργάσωνται τὴν πόλιν ὀλιγαρχίας γενομένης. — τοῦ ἄγαν ἐς ὀλίγους ἐλθεῖν, ἦγουν τῆς ἀκριβοῦς ὀλιγαρχίας. (Sch.)

§ 3. σχῆμα, πρόσχημα. (Hudson.) Arrian 2, 612, 96: ἀμφότεροι τῷ τῆς πόλεως σχήματι τοῦτο ἔπρασσον. (Bl.) Mehrere auch gute Hsn. τὸ σχῆμα, πρόσχημα Herm. zu Eur. Iph. A. 991. — πολιτικόν eine die Bürger zu gewinnen berechnete Form. — τοιούτῳ. τοιούτῳ εἴδει Sch. u. eine Hs., wohl aus 8, 90, 1, τοιούτῳ τρόπῳ mehrere. Der Sinn: sie gaben sich solchen Bestrebungen, Ränkemachereien hin. — ἐν ᾧπερ καί wobei, wodurch eben.

§ 4. οὐχ ὅπως Gr 67, 14 A. 3. — ἐκ δὲ — φέρει wo aber bei einer Demokratie Wahl statt gefunden erträgt man leichter das Ergebniß, etwanige Zurücksetzung, indem man nicht von Gleichen zurückgesetzt ist, sondern von einer theils unwissenden theils leidenschaftlichen Menge, theils auch vom Loose abhängt. — ὑπερβολήν nach ἕκαστος ist mit den besten Hsn. getilgt.

C. 90. § 1. τῶν τετρακοσίων. Ueber die Stellung zu 1, 126, 6. — ποτέ fehlt nur in schlechtern Hsn. und ist Glossem zum folgenden τότε (Abr.) statthaft wäre nur τότε. — ἐν τοῖς μάλιστα. zu 1, 6, 2.

χιστα κατέστησαν καὶ ἐπειδὴ τὰ ἐν τῇ Σάμῳ σφῶν ἐς δημοκρατίαν ἀπέστη, πρέσβεις τε ἀπέστελλον σφῶν ἐς τὴν Λακεδαίμονα καὶ τὴν ὁμολογίαν προὐθυμοῦντο καὶ τὸ ἐν τῇ Ἡετιωνείᾳ καλουμένῃ τεῖχος ἐποιοῦντο, πολλῷ τε μᾶλλον ἔτι, ἐπειδὴ καὶ οἱ ἐκ τῆς Σάμου πρέσβεις σφῶν ἦλθον, ὁρῶντες τούς τε πολλοὺς καὶ σφῶν τοὺς δοκοῦντας πρότερον πιστοὺς εἶναι μεταβαλλομένους. καὶ ἀπέστειλαν μὲν Ἀντιφῶντα καὶ 3
Φρύνιχον καὶ ἄλλους δέκα κατὰ τάχος, φοβούμενοι καὶ τὰ αὐτοῦ καὶ τὰ ἐκ τῆς Σάμου, ἐπιστείλαντες παντὶ τρόπῳ, ὅστις καὶ ὁπωσοῦν ἀνεκτός, ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους, ᾠκοδόμουν δὲ ἔτι προθυμότερον τὸ ἐν τῇ Ἡετιωνείᾳ τεῖχος. ἦν δὲ τοῦ τείχους ἡ γνώμη αὕτη, ὡς ἔφη Θηραμένης 4
καὶ οἱ μετ' αὐτοῦ, οὐχ ἵνα τοὺς ἐν Σάμῳ, ἢν βίᾳ ἐπιπλέωσι, μὴ δέξωνται ἐς τὸν Πειραιᾶ, ἀλλ' ἵνα τοὺς πολεμίους μᾶλλον, ὅταν βούλωνται, καὶ ναυσὶ καὶ πεζῷ δέξωνται. χηλὴ γάρ ἐστι τοῦ Πειραιῶς ἡ Ἡετιωνεία, καὶ παρ' αὐτὴν εὐθὺς ὁ ἔσπλους ἐστίν. ἐτειχίζετο οὖν οὕτω ξὺν τῷ πρότερον πρὸς 5
ἤπειρον ὑπάρχοντι τείχει, ὥστε καθεζομένων ἐς αὐτὸ ἀνθρώπων ὀλίγων ἄρχειν τοῦ γε ἔσπλου· ἐπ' αὐτὸν γὰρ τὸν ἐπὶ τῷ στόματι τοῦ λιμένος στενοῦ ὄντος τὸν ἕτερον πύργον ἐτελεύτα τό τε παλαιὸν τὸ πρὸς ἤπειρον καὶ τὸ ἐντὸς τὸ καινο-

---

§ 2. *κατέστησαν* eingetreten waren als Mitglieder der Vierhundert. (St.) — *σφῶν*. Gr. 47, 9. — *ὁμολογίαν* für *ὀλιγαρχίαν* eine gute Hs.; über den Ac. zu 5, 17, 1. — *τε μᾶλλον*. *τι μᾶλλον*? Doch kann man die vorhergehenden Verba ergänzen, wobei freilich *καί* zu erwarten wäre.

§ 3. *αὐτοῦ, ἦγουν ἐν Ἀθήναις*. (Sch.) — *καὶ ὁπωσοῦν*. Plat. Ges. 905 d: *ἐπάκουε, εἰ νοῦν καὶ ὁπωσοῦν ἔχεις*. vgl. Gr. 51, 15 A. 3. — *ἀνεκτός. τουτέστιν ᾠτινιοῦν ἀνεκτῷ τρόπῳ* Sch., der also *ἀνεκτῶς*, was mehrere gute Hsn. bieten, ohne *ὅστις* las. — *Ἡετιωνείᾳ. Ἡετιωνίᾳ* mehrere gute Hsn., einige § 4, wie auch 92, 2 u. 4. vgl. Lobeck z. Soph. Aj. p. 116.

§ 4. *ἡ γνώμη* die Absicht, ähnlich Xen. An. 1, 8, 10. — *χηλή*. zu 1, 63, 1. — *τοῦ γε. τοῦ τε* die meisten u. besten Hsn., bloß *τοῦ* einige.

§ 5. *ἐτειχίζετο, τὸ τεῖχος*. (Pp.) — *τὸν ἐπὶ — τόν*. Ueber den Artikel Gr. 50, 9 A. 1. — *τὸ ἐντὸς τὸ καινὸν τεῖχος* für *τὸ καινὸν τὸ ἐντὸς τοῦ τείχους* eine gute Hs. u. Va. Bei der alten La. müßte nicht *τοῦ τείχους*, sondern, wie Reiske wollte, *τοῦ παλαιοῦ* (*τείχους*) stehen. (Pp.)

6 νὸν τεῖχος τειχιζόμενον πρὸς θάλασσαν. διῳκοδόμησαν δὲ καὶ στοάν, ἥπερ ἦν μεγίστη καὶ ἐγγύτατα τούτου εὐθὺς ἐχομένη ἐν τῷ Πειραιεῖ, καὶ ἦρχον αὐτοὶ αὐτῆς, ἐς ἣν καὶ τὸν σῖτον ἠνάγκαζον πάντας τὸν ὑπάρχοντά τε καὶ τὸν ἐσπλέοντα
91 ἐξαιρεῖσθαι καὶ ἐντεῦθεν προαιροῦντας πωλεῖν. ταῦτ' οὖν ἐκ πλείονός τε ὁ Θηραμένης διεθρόει καὶ ἐπειδὴ οἱ ἐκ τῆς Λακεδαίμονος πρέσβεις οὐδὲν πράξαντες ἀνεχώρησαν τοῖς ξύμπασι ξυμβατικόν, φάσκων κινδυνεύσειν τὸ τεῖχος τοῦτο καὶ τὴν πόλιν διαφθεῖραι. ἅμα γὰρ καὶ ἐκ τῆς Πελοποννήσου ἐτύγχανον Εὐβοέων ἐπικαλουμένων κατὰ τὸν αὐτὸν χρόνον τοῦτον δύο καὶ τεσσαράκοντα νῆες, ὧν ἦσαν καὶ ἐκ Τάραντος καὶ Λοκρῶν Ἰταλιώτιδες καὶ Σικελικαί τινες, ὁρμοῦσαι ἤδη ἐπὶ Λᾷ τῆς Λακωνικῆς καὶ παρασκευαζόμεναι
2 τὸν ἐς τὴν Εὔβοιαν πλοῦν· ἦρχε δ' αὐτῶν Ἀγησανδρίδας Ἀγησάνδρου, Σπαρτιάτης· ἃς ἔφη Θηραμένης οὐκ Εὐβοίᾳ μᾶλλον ἢ τοῖς τειχίζουσι τὴν Ἠετιώνειαν προσπλεῖν, καὶ εἰ μή τις ἤδη φυλάξεται, λήσειν διαφθαρέντας. ἦν δέ τι καὶ τοιοῦτον ἀπὸ τῶν τὴν κατηγορίαν ἐχόντων, καὶ οὐ πάνυ διά-
3 βολὴ μόνον τοῦ λόγου. ἐκεῖνοι γὰρ μάλιστα μὲν ἐβούλοντο ὀλιγαρχούμενοι ἄρχειν καὶ τῶν ξυμμάχων, εἰ δὲ μή, τάς τε ναῦς καὶ τὰ τείχη ἔχοντες αὐτονομεῖσθαι, ἐξειργόμενοι δὲ καὶ τούτου μὴ οὖν ὑπὸ τοῦ δήμου γε αὖθις γενομένου αὐτοὶ πρὸ τῶν ἄλλων μάλιστα διαφθαρῆναι, ἀλλὰ καὶ τοὺς πολεμίους ἐσαγαγόμενοι ἄνευ τειχῶν καὶ νεῶν ξυμβῆναι καὶ ὁπωσοῦν

---

§ 6. στοάν. Sch. Ar. Ekkl. 14: τὰ μὲν ταμεῖα ἐν οἷς ὁ σῖτος στοὰς λέγουσι· καὶ γὰρ παραμήκη. vgl. Poll. 9, 44. Oefter werden στοαί als Waffenniederlagen erwähnt, Xen. Hell. 5, 4, 8, Polyb. 5, 8, 9. Arr. An. 1, 23, 2. — ἐξαιρεῖσθαι, ἐκβάλλειν, ἐκκομίζεσθαι. (Sch.) zu 28, 1. — τὸν ἐσπλέοντα für ἐπιπλέοντα eine gute Hs. vgl zu 3, 51, 2.

C. 91. § 1. τε ὁ für ὁ eine gute Hs. — διεθρόει. zu 6, 46, 4. — καὶ ἐπειδή, καὶ διεθρόει ἐπειδή. (Ba.) — τοῖς ξύμπασι für alle Athener, sondern bloß für die Oligarchen. (Hk.) — ἐκ vor Λοκρῶν ist mit einer guten Hs. getilgt. Λᾷ hat nur dieselbe.

§ 2. διαφθαρέντας. διαφθαρέντες? da der Redende selbst dem Subjectbegriffe (σφεῖς) angehört. zu 6, 25, 3. — ἦν ἀπό es ging aus von (Bs.), sie arbeiteten darauf hin. — ἐχόντων hatten, erlitten. (Bs.) So αἰτίαν ἔχειν 4, 114, 5. (Arn.) u. 6, 14.

§ 3. δήμου γε für δήμου τε Sch. u. Hk. — καὶ ὁπωσοῦν. Gr. 51, 15 A. 3. Denn ἔχειν hängt von ξυμβῆναι ab. zu 1, 117, 3.

οὖν τὰ τῆς πόλεως ἔχειν, εἰ τοῖς γε σώμασι σφῶν ἄδεια
ἔσιαι. διόπερ καὶ τὸ τεῖχος τοῦτο, καὶ πυλίδας ἔχον καὶ 92
ἐσόδους καὶ ἐπεισαγωγὰς τῶν πολεμίων, ἐτείχιζόν τε προ-
θύμως καὶ φθῆναι ἐβούλοντο ἐξεργασάμενοι. πρότερον μὲν
οὖν κατ' ὀλίγους τε καὶ κρύφα μᾶλλον τὰ λεγόμενα ἦν·
ἐπειδὴ δὲ ὁ Φρύνιχος ἥκων ἐκ τῆς ἐς Λακεδαίμονα πρεσβείας 2
πληγεὶς ὑπ' ἀνδρὸς τῶν περιπόλων τινὸς ἐξ ἐπιβουλῆς ἐν τῇ
ἀγορᾷ πληθούσῃ καὶ οὐ πολὺ ἀπὸ τοῦ βουλευτηρίου ἀπελθὼν
ἀπέθανε παραχρῆμα, καὶ ὁ μὲν παιάξας διέφυγεν, ὁ δὲ ξυν-
εργός, Ἀργεῖος ἄνθρωπος, ληφθεὶς καὶ βασανιζόμενος ὑπὸ
τῶν τετρακοσίων οὐδενὸς ὄνομα τοῦ κελεύσαντος εἶπεν, οὐδὲ
ἄλλο τι ἢ ὅτι εἰδείη πολλοὺς ἀνθρώπους καὶ ἐς τοῦ περι-
πολάρχου καὶ ἄλλοσε κατ' οἰκίας ξυνιόντας, τότε δὴ οὐδενὸς 3
γεγενημένου ἀπ' αἰτοῦ νεωτέρου καὶ ὁ Θηραμένης ἤδη θρα-
σύτερον καὶ Ἀριστοκράτης καὶ ὅσοι ἄλλοι τῶν τετρακοσίων
αὐτῶν καὶ τῶν ἔξωθεν ἦσαν ὁμογνώμονες ἦεσαν ἐπὶ τὰ
πράγματα. ἅμα γὰρ καὶ ἀπὸ τῆς Λᾶς αἱ νῆες ἤδη περιπε-
πλευκυῖαι καὶ ὁρμισάμεναι ἐς τὴν Ἐπίδαυρον τὴν Αἴγιναν
κατεδεδραμήκεσαν· καὶ οὐκ ἔφη ὁ Θηραμένης εἰκὸς εἶναι 4
ἐπ' Εὔβοιαν πλεούσας αὐτὰς ἐς Αἴγιναν κατακολπίσαι καὶ
πάλιν ἐν Ἐπιδαύρῳ ὁρμεῖν, εἰ μὴ παραχληθεῖσαι ἥκοιεν
ἐφ' οἱσπερ καὶ αὐτὸς ἀεὶ κατηγόρει· οὐκέτι οὖν οἱόν τε εἶναι
ἡσυχάζειν. τέλος δὲ πολλῶν καὶ στασιωτικῶν λόγων καὶ
ὑποψιῶν προσγενομένων καὶ ἔργῳ ἤδη ἥπτοντο τῶν πραγμά-

C. 92. § 1. ἐπεισαγωγάς Einlaßorte.

§ 2. πληγεὶς —. Ueber die Sache Kr. z. Dion. p. 384. — τινός könnte fehlen. — ἐξ ἐπιβουλῆς nach einem überlegten Plane. Wesseling zu Diod. 13, 27. — ἐν τῇ ἀγορᾷ πληθούσῃ ist nicht Zeitangabe, wie ἔν zeigt. (Ba.) — τοῦ κελεύσαντος für κελεύσαντος die besten Hss. Der Artikel steht hier wie in οὐδεὶς ἦν ὁ κελεύσας, οὐδένα ὠνόμασε τὸν κελεύσαντα. Gr. 50, 4 A. 3. — ἐς τοῦ π. in die Wohnung des P.

§ 3. ἀπ' αὐτοῦ aus dieser Sache. (Ba.) μετὰ τὸν φόνον τοῦ Φρυνίχου. (Sch.) — τῶν τετ. τῶν τε τετ.? — τῶν ἔξωθεν derer die nicht zu den Vierhundert gehörten. (Sch.) — ἦεσαν ἐπί. vgl. § 4 (ἥπτοντο) u. 10 u. zu 1, 89, 1.

§ 4. εἰς Αἴγιναν καταχολπίσαι, εἰς τὸν τῆς Αἰγίνης κόλπον πλεῦσαι. (Sch.) vgl. Pol. 34, 12, 10. (Schneider.) — καί vor αὐτός gehört zu οἱσπερ.

5 των· οἱ γὰρ ἐν τῷ Πειραιεῖ τὸ τῆς Ἠετιωνείας τεῖχος ὁπλῖται οἰκοδομοῦντες, ἐν οἷς καὶ Ἀριστοκράτης ἦν, ταξιαρχῶν καὶ τὴν ἑαυτοῦ φυλὴν ἔχων, ξυλλαμβάνουσιν Ἀλεξικλέα, στρατηγὸν ὄντα ἐκ τῆς ὀλιγαρχίας καὶ μάλιστα πρὸς τοὺς ἑτέρους
6 τετραμμένον, καὶ ἐς οἰκίαν ἀγαγόντες εἶρξαν. ξυνεπελάβοντο δὲ αὐτοῖς ἅμα καὶ ἄλλοι καὶ Ἕρμων τις τῶν περιπόλων τῶν Μουνυχίασι τεταγμένων ἄρχων· τὸ δὲ μέγιστον, τῶν ὁπλιτῶν τὸ σῖφος ταῦτα ἐβούλετο. ὡς δ' ἐσηγγέλθη τοῖς τετρακοσίοις — ἔτυχον δ' ἐν τῷ βουλευτηρίῳ ξυγκαθήμενοι — εὐθύς, πλὴν ὅσοις μὴ βουλομένοις ταῦτ' ἦν, ἑτοῖμοι ἦσαν ἐς τὰ ὅπλα ἰέναι καὶ τῷ Θηραμένει καὶ τοῖς μετ' αὐ-
7 τοῦ ἠπείλουν. ὁ δ' ἀπολογούμενος ἑτοῖμος ἔφη εἶναι ξυναφαιρησόμενος ἰέναι ἤδη. καὶ παραλαβὼν ἕνα τῶν στρατηγῶν, ὃς ἦν αὐτῷ ὁμογνώμων, ἐχώρει ἐς τὸν Πειραιᾶ· ἐβοήθει δὲ καὶ Ἀρίσταρχος καὶ τῶν ἱππέων νεανίσκοι. ἦν δὲ θόρυβος πολὺς καὶ ἐκπληκτικός· οἵ τε γὰρ ἐν τῷ ἄστει ἤδη ᾠοντο τόν τε Πειραιᾶ κατειλῆφθαι καὶ τὸν ξυνειλημμένον τεθνάναι, οἵ τ' ἐν τῷ Πειραιεῖ τοὺς ἐκ τοῦ ἄστεος ὅσον
8 οὔπω ἐπὶ σφᾶς παρεῖναι. μόλις δὲ τῶν τε πρεσβυτέρων διακωλυόντων τοὺς ἐν τῷ ἄστει διαθέοντας καὶ ἐπὶ τὰ ὅπλα φερομένους καὶ Θουκιδίδου τοῦ Φαρσαλίου τοῦ προξένου τῆς πόλεως παρόντος καὶ προθύμως ἐμποδών τε ἑκάστοις γιγνομένου καὶ ἐπιβοωμένου μὴ ἐφεδρευόντων ἐγγὺς τῶν πολεμίων ἀπολέσαι τὴν πατρίδα, ἡσύχασάν τε καὶ σφῶν αὐ-
9 τῶν ἀπέσχοντο. καὶ ὁ μὲν Θηραμένης ἐλθὼν ἐς τὸν Πειραιᾶ — ἦν δὲ καὶ αὐτὸς στρατηγός — ὅσον καὶ ἀπὸ βοῆς

---

§ 5. ἑταίρους die beſten Hſn.; ἑτέρους ſonſt, was ſehr wohl erklärlich. zu 3, 73, 1.

§ 6. ταῦτα. ταὐτά St. doch ſ. bald darauf, 2, 79, 2. 6, 74, 2. vgl. 4, 113, 1. 8, 84, 2. (Haaſe.) — πλὴν ὅσοις μή. πλὴν μὴ ὅσοις Haaſe, wenn man μή nicht tilgen wolle. — βουλομένοις. Gr. 48, 6 A. 4. — ἐς τὰ ὅπλα. Gewöhnlich ἐπὶ τὰ ὅπλα. Bei ἐς wird der Platz bezeichnet.

§ 7. ξυναφαιρησόμενος, τὸν Ἀλεξικλέα. (Ps.) — ἐκπληκτικός, ἤγουν ἔκπληξιν ποιῶν. (Sch.)

§ 8. μόλις für μόγις Pv. — ἐγγύς. ἔτι die beſten Hſn.

§ 9. ὅσον ἀπὸ βοῆς ἕνεκα verbindet auch Xen. Hell. 2, 4, 31. (Waſſe.) ſo weit es durch Geſchrei möglich war, bloß mit

ἕνεκα ὠργίζετο τοῖς ὁπλίταις· ὁ δ' Ἀρίσταρχος καὶ οἱ ἐναντίοι τῷ ἀληθεῖ ἐχαλέπαινον. οἱ δὲ ὁπλῖται ὁμόσε τε ἐχώρουν οἱ πλεῖστοι τῷ ἔργῳ καὶ οὐ μετεμέλοντο, καὶ τὸν Θηραμένην ἠρώτων εἰ δοκεῖ αὐτῷ ἐπ' ἀγαθῷ τὸ τεῖχος οἰκοδομεῖσθαι καὶ εἰ ἄμεινον εἶναι καθαιρεθέν. ὁ δέ, εἴπερ 10
καὶ ἐκείνοις δοκεῖ καθαιρεῖν, καὶ ἑαυτῷ ἔφη ξυνδοκεῖν. καὶ ἐνιεῦθεν εὐθὺς ἀναβάντες οἵ τε ὁπλῖται καὶ πολλοὶ τῶν ἐκ τοῦ Πειραιῶς ἀνθρώπων καιέσκαπτον τὸ τείχισμα. ἦν δὲ πρὸς τὸν ὄχλον ἡ παράκλησις ὡς χρή, ὅστις τοὺς πεντακισχιλίους βούλεται ἄρχειν ἀντὶ τῶν τετρακοσίων, ἰέναι ἐπὶ τὸ ἔργον. ἐπεκρύπτοντο γὰρ ὅμως ἔτι τῶν πεντακισχιλίων τῷ 11
ὀνόματι, μὴ ἄντικρυς δῆμον ὅστις βούλεται ἄρχειν ὀνομάζειν, φοβούμενοι μὴ τῷ ὄντι ὦσι καὶ πρός τινα εἰπών τις τι ἀγνοίᾳ σφαλῇ. καὶ οἱ τετρακόσιοι διὰ τοῦτο οὐκ ἤθελον τοὺς πεντακισχιλίους οὔτ' εἶναι οὔτε μὴ ὄντας δήλους εἶναι, τὸ μὲν καταστῆσαι μετόχους τοσούτους ἄντικρυς ἂν δῆμον ἡγούμενοι, τὸ δ' αὖ ἀφανὲς φόβον ἐς ἀλλήλους παρέξειν.

Τῇ δ' ὑστεραίᾳ οἱ μὲν τετρακόσιοι ἐς τὸ βουλευτήριον 93
ὅμως καὶ τεθορυβημένοι ξυνελέγοντο· οἱ δ' ἐν τῷ Πειραιεῖ ὁπλῖται τόν τε Ἀλεξικλέα, ὃν ξυνέλαβον, ἀφέντες καὶ τὸ τείχισμα καθελόντες ἐς τὸ πρὸς τῇ Μουνυχίᾳ Διονυσιακὸν θέατρον ἐλθόντες καὶ θέμενοι τὰ ὅπλα ἐξεκλησίασαν, καὶ δόξαν αὐτοῖς εὐθὺς ἐχώρουν ἐς τὸ ἄστυ καὶ ἔθεντο ἐν τῷ

Schreien, nicht durch die That. (Wyttenbach.) vgl. Hermann zu Soph. Phil. 550. Das *καί* eben haben die besten Hss. — *ἀληθεῖ* für *πλήθει* mehrere Hss. u. Va.: re vera. Doch zweifelt Pp. ob *τῷ ἀληθεῖ* eben so gebraucht worden sei wie *τῇ ἀληθείᾳ*. Allein Th. gebraucht die Neutra der Adjectiva mehrfach in ungewöhnlicher Weise; vereinzelt ist auch *μετὰ τοῦ ἀληθοῦς* 6, 59, 2; und der Gegensatz fordert diese La. — *καὶ εἰ, δοκεῖ.* (Kr.)

§ 11. *ὅμως* obgleich auf die Demokratie hinarbeitend, dennoch. (A. Ps.) — *μή.* zu 2, 53, 1. — *ὦσι, οἱ πεντακισχίλιοι*, daß sie erwählt seien. (Ps.) — *πρός τινα, ὅς ἐστι τῶν πεντακισχιλίων, ἀγνοῶν ὅτι ἐστὶν εἷς ἐκείνων, ἐν κινδύνῳ γένηται.* (Sch.)

C. 93. § 1. *τὸ ἐν τῷ Πειραιεῖ* fügen die besten Hss. u. Va. nach *Διονυσιακόν* hinzu. — *ἐξεκλησίασαν* für *ἐξεκκλησίασαν* eine Hs. vgl. Dem. 21, 193, *ἐξεκλησίαζον* Lys. 13, 73. 76 u. Xen. Hell. 5, 3, 16. *ἐκκλησίαζον* Dem. 18, 265. 19, 60. Wohl fehlerhaft ist *ἐκκλησίαζον*

2 Ἀναχείῳ τὰ ὅπλα. ἐλθόντες δὲ ἀπὸ τῶν τετρακοσίων τινὲς
ἠρημένοι πρὸς αὐτοὺς ἀνὴρ ἀνδρὶ διελέγοντό τε καὶ ἔπειθον
οὓς ἴδοιεν ἀνθρώπους ἐπιεικεῖς αὐτούς τε ἡσυχάζειν καὶ τοὺς
ἄλλους παρακατέχειν, λέγοντες τούς τε πεντακισχιλίους ἀπο-
φανεῖν καὶ ἐκ τούτων ἐν μέρει, ᾗ ἂν τοῖς πεντακισχιλίοις
δοκῇ, τοὺς τετρακοσίους ἔσεσθαι, τέως δὲ τὴν πόλιν μηδενὶ
3 τρόπῳ διαφθείρειν μηδ' ἐς τοὺς πολεμίους ἀνῶσαι. τὸ δὲ
πᾶν πλῆθος τῶν ὁπλιτῶν ἀπὸ πολλῶν καὶ πρὸς πολλοὺς
λόγων γιγνομένων ἠπιώτερον ἦν ἢ πρότερον, καὶ ἐφοβεῖτο
μάλιστα περὶ τοῦ παντὸς πολιτικοῦ· ξυνεχώρησάν τε ὥστ' ἐς
ἡμέραν ῥητὴν ἐκκλησίαν ποιῆσαι ἐν τῷ Διονυσίῳ περὶ ὁμο-
94 νοίας. ἐπειδὴ δὲ ἐπῆλθεν ἡ ἐν Διονύσου ἐκκλησία καὶ ὅσον
οὐ ξυνειλεγμένοι ἦσαν, ἀγγέλλονται αἱ δύο καὶ τεσσαράκοντα
νῆες καὶ ὁ Ἀγησανδρίδας ἀπὸ τῶν Μεγάρων τὴν Σαλαμῖνα
παραπλεῖν· καὶ πᾶς τις τῶν πολλῶν αὐτὸ τοῦτο ἐνόμιζεν
εἶναι τὸ πάλαι λεγόμενον ὑπὸ Θηραμένους καὶ τῶν μετ' αὐ-
τοῦ, ὡς ἐς τὸ τείχισμα ἔπλεον αἱ νῆες, καὶ χρησίμως ἐδόκει
2 καταπεπωκέναι. ὁ δὲ Ἀγησανδρίδας τάχα μέν τι καὶ ἀπὸ
ξυγκειμένου λόγου περί τε τὴν Ἐπίδαυρον καὶ ταύτῃ ἀνεστρέ-
φετο, εἰκὸς δ' αὐτὸν καὶ πρὸς τὸν παρόντα στασιασμὸν τῶν
Ἀθηναίων, δι' ἐλπίδος ὡς κἂν ἐς δέον παραγένοιτο, ταύτῃ
3 ἀνέχειν. οἱ δ' αὖ Ἀθηναῖοι, ὡς ἠγγέλθη αὐτοῖς, εὐθὺς
δρόμῳ ἐς τὸν Πειραιᾶ πανδημεὶ ἐχώρουν ὡς τοῦ ἰδίου πο-

Lys. 12, 73. — *Ἀναχείῳ, Διοσκούρων ναῷ· ἄναχες γὰρ οἱ Διόσκουροι.* (Sch.)

§ 2. *ἐπιεικεῖς.* zu 3, 4, 2. — *διαφθείρειν, λέγοντες*, hier in der Bedeutung auffordernd. zu 1, 28, 3. — *ἐς* für *εἰς* Gö. — *ἀνῶσαι, ἀνατραπεῖσαν ἐς τὰς τῶν πολεμίων χεῖρας ἐμβάλλειν.* (Sch.)

§ 3. *πολιτικοῦ, πολιτείας.* (Sch.) Wohl mehr Bürgerschaft.

C. 94. § 1. *ἐν Διονύσου.* Gr. 43, 3 A. 6. — *πολλῶν* für *ὁπλιτῶν* eine gute Hs. u. V. *πολλῶν ὁπλιτῶν* viele Hsn.

§ 2. *τάχα μέν τι.* Gr. 51, 16 A. 5. — *ἀπὸ ξυγκειμένου.* Gr. 68, 16 A. 8. vgl zu 3, 70, 2. — *λόγου* kann verdächtig scheinen; ex composito Va. — *ἀνέχειν.* zu 2, 18, 3.

§ 3. *ὡς τοῦ — ὄντος* in der Meinung daß der einheimische Kampf, die Gefahr von Seiten der Vierhundert, größer sei als die von den Feinden, nicht fern sondern an dem Hafen selbst, dessen sich die Vierhundert, wie man argwöhnte, bemächtigen wollten, um

λέμου μείζονος ἢ ἀπὸ τῶν πολεμίων οὐχ ἑκὰς ἀλλὰ πρὸς τῷ λιμένι ὄντος. καὶ οἱ μὲν ἐς τὰς παρούσας ναῦς ἐσέβαινον, οἱ δὲ ἄλλας καθεῖλκον, οἱ δέ τινες ἐπὶ τὰ τείχη καὶ τὸ στόμα τοῦ λιμένος παρεβοήθουν. αἱ δὲ τῶν Πελοποννησίων 95
νῆες παραπλεύσασαι καὶ περιβαλοῦσαι Σούνιον ὁρμίζονται μεταξὺ Θορικοῦ τε καὶ Πρασιῶν, ὕστερον δὲ ἀφικνοῦνται ἐς Ὠρωπόν. Ἀθηναῖοι δὲ κατὰ τάχος καὶ ἀξυγκροτήτοις πληρώμασιν ἀναγκασθέντες χρήσασθαι, οἷα πόλεώς τε στασιαζούσης καὶ περὶ τοῦ μεγίστου ἐν τάχει βουλόμενοι βοηθῆσαι — Εὔβοια γὰρ αὐτοῖς ἀποκεκλημένης τῆς Ἀττικῆς πάντα ἦν — πέμπουσι Θυμοχάρην στρατηγὸν καὶ ναῦς ἐς Ἐρέτριαν, ὧν ἀφικομένων ξὺν ταῖς πρότερον ἐν Εὐβοίᾳ οὔσαις ἑξ καὶ τριάκοντα ἐγένοντο. καὶ εὐθὺς ναυμαχεῖν ἠναγκάζοντο· ὁ γὰρ Ἀγησανδρίδας ἀριστοποιησάμενος ἐκ τοῦ 2
Ὠρωποῦ ἀνῆγε τὰς ναῦς, ἀπέχει δὲ μάλιστα ὁ Ὠρωπὸς τῆς τῶν Ἐρετριέων πόλεως θαλάσσης μέτρον ἑξήκοντα σταδίους. ὡς οὖν ἐπέπλει, εὐθὺς ἐπλήρουν καὶ οἱ Ἀθηναῖοι τὰς ναῦς, οἰόμενοι σφίσι παρὰ ταῖς νυυσὶ τοὺς στρατιώτας εἶναι· οἱ δ' ἔτυχον οὐκ ἐκ τῆς ἀγορᾶς ἄριστον ἐπισιτιζόμενοι — οὐδὲν γὰρ ἐπωλεῖτο ἀπὸ προνοίας τῶν Ἐρετριέων — ἀλλ' ἐκ τῶν ἐπ' ἔσχατα τοῦ ἄστεος οἰκιῶν, ὅπως σχολῇ πληρουμένων

---

ihn den Feinden zu überliefern. (Kr.) — *ἴδιον. οἰκεῖος πόλεμος* Plat. Menex. 243, e. — *παρούσας. ὁρμούσας?*

C. **95.** § 1. *περιβαλοῦσαι.* Nach der Analogie von *διαβάλλειν*, aber ungewöhnlich. (Pp.) — *ἀξυγκροτήτοις* nicht eingeübt. (Br.) Dem. 2, 17: *συγκεκροτημένοι τὰ τοῦ πολέμου.* Die Metapher meinen der Sch. zu Soph. Ant. 430 u. Dorvill. z. Char. p. 86 sei von gehämmerten Metallen entlehnt. (Pp.) — *πόλεως. τῆς πόλεως?* doch s. 1, 10, 3. — *πάντα ἦν.* Gr. 43, 4 A. 14 u. Herm. z. Vig. 95. — *Θυμοχάρην* für *Θυμόχαριν* die besten Hss.

§ 2. *ἀπέχει* für *διέχει* die besten Hss., vielleicht mit Unrecht. — *Ἐρετριέων. Ἐρετριῶν* eine gute Hs. — *μέτρον.* Xen. Hell. 3, 2, 10: *μετρῶν εὗρε τοῦ ἰσθμοῦ ἑπτὰ καὶ τριάκοντα στάδια.* lies *μέτρον.* — *θαλάσσης. ἦγουν οἱ ἑξήκοντα στάδιοι πάντες θάλαττά εἰσιν.* (Sch.) vgl. zu 2, 86, 2. — *οὐδὲν — Ἐρετριέων* sollte eigentlich vor *ὅπως* stehen. — *ἀπὸ προνοίας, ἀντὶ τοῦ ἀπὸ γνώμης καὶ παρασκευῆς.* (Sch.) — *ἔσχατα. ἐσχατιᾷ* vermuthet Valckenaer zu Theokr. Adon. T. 2. p. 61. Heindorf. Jenes ist zu vergleichen mit *ἐπ' ἐκεῖνα, ἐπὶ*

φθάσειαν οἱ πολέμιοι προσπεσόντες καὶ ἐξαναγκάσειαν τοὺς
3 Ἀθηναίους οὕτως ὅπως τύχοιεν ἀνάγεσθαι. σημεῖον δ' αὐτοῖς ἐς τὸν Ὠρωπὸν ἐκ τῆς Ἐρετρίας, ὁπότε χρὴ ἀνάγεσθαι, ἤρθη. διὰ τοιαύτης δὴ παρασκευῆς οἱ Ἀθηναῖοι ἀναγαγόμενοι καὶ ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος τῶν Ἐρετριέων ὀλίγον μέν τινα χρόνον ὅμως καὶ ἀντέσχον, ἔπειτ' ἐς φυγὴν τραπόμενοι καταδιώκονται ἐς τὴν γῆν. καὶ ὅσοι μὲν αὐτῶν πρὸς τὴν πόλιν τῶν Ἐρετριέων ὡς φιλίαν καταφεύγουσι κα-
4 λεπώτατα ἔπραξαν, φονευόμενοι ὑπ' αὐτῶν· οἳ δὲ ἐς τὸ τεῖχισμα τὸ ἐν τῇ Ἐρετριαίᾳ, ὃ εἶχον αὐτοί, περιγίγνονται καὶ ὅσαι ἐς Χαλκίδα ἀφικνοῦνται τῶν νεῶν. λαβόντες δ' οἱ Πελοποννήσιοι δέο καὶ εἴκοσι ναῦς τῶν Ἀθηναίων καὶ ἄνδρας τοὺς μὲν ἀποκτείναντες τοὺς δὲ ζωγρήσαντες τροπαῖον ἔστησαν. καὶ ὕστερον οὐ πολλῷ Εὔβοιάν τε ἅπασαν, ἀποστήσαντες πλὴν Ὠρεοῦ — ταύτην δὲ αὐτοὶ Ἀθηναῖοι εἶχον — καὶ τἆλλα τὰ περὶ αὐτὴν καθίσταντο.

96 Τοῖς δ' Ἀθηναίοις ὡς ἦλθε τὰ περὶ τὴν Εὔβοιαν γεγενημένα, ἔκπληξις μεγίστη δὴ τῶν πρὶν παρέστη. οὔτε γὰρ ἡ ἐν Σικελίᾳ ξυμφορά, καίπερ μεγάλη τότε δόξασα εἶναι, οὔτ' ἄλλο οὐδέν πω οὕτως ἐφόβησεν. ὅπου γὰρ στρατοπέδου τε τοῦ ἐν Σάμῳ ἀφεστηκότος, ἄλλων τε νεῶν οὐκ οὐσῶν οὐδὲ
2 τῶν ἐσβησομένων, αὐτῶν τε στασιαζόντων καὶ ἄδηλον ὂν ὁπότε σφίσιν αὐτοῖς ξυρράξουσι, τοσαύτη ἡ ξυμφορὰ ἐπεγεγένητο,

---

τάδε, ἐπὶ δεξιά. (Pp.) — ἐξαναγκάσειαν. ἀναγκάσειαν die vier beſten Hſn. — τύχοιεν. Gr. 56, 4 A. 2.

§ 3. σημεῖον ἤρθη. zu 1, 49, 1. — διὰ τοιαύτης. Gr. 68, 22 A 2. — ἀναγαγόμενοι für ἀναγόμενοι Vat. — ὅμως ungeachtet der ſchlechten Rüſtung. (Ps.)

§ 4. οἳ δέ für οἱ δε Va. [und St.?], ſo daß hier καταφεύγουσι zu ergänzen und περιγίγνονται Nachſatz iſt. (Hk.) Dies gehört auch zu dem ſatzlichen Subject καὶ ὅσαι ꝛc. — ἐπιτείχισμα. τείχισμα eine gute Hſ. Doch ſ. zu 1, 122, 1. — ὕστερον οὐ πολλῷ für οὐ πολλῷ ὕστερον eine gute Hſ. zu 1, 18, 5. — τἆλλα iſt noch Obj.

C. 96. § 1. ἦλθε τὰ γεγενημένα. Dem. 3, 5: ἦλθεν ἀμφότερα. (Hertlein.) Ein Inf. als Subject Xen. Hell. 3, 4, 27: ἔρεσται (αὐτῷ) ἄρχειν. — τῶν πρίν. zu 1, 1, 1. — παρέστη. zu 61, 2.

§ 2. ἄδηλον ὂν ὁπότε. zu 1, 2, 1. — ξυρράξουσι. zu 7, 4. — τοσαύτη ἡ ξυμφορὰ ἐπεγεγένητο, ἡ ξ. ἢ ἐπ. τοσαύτη

ἐν ᾗ ναῦς τε καὶ τὸ μέγιστον Εὔβοιαν ἀπολωλέκεσαν, ἐξ ἧς πλείω ἢ τῆς Ἀττικῆς ὠφελοῦντο, πῶς οὐκ εἰκότως ἠθύμουν; μάλιστα δ' αὐτοὺς καὶ δι' ἐγγυτάτου ἐθορύβει εἰ οἱ πολέμιοι τολμήσουσι νενικηκότες εὐθὺς σφῶν ἐπὶ τὸν Πειραιᾶ, ἐρῆμον ὄντα νεῶν, πλεῖν· καὶ ὅσον οὐκ ἤδη ἐνόμιζον αὐτοὺς παρεῖναι. ὅπερ ἄν, εἰ τολμηρότεροι ἦσαν, ῥᾳδίως ἂν ἐποίησαν, καὶ ἢ διέστησαν ἂν ἔτι μᾶλλον τὴν πόλιν ἐφορμοῦντες ἢ εἰ ἐπολιόρκουν μένοντες, καὶ τὰς ἀπ' Ἰωνίας ναῦς ἠνάγκασαν ἄν, καίπερ πολεμίας οὔσας τῇ ὀλιγαρχίᾳ, τοῖς σφετέροις οἰκείοις καὶ τῇ ξυμπάσῃ πόλει βοηθῆσαι· καὶ ἐν τούτῳ Ἑλλήσποντός τε ἂν ἦν αὐτοῖς καὶ Ἰωνία καὶ αἱ νῆσοι καὶ τὰ μέχρι Βοιωτίας καὶ ὡς εἰπεῖν ἡ Ἀθηναίων ἀρχὴ πᾶσα. ἀλλ' οὐκ ἐν τούτῳ μόνῳ Λακεδαιμόνιοι Ἀθηναίοις πάντων δὴ ξυμφορώτατοι προσπολεμῆσαι ἐγένοντο, ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς· διάφοροι γὰρ πλεῖστον ὄντες τὸν τρόπον, οἱ μὲν ὀξεῖς οἱ δὲ βραδεῖς, καὶ οἱ μὲν ἐπιχειρηταὶ οἱ δὲ ἄτολμοι, ἄλλως τε καὶ ἐν ἀρχῇ ναυτικῇ πλεῖστα ὠφέλουν. ἔδειξαν δ' οἱ Συρακόσιοι· μάλιστα γὰρ ὁμοιότροποι γενόμενοι ἄριστα καὶ προσεπολέμησαν. 3 4

Ἐπὶ δ' οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι ναῦς τε εἴκοσιν ὅμως ἐπλήρουν καὶ ἐκκλησίαν ξυνέλεγον, μίαν μὲν εὐθὺς τότε πρῶτον ἐς τὴν Πύκνα καλουμένην, οὗπερ καὶ ἄλ- 97

ἦν. Gr. 57, 3 A. 5. Ueber die Häufung der Claute Lobeck Parall. p. 23. — αὐτῶν τε. τε fehlt in mehrern Hsn. — ἀπολωλέκεσαν. ἀπωλωλέκεσαν eine Hs. — πῶς οὐκ ἠθύμουν. Gr. 54, 1 A, 3. — ἐγγυτάτου. Gr. 23, 9 A. 4. — εἰ die Befürchtung des Falles daß. — εὐθύς. εὐθύ Lobeck z. Phryn. p. 144. — σφῶν hängt von Πειραιᾶ ab. (Pp.) Gr. 47, 5 A. 8.

§ 3. ἂν — ἄν. Gr. 69, 7 A. 3. — διέστησαν, εἰς στάσιν ἐνέβαλον. (Sch.) zu 6, 77, 2.

§ 4. ἂν ἦν αὐτοῖς hätte ihnen, den Lakedämoniern, gehört, wäre ihnen zugefallen. (Bä.) Gr. 48, 3 A. 1. — ξυμφορώτατοι προσπολεμῆσαι. zu 6, 84, 3.

§ 5. διάφοροι. Mehr darüber 1, 70, 2. — πλεῖστον für μάλιστα ist in der guten Prosa nicht gewöhnlich, auch bei Thuk. nur hier. — ἐν vor ἀρχῇ hat nur eine gute Hs. — ὠφέλουν beide, die Lakedämonier den Athenern und diese sich selbst, eben durch die genannten Eigenschaften. (Pp.)

C. 97. § 1. ὅμως, wenn gleich bestürzt. (Bs.) — τότε gehört wohl zu εὐθύς. — Πύκνα für Πνύκα die besten Hsn. Gr. § 20

λοτε εἰώθεσαν, ἐν ᾗπερ καὶ τοὺς τετρακοσίους καταπαύσαντες τοῖς πεντακισχιλίοις ἐψηφίσαντο τὰ πράγματα παραδοῦναι — εἶναι δὲ αὐτῶν ὁπόσοι καὶ ὅπλα παρέχονται — καὶ μισθὸν μηδένα φέρειν μηδεμιᾷ ἀρχῇ· εἰ δὲ μή, ἐπάρατον ἐποιήσαντο.
2 ἐγίγνοντο δὲ καὶ ἄλλαι ὕστερον πυκναὶ ἐκκλησίαι, ἀφ' ὧν καὶ νομοθέτας καὶ τἆλλα ἐψηφίσαντο ἐς τὴν πολιτείαν. καὶ οὐχ ἥκιστα δὴ τὸν πρῶτον χρόνον ἐπί γ' ἐμοῦ Ἀθηναῖοι φαίνονται εὖ πολιτεύσαντες· μετρία γὰρ ἥ τε ἐς τοὺς ὀλίγους καὶ τοὺς πολλοὺς ξύγκρασις ἐγένετο, καὶ ἐκ πονηρῶν τῶν πραγμάτων γενομένων τοῦτο πρῶτον ἀνήνεγκε τὴν πόλιν. ἐψηφίσαντο δὲ καὶ Ἀλκιβιάδην καὶ ἄλλους μετ' αὐτοῦ κατιέναι, καὶ παρά τε ἐκεῖνον καὶ παρὰ τὸ ἐν Σάμῳ στρατόπεδον πέμψαντες διεκελεύοντο ἀνθάπτεσθαι τῶν πραγμάτων.
98 Ἐν δὲ τῇ μεταβολῇ ταύτῃ εὐθὺς οἱ μὲν περὶ τὸν Πείσανδρον καὶ Ἀλεξικλέα καὶ ὅσοι ἦσαν τῆς ὀλιγαρχίας μάλιστα ὑπεξέρχονται ἐς τὴν Δεκέλειαν· Ἀρίσταρχος δ' αὐτῶν μόνος, ἔτυχε γὰρ καὶ στρατηγῶν, λαβὼν κατὰ τάχος τοξότας
2 τινὰς τοὺς βαρβαρωτάτους ἐχώρει πρὸς τὴν Οἰνόην. ἦν δὲ Ἀθηναίων ἐν μεθορίοις τῆς Βοιωτίας τεῖχος, ἐπολιόρκουν δ' αὐτὸ διὰ ξυμφορὰν σφίσιν ἐκ τῆς Οἰνόης γενομένην ἀνδρῶν ἐκ Δεκελείας ἀναχωρούντων διαφθορᾶς οἱ Κορίνθιοι, ἐθελοντηδὸν προσπαρακαλέσαντες τοὺς Βοιωτούς. κοινολογησάμενος οὖν αὐτοῖς ὁ Ἀρίσταρχος ἀπατᾷ τοὺς ἐν τῇ Οἰνόῃ, λέγων ὡς καὶ οἱ ἐν τῇ πόλει τἆλλα ξυμβεβήκασι Λακεδαιμονίοις, κἀκείνους δεῖ Βοιωτοῖς τὸ χωρίον παραδοῦναι·
3 ἐπὶ τούτοις γὰρ ξυμβεβάσθαι. οἱ δέ, πιστεύσαντες ὡς ἀν-

---

u. *Πνύξ.* — *οὖπερ.* Kr. zu Xen. An. 6, 1, 16. — *ὅπλα παρέχονται* als Schwerbewaffnete dienten. (Kr. p. 254.) — *μηδεμιᾷ ἀρχῇ. μηδεμιᾶς ἀρχῆς* Vp. — *εἰ δὲ μή.* Gr. 65, 5 A. 12.

§ 2. *ἀφ ὧν.* zu 8, 81, 1. — *ἥ τε ἐς — ξύγκρασις* die Mischung der oligarchischen und demokratischen Elemente. — *τῶν πραγμάτων.* Gr. 50, 11 A. 2. — *ἀνήνεγκε* brachte empor, gab neue Kräfte. Ungewöhnlich.

C. 98. § 1. *τοξότας,* wahrscheinlich von den Skythen. (Dr.)

§ 2. *ἦν* für *ἔστι.* Gr. 53, 2 A. 4. — *διαφθορᾶς* hängt von *ξυμφοράν* ab. 1, 33, 1: *ἡ ξυντυχία τῆς ἡμετέρας χρείας.* (Gö.) — *ἐθελοντηδόν* mit Bezug auf das in *προσπαρακαλεῖν* liegende *προσέρχεσθαι.* Ungewöhnlich ist das Wort. Lobeck z. Phryn. p. 6.

δρὶ στραιηγῷ καὶ οὐκ εἰδότες οὐδὲν διὰ τὸ πολιορκεῖσθαι, ὑπόσπονδοι ἐξέρχονται. τούτῳ μὲν τῷ τρόπῳ Οἰνόην λη- φθεῖσαν Βοιωτοὶ κατέλαβον καὶ ἡ ἐν ταῖς Ἀθήναις ὀλιγαρχία καὶ στάσις ἐπαύσατο.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ 99
ἐν τῇ Μιλήτῳ Πελοποννήσιοι, ὡς τροφήν τε οὐδεὶς ἐδίδου τῶν ὑπὸ Τισσαφέρνους τότε ὅτ' ἐπὶ τὴν Ἄσπενδον παρῇσαν προσιαχθέντων, καὶ αἱ Φοινισσαι νῆες οὐδὲ ὁ Τισσαφέρνης τέως που ἦκον, ὅ τε Φίλιππος ὁ ξυμπεμφθεὶς αὐτῷ ἐπε- στάλκει Μινδάρῳ τῷ ναυάρχῳ καὶ ἄλλος, Ἱπποκράτης, ἀνὴρ Σπαρτιάτης καὶ ὢν ἐν Φασήλιδι, ὅτι οὔτε αἱ νῆες παρέσοιντο πάντα τε ἀδικοῖντο ὑπὸ Τισσαφέρνους, Φαρνάβαζός τ' ἐπε- 2
καλεῖτο αὐτοὺς καὶ ἦν πρόθυμος κομίσας τὰς ναῦς καὶ αὐ- τὸς τὰς λοιπὰς ἔτι πόλεις τῆς ἑαυτοῦ ἀρχῆς ἀποστῆσαι τῶν Ἀθηναίων, ὥσπερ καὶ ὁ Τισσαφέρνης, ἐλπίζων πλέον τι σχήσειν ἀπ' αὐτοῦ, οὕτω δὴ ὁ Μίνδαρος πολλῷ κόσμῳ καὶ ἀπὸ παραγγέλματος αἰφνιδίου, ὅπως λάθοι τοὺς ἐν Σάμῳ, ἄρας ἀπὸ τῆς Μιλήτου ναυσὶ τρισὶ καὶ ἑβδομήκοντα ἔπλει ἐπὶ τὸν Ἑλλήσποντον. πρότερον δ' ἐν τῷ αὐτῷ θέρει τῷδε 3
ἑκκαίδεκα ἐς αὐτὸν νῆες ἐσέπλευσαν, αἳ καὶ τῆς Χερσονήσου τι μέρος κατέδραμον. χειμασθεὶς δὲ ἀνέμῳ καὶ ἀναγκασθεὶς καταίρει ἐς τὴν Ἴκαρον, καὶ μείνας ἐν αὐτῇ ὑπὸ ἁπλοίας πέντε ἢ ἓξ ἡμέρας ἀφικνεῖται ἐς τὴν Χίον. ὁ δὲ Θράσυλλος 100
ἐκ τῆς Σάμου, ἐπειδὴ ἐπύθετο αὐτὸν ἐκ τῆς Μιλήτου ἀπηρ- κότα, ἔπλει καὶ αὐτὸς ναυσὶν εὐθὺς πέντε καὶ πεντήκοντα, ἐπειγόμενος, μὴ φθάσῃ ἐς τὸν Ἑλλήσποντον ἐσπλεύσας. αἰ- 2
σθόμενος δ' ὅτι ἐν τῇ Χίῳ εἴη καὶ νομίσας αὐτὸν καθέξειν αὐτοῦ σκοποὺς μὲν κατεστήσατο καὶ ἐν τῇ Λέσβῳ καὶ ἐν

C. 99. § 1. οἱ ἐν Μ. Πελοποννήσιοι. Das Subject wird nach den Zwischensätzen erneuert durch οὕτω δὴ ὁ Μίνδαρος § 2. — τότε 8, 87, 1 f. — οὐδέ. zu 6, 55, 1. — ἄλλος. ἄλλοις Reiske. — καὶ ὢν. κατοικῶν Kr.

§ 2. ἀπό. zu 2, 90, 3.

§ 3. ἐσέπλευσαν für ἐπέπλευσαν oder ἀπέπλευσαν einige Hss. — αἳ καὶ τῆς für καὶ τῆς eine gute Hs.

C. 100. § 1. φθάσῃ, Μίνδαρος.

§ 2. καθέξειν, ἐνδιατρίψειν. (Sch.) vgl. zu 8, 28, 2; transitiv faßt es Hl., wofür κινοῖντο spricht. — τἆλλα für τὰ ἄλλα eine Hs.

τῇ ἀντιπέρας ἠπείρῳ, εἰ ἄρα οἱ χινοῖντο αἱ νῆες, ὅπως μὴ λάθοιεν, αὐτὸς δ' ἐς τὴν Μήθυμναν παραπλεύσας ἄλφιτά τε καὶ τἆλλα ἐπιτήδεια παρασκευάζειν ἐκέλευεν, ὡς ἢν πλείων χρόνος γίγνηται, ἐκ τῆς Λέσβου τοὺς ἐπίπλους τῇ Χίῳ ποιη-
3 σόμενος. ἅμα δέ, Ἔρεσος γὰρ τῆς Λέσβου ἀφεστήκει, ἐβούλετο ἐπ' αὐτὴν πλεύσας, εἰ δύναιτο, ἐξελεῖν. Μηθυμναίων γὰρ οὐχ οἱ ἀδυνατώτατοι φυγάδες διακομίσαντες ἔκ τε τῆς Κύμης προσεταιριστοὺς ὁπλίτας ὡς πεντήκοντα καὶ τῶν ἐκ τῆς ἠπείρου μισθωσάμενοι, ξύμπασιν ὡς τριακοσίοις, Ἀναξάνδρου Θηβαίου κατὰ τὸ ξυγγενὲς ἡγουμένου προσέβαλον πρώτῃ Μηθύμνῃ, καὶ ἀποκρουσθέντες τῆς πείρας διὰ τοὺς ἐκ τῆς Μυτιλήνης Ἀθηναίων φρουροὺς προελθόντας, αὖθις ἔξω μάχῃ ἀπωσθέντες καὶ διὰ τοῦ ὄρους χομισθέντες
4 ἀφιστᾶσι τὴν Ἔρεσον. πλεύσας οὖν ὁ Θρασύλλος ἐπ' αὐτὴν πάσαις ταῖς ναυσὶ διενοεῖτο προσβολὴν ποιεῖσθαι. προαφιγμένος δ' αὐτόσε ἦν καὶ ὁ Θρασύβουλος πέντε ναυσὶν ἐκ τῆς Σάμου, ὡς ἠγγέλθη αὐτοῖς ἡ τῶν φυγάδων αὖτη διάβα-
5 σις· ὑστερήσας δ' ἐπὶ τὴν Ἔρεσον ἐφώρμει ἐλθών. προσεγένοντο δὲ καὶ ἐκ τοῦ Ἑλλησπόντου τινὲς δύο νῆες ἐπ' οἴκου ἀνακομιζόμεναι καὶ αἱ Μηθυμναῖαι· καὶ αἱ πᾶσαι νῆες παρῆσαν ἑπτὰ καὶ ἑξήκοντα, ἀφ' ὧν τῷ στρατεύματι παρεσκευάζοντο ὡς κατὰ κράτος μηχαναῖς τε καὶ παντὶ τρόπῳ, ἢν δύνωνται, αἱρήσοντες τὴν Ἔρεσον.

101 Ὁ δὲ Μίνδαρος ἐν τούτῳ καὶ αἱ ἐκ τῆς Χίου τῶν Πελοποννησίων νῆες ἐπισιτισάμεναι δυοῖν ἡμέραις, καὶ λαβόντες παρὰ τῶν Χίων τρεῖς τεσσαρακοστὰς ἕκαστος Χίας, τῇ τριτῇ

---

§ 3. τῆς Λέσβου hängt von Ἔρεσος ab. (Hl.) Gr. 47, 5 A. 5. — οὐχ οἱ ἀδυνατώτατοι. zu 1, 5, 1. Gemeint sind Optimaten. (Kr.) — προσεταιριστούς, [εἰς] συμμάχους ληφθέντας. (Sch.) Ein sehr seltenes Wort, substantivisch bei Dio C. 335, 20. (Bl.) — αὖθις. καὶ αὖθις Reiske. — τοῦ ὄρους. τὰ ὄρεια Xen. Hell. 4, 8, 29? Nahe bei Methymna lag der Lepetymnos.

§ 4. ὑστερήσας, Θρασύβουλος οὐ φθάσας τὴν ἀπόστασιν. (Ds.)

§ 5. τινὲς δύο. Gr. 51, 16 A. 4.

C. 101. § 1. καὶ αἱ ἐκ. καὶ ἐκ die besten Hss., von denen eine αἱ vor νῆες hat. — δυοῖν für δυσίν Lobeck zu Soph. Aj. p. 471. — τεσσαρακοστάς. ἀρχαῖα νομίσματα καὶ ἐπιχώρια. (Sch.) —

διὰ ταχέων ἀπαίρουσιν ἐκ τῆς Χίου, [οὐ] πελάγιαι, ἵνα μὴ περιτύχωσι ταῖς ἐν τῇ Ἐρέσῳ ναυσίν, ἀλλ' ἐν ἀριστερᾷ τὴν Λέσβον ἔχοντες ἔπλεον ἐπὶ τὴν ἤπειρον. καὶ προσβαλόντες τῆς Φωκαΐδος ἐς τὸν ἐν Καρτερίοις λιμένα καὶ ἀριστοποιησάμενοι παραπλεύσαντες δειπνοποιοῦνται ἐν Ἀργεννούσαις τῆς ἠπείρου, ἐν τῷ ἀντιπέρας τῆς Μυτιλήνης. ἐντεῦθεν δ' ἔτι 2
πολλῆς νυκτὸς παραπλεύσαντες καὶ ἀφικόμενοι τῆς ἠπείρου ἐς Ἁρματοῦντα κατωντικρὺ Μηθύμνης ἀριστοποιησάμενοι διὰ ταχέων παραπλεύσαντες Λέκτον καὶ Λάρισσαν καὶ Ἁμαξιτὸν καὶ τὰ ταύτῃ χωρία ἀφικνοῦνται ἐς Ῥοίτειον ἤδη τοῦ Ἑλλησπόντου, πρωΐτερον μέσων νυκτῶν. εἰσὶ δ' αἱ τῶν νεῶν καὶ ἐς Σίγειον κατῆραν καὶ ἄλλοσε τῶν ταύτῃ χωρίων.
οἱ δ' Ἀθηναῖοι ἐν ιῇ Σηστῷ δυοῖν δεούσαις εἴκοσι ναυσὶν 102
ὄντες, ὡς αὐτοῖς οἵ τε φρυκτωροὶ ἐσήμαινον καὶ ᾐσθάνοντο τὰ πυρὰ ἐξαίφνης πολλὰ ἐν τῇ πολεμίᾳ φανέντα, ἔγνωσαν ὅτι ἐσπλέουσιν οἱ Πελοποννήσιοι. καὶ τῆς αὐτῆς ταύτης νυκτὸς ὡς εἶχον τάχους ὑπομίξαντες τῇ Χερσονήσῳ παρέπλεον ἐπ' Ἐλαιοῦντος, βουλόμενοι ἐκπλεῦσαι ἐς τὴν εὐρυχωρίαν τὰς τῶν πολεμίων ναῦς. καὶ τὰς μὲν ἐν Ἀβύδῳ 2
ἑκκαίδεκα ναῦς ἔλαθον, προειρημένης φυλακῆς τῷ φιλίῳ ἐπίπλῳ, ὅπως αὐτῶν ἀναχῶς ἔξουσιν, ἢν ἐκπλέωσιν· τὰς δὲ μετὰ τοῦ Μινδάρου ἅμα τῇ ἕῳ κατιδόντες τὴν δίωξιν εὐθὺς ποιούμενοι οὐ φθάιουσι πᾶσαι, ἀλλ' αἱ μὲν πλείους ἐπὶ

Χίου, οὐ für Χίον Hk. — Ἀργεννούσαις für Ἀργινούσαις die beſten Hſn.; mit zwei σ eine, richtig nach Schäfer z. Plut. 4 p. 411. — τῆς ἠπείρου verdächtigt Kr. als aus § 2 entſtanden p. 306 s.

§ 2. ἔτι πολλῆς νυκτός noch tief in der Nacht. (Va.) — παραπλεύσαντες. τὴν Κυμαίαν fügen gute Hſn. hinzu aus § 1; τὴν Καναίαν vermuthet Py.; auch παραπλεύσαντες καὶ verdächtigt Kr. — Ῥοίτειον für Ῥοίτιον eine gute Hſ. — ἤδη τοῦ Ἑ. was ſchon zum H. gehört. (Va.)

C. 102. § 1. ὑπομίξαντες, ἐγγίσαντες. (Sch.) — ἐκπλεῦσαι, ἀντὶ τοῦ ἐκπλεύσαντες διαφυγεῖν. (Sch.) So 3, 34, 2 ὑπεξελθόντες τούτους. (Scholefield.)

§ 2. τὰς ἑκκαίδεκα 99, 3. (Dᵉ.) — τῷ φιλίῳ ἐπίπλῳ. ὑπὸ τοῦ φιλίου ἐπίπλου, τουτέστιν ὑπὸ τοῦ στόλου τοῦ μετὰ Μινδάρου, ὅπως παραφυλάττωσι τοὺς Ἀθηναίους ὑπὲρ τοῦ μὴ λαθεῖν αὐτοὺς ἐκπλεύσαντας. (Sch.) — ἀναχῶς ἀντὶ τοῦ προνοητικῶς καὶ φυλακτικῶς. (Sch.) Joniſch, wie bei Her. 8, 109. (Waſſe.) — ποιούμενοι. ποιουμένου

τῆς Ἴμβρου καὶ Λήμνου διέφυγον, τέσσαρες δὲ τῶν νεῶν αἱ
3 ὕσταται πλέουσαι καταλαμβάνονται παρὰ τὸν Ἐλαιοῦντα. καὶ μίαν μὲν ἐποκείλασαν κατὰ τὸ ἱερὸν τοῦ Πρωτεσιλάου αὐτοῖς ἀνδράσι λαμβάνουσιν, δύο δ' ἑτέρας ἄνευ τῶν ἀνδρῶν·
103 τὴν δὲ μίαν πρὸς τῇ Ἴμβρῳ κενὴν καταχαίουσιν. μετὰ δὲ τοῦτο ταῖς τε ἐξ Ἀβύδου ξυμμιγείσαις καὶ ταῖς ἄλλαις ξυμπάσαις ἕξ καὶ ὀγδοήκοντα πολιορκήσαντες Ἐλαιοῦντα ταύτην τὴν ἡμέραν, ὡς οὐ προσεχώρει, ἀπέπλευσαν ἐς Ἄβυδον.

Οἱ δ' Ἀθηναῖοι ψευσθένιες τῶν σκοπῶν καὶ οὐκ ἂν οἰόμενοι σφᾶς λαθεῖν τὸν παράπλουν τῶν πολεμίων νεῶν, ἀλλὰ καθ' ἡσυχίαν τειχομαχοῦντες, ὡς ἤσθοντο, εὐθὺς ἀπολιπόντες τὴν Ἔρεσον κατὰ τάχος ἐβοήθουν ἐς τὸν Ἑλλήσποντον·
2 καὶ δύο τε ναῦς τῶν Πελοποννησίων αἱροῦσιν, αἳ πρὸς τὸ πέλαγος τότε θρασύτερον ἐν τῇ διώξει ἀπάρασαι περιέπεσον αὐτοῖς, καὶ ἡμέρᾳ ὕστερον ἀφικόμενοι ὁρμίζονται ἐς τὸν Ἐλαιοῦντα καὶ τὰς ἐκ τῆς Ἴμβρου ἴσαι κατέφυγον κομίζονται καὶ ἐς τὴν ναυμαχίαν πέντ' ἡμέρας παρεσκευάζοντο.
104 μετὰ δὲ τοῦτο ἐναυμάχουν τρόπῳ τοιῷδε. οἱ Ἀθηναῖοι παρέπλεον ἐπὶ κέρως ταξάμενοι παρ' αὐτὴν τὴν γῆν ἐπὶ τῆς Σηστοῦ, οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐκ τῆς Ἀβύδου ἀντανῆγον καὶ αὐτοί. καὶ ὡς ἔγνωσαν ναυμαχήσοντες, παρέτειναν τὸ κέρας οἱ μὲν Ἀθηναῖοι παρὰ τὴν Χερσόνησον, ἀρξάμενοι ἀπὸ Ἰδάκου μέχρι Ἀρριανῶν, νῆες ἕξ καὶ ἑβδομήκοντα, οἱ δ' αὖ Πελοποννήσιοι ἀπὸ Ἀβύδου μέχρι Λαρ-

---

Kr. u. Dobree. — Ἴμβρου für ἠπείρου einige Hfn. — παρά. zu 6, 57, 3.

§ 3. τὴν μίαν. Gr. 50, 2 A. 8.

C. 103. § 1. ταῖς ἐξ Ἀ. 8, 99, 3. — ψευσθέντες τῶν σκοπῶν, ψευσθέντων τῶν σκοπῶν καὶ ἁμαρτόντων. (Sch.) Ein sonderbarer Ausdruck da man für das Concretum ein Abstractum erwarten würde, wie in den Phrasen ψεύδεσθαι γνώμης, ἐλπίδος. (Pp.) Der Sinn ist wohl eig.: getäuscht in der Zuverlässigkeit der Späher. Lys. 19, 49: φαινόμεθα τῶν ἀρχαιοπλούτων πολὺ ἐψευσμένοι, rücksichtlich ihres Reichthums. Xen. Mem 4, 2, 26: διὰ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακὰ πάσχουσιν οἱ ἄνθρωποι.

§ 2. τότε 8, 102, 2. — τὴν ναυμαχίαν die zu liefernde Seeschlacht.

C. 104. § 1. ἐπὶ κέρως. zu 2, 90, 3. — ἑβδομήκοντα

δάνου, νῆες ὀκτὼ καὶ ἑξήκοντα. κέρας δὲ τοῖς μὲν Πελο- 2
ποννησίοις εἶχον τὸ μὲν δεξιὸν Συρακόσιοι, τὸ δ' ἕτερον
αὐτὸς Μίνδαρος καὶ τῶν νεῶν αἱ ἄριστα πλέουσαι, Ἀθη-
ναίοις δὲ τὸ μὲν ἀριστερὸν Θράσυλλος, ὁ δὲ Θρασύβουλος
τὸ δεξιόν· οἱ δ' ἄλλοι στρατηγοὶ ὡς ἕκαστοι διετάξαντο.
ἐπειγομένων δὲ τῶν Πελοποννησίων πρότερόν τε ξυμμῖξαι 3
καὶ κατὰ μὲν τὸ δεξιὸν τῶν Ἀθηναίων, ὑπερσχόντες αὐτοὶ
τῷ εὐωνύμῳ, ἀποκλῆσαι τοῦ ἔξω αὐτοὺς ἔκπλου, εἰ δύναιντο,
κατὰ δὲ τὸ μέσον ἐξῶσαι πρὸς τὴν γῆν οὐχ ἑκὰς οὖσαν, οἱ
Ἀθηναῖοι γνόντες, ἦ μὲν ἐβούλοντο ἀποφράξασθαι αὐτοὺς
οἱ ἐναντίοι, ἀντεπεξῆγον καὶ περιεγίγνοντο τῷ πλῷ, τὸ δ' εὐ-
ώνυμον αὐτοῖς ὑπερεβεβλήκει ἤδη τὴν ἄκραν ἣ Κυνὸς σῆμα
καλεῖται. τῷ δὲ μέσῳ, τοιούτου ξυμβαίνοντος, ἀσθενέσι 4
καὶ διεσπασμέναις ταῖς ναυσὶ καθίσταντο, ἄλλως τε καὶ
ἐλάσσοσι χρώμενοι τὸ πλῆθος καὶ τοῦ χωρίου τοῦ περὶ τὸ
Κυνὸς σῆμα ὀξεῖαν καὶ γωνιώδη τὴν περιβολὴν ἔχοντος, ὥστε
τὰ ἐν τῷ ἐπέκεινα αὐτοῦ γιγνόμενα μὴ κάτοπτα εἶναι.
προσπεσόντες οὖν οἱ Πελοποννήσιοι κατὰ τὸ μέσον ἐξέωσάν 105
τε ἐς τὸ ξηρὸν τὰς ναῦς τῶν Ἀθηναίων καὶ ἐς τὴν γῆν ἐπεξ-
έβησαν, τῷ ἔργῳ πολὺ περισχόντες. ἀμῦναι δὲ τῷ μέσῳ
οὔθ' οἱ περὶ τὸν Θρασύβουλον ἀπὸ τοῦ δεξιοῦ ὑπὸ πλήθους
τῶν ἐπικειμένων νεῶν ἐδύναντο οὔθ' οἱ περὶ τὸν Θράσυλλον
ἀπὸ τοῦ εὐωνύμου· ἀφανές τε γὰρ ἦν διὰ τὴν ἄκραν τὸ 2
Κυνὸς σῆμα καὶ ἅμα οἱ Συρακόσιοι καὶ οἱ ἄλλοι οὐκ ἐλάσ-

---

für ὀγδοήκοντα die beſten Hſn. — ἑξήκοντα. ὀγδοήκοντα Acac. u. eine Hſ. vgl. Kr. p. 318 s.

§ 3. ξυμμῖξαι, συμπεσεῖν, συρράξαι. (Sch.) — ὑπερσχόντες für ὑπερσχόντων. zu 8, 63, 2. — ἀποκλῆσαι für ἀποκλεῖσαι Bk. — ἀντεπεξῆγον mit Bezug auf die Ueberflügelung, ὑπερσχόντες hier, ἐπεξαγωγή 105, 3. — περιεγίγνοντο τῷ πλῷ, ἔφθασαν πλεύσαντες οὗ ἐβούλοντο ἀποκλεῖσαι αὐτοὺς οἱ ἐναντίοι. (Ds.)

§ 4. ὑπερεβεβλήκει. ὑπερεκβεβλήκει einige gute Hſn. — τὴν περιβολήν, τὸ προκύπτον ἐς θάλασσαν ὃ ἔδει τοὺς Ἀθηναίους περιβαλεῖν. (Ds.)

C. 105. § 1. περισχόντες, ἦγουν περιγενόμενοι, κρείττονες γενόμενοι. (Sch.) vgl. 5, 7, 2.

§ 2. ἀφανές. Gr. 43, 4 A. 13. ἀφανέστερα einige gute Hſn.

σους ἐπιτεταγμένοι εἶργον αὐτούς, πρὶν οἱ Πελοποννήσιοι διὰ τὸ κρατήσαντες ἀδεῶς ἄλλοι ἄλλην ναῦν διώκειν ἤρξαντο
3 μέρει τινὶ σφῶν ἀτακτότεροι γενέσθαι. γνόντες δὲ οἱ περὶ τὸν Θρασύβουλον τὰς ἐπὶ σφίσι ναῦς ἐπεχούσας παυσάμενοι τῆς ἐπεξαγωγῆς ἤδη τοῦ κέρως καὶ ἐπαναστρέψαντες εὐθὺς ἠμύναντό τε καὶ τρέπουσιν, καὶ τὰς καιὰ τὸ νικῆσαν τῶν Πελοποννησίων μέρος ὑπολαβόντες πεπλανημένας ἔκοπτόν τε καὶ ἐς φόβον τὰς πλείους ἀμαχεὶ καθίστασαν. οἵ τε Συρακόσιοι ἐτύγχανον καὶ αὐτοὶ ἤδη τοῖς περὶ τὸν Θράσυλλον ἐνδεδωκότες καὶ μᾶλλον ἐς φυγὴν ὁρμήσαντες, ἐπειδὴ καὶ τοὺς
106 ἄλλους ἑώρων. γεγενημένης δὲ τῆς τροπῆς καὶ καταφυγόντων τῶν Πελοποννησίων πρὸς τὸν Μείδιον μάλιστα ποταμὸν τὸ πρῶτον, ὕστερον δὲ ἐς Ἄβυδον, ναῦς μὲν ὀλίγας ἔλαβον οἱ Ἀθηναῖοι — στενὸς γὰρ ὢν ὁ Ἑλλήσποντος βραχείας τὰς ἀποφυγὰς τοῖς ἐναντίοις παρεῖχεν — τὴν μέντοι νίκην ταύτην
2 τῆς ναυμαχίας ἐπικαιροτάτην δὴ ἔσχον. φοβούμενοι γὰρ τέως τὸ τῶν Πελοποννησίων ναυτικὸν διά τε τὰ κατὰ βραχὺ σφάλματα καὶ διὰ τὴν ἐν τῇ Σικελίᾳ ξυμφορὰν ἀπηλλάγησαν τοῦ σφᾶς τε αὐτοὺς καταμέμφεσθαι καὶ τοὺς πολεμίους ἔτι
3 ἀξίους του ἐς τὰ ναυτικὰ νομίζειν. ναῦς μέντοι τῶν ἐναντίων λαμβάνουσι Χίας μὲν ὀκτώ, Κορινθίας δὲ πέντε, Ἀμπρακιώτιδας δὲ δύο καὶ Βοιωτίας δύο, Λευκαδίων δὲ καὶ Λακεδαιμονίων καὶ Συρακοσίων καὶ Πελληνέων μίαν ἑκάστων· αὐτοὶ δὲ πεντεκαίδεκα ναῦς ἀπολλύασιν. στήσαντες δὲ τροπαῖον ἐπὶ τῇ ἄκρᾳ οὗ τὸ Κυνὸς σῆμα καὶ τὰ ναυάγια προσαγαγόμενοι καὶ νεκροὺς τοῖς ἐναντίοις ὑποσπόνδους ἀποδόντες ἀπέστειλαν καὶ ἐς τὰς Ἀθήνας τριήρη ἄγγελον τῆς

---

§ 3. γνόντες, τὴν ἀταξίαν. (Va.) — ἐπεχούσας, ἐμπεδρευούσας, ἐπικειμένας. (Sch.) Her. 9, 59: ἐπεῖχε ἐπὶ Λακεδαιμονίους. (Arn.) Es widerſtrebt Haaſe S. 104. — ὑπολαβόντες, δεξάμενοι. (Sch.) ὑπολαμβάνοντες mehrere gute Hſn. — ἑώρων, ἐς φυγὴν ὁρμήσαντας. Gr. 56, 16 A.

E. **106.** § 1. Μείδιον für Πύδιον die beſten Hſn.

§ 2. κατὰ βραχύ, ἄρτι, πρὸ ὀλίγου γεγενημένα. (Sch.) ein und der andere Verluſt im Kleinen. (Hl.) zu 4, 96, 3. — καταμέμφεσθαι. zu 7, 77, 1. — του für τοῦ Dr.

§ 3. Πελληνέων für Πελληναίων einige Hſn. vgl. 2, 9, 1. 8, 3, 3. (Bk.) — προσαγαγόμενοι, ἰδιωσάμενοι, (Sch.) — τούς vor νεκρούς iſt mit den beſten Hſn. getilgt. zu 1, 54, 2.

γίκης. οἱ δ' ἀφικομένης τῆς νεὼς καὶ ἀνέλπιστον τὴν εὐτυ- 4
χίαν ἀκούσαντες ἔπί τε ταῖς περὶ τὴν Εὔβοιαν ἄρτι ξυμφο-
ραῖς καὶ κατὰ τὴν στάσιν γεγενημέναις πολὺ ἐπερρώσθησαν,
καὶ ἐνόμισαν σφίσιν ἔτι δυνατὰ εἶναι τὰ πράγματα, ἢν προ-
θύμως ἀντιλαμβάνωνται, περιγενέσθαι.

Μετὰ δὲ τὴν ναυμαχίαν ἡμέρᾳ τετάρτῃ ὑπὸ σπουδῆς 107
ἐπισκευάσαντες τὰς ναῦς οἱ ἐν τῇ Σηστῷ Ἀθηναῖοι ἔπλεον
ἐπὶ Κύζικον ἀφεστηκυῖαν· καὶ κατιδόντες καθ' Ἁρπάγιον
καὶ Πρίαπον τὰς ἀπὸ τοῦ Βυζαντίου ὀκτὼ ναῦς ὁρμούσας
ἐπιπλεύσαντες καὶ μάχῃ κρατήσαντες τοὺς ἐν τῇ γῇ ἔλαβον
τὰς ναῦς. ἀφικόμενοι δὲ καὶ ἐπὶ τὴν Κύζικον, ἀτείχιστον 2
οὖσαν, προσηγάγοντο πάλιν καὶ χρήματα ἀνέπραξαν. ἔπλευ-
σαν δ' ἐν τούτῳ καὶ οἱ Πελοποννήσιοι ἐκ τῆς Ἀβύδου ἐπὶ
τὸν Ἑλαιοῦντα καὶ τῶν σφετέρων νεῶν τῶν αἰχμαλώτων ὅσαι
ἦσαν ὑγιεῖς ἐκομίσαντο — τὰς δὲ ἄλλας Ἑλαιούσιοι κατέ-
καυσαν — καὶ ἐς τὴν Εὔβοιαν ἀπέπεμψαν Ἱπποκράτην καὶ
Ἐπικλέα κομιοῦντας τὰς ἐκεῖθεν ναῦς.

Κατέπλευσε δὲ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτους καὶ 108
ὁ Ἀλκιβιάδης ταῖς τρισὶ καὶ δέκα ναυσὶν ἀπὸ τῆς Καύνου
καὶ Φασήλιδος ἐς τὴν Σάμον, ἀγγέλλων ὅτι τάς τε Φοινίσσας
ναῦς ἀποστρέψειε Πελοποννησίοις ὥσιε μὴ ἐλθεῖν καὶ τὸν
Τισσαφέρνην ὅτι φίλον πεποιήκοι μᾶλλον Ἀθηναίοις ἢ πρό-
τερον. καὶ πληρώσας ναῦς ἑννέα πρὸς αἷς εἶχεν Ἁλικαρνα-
σέας τε πολλὰ χρήματα ἐξέπραξε καὶ Κῶν ἐτείχισεν. ταῦτα
δὲ πράξας καὶ ἄρχοντα ἐν τῇ Κῷ καταστήσας πρὸς τὸ μετό-
πωρον ἤδη ἐς τὴν Σάμον κατέπλευσεν.

---

§ 4. ἀφικομένης καὶ ἀκούσαντες. Gr. 56, 14 A. 2. — δυνατά für δυνατόν, wie 3, 86, 2. (Dr.)

C. **107**. § 1. ἐν τῇ für ἐν mehrere u. einige gute Hsn.

§ 2. ἀνέπραξαν. Gr. 57, 10 A. 6. vgl. 108, 1. — αἰχμαλώτων, die 106, 3. (Sch. u. Pp.) — Ἱπποκράτην. Ἱπποκράτη zwei gute Hsn. — τὰς ἐκεῖθεν. Gr. 50, 8 A. 15; über die Sache 94 ff. (Ds.)

C. **108**. § 1. ταῖς. 8, 88. — τάς τε. τε fehlt in einigen guten Hsn. — ἀποστρέψειε für ἀποτρέψειε gute Hsn. — ἐτείχισε für ἐτείχιζε die besten Hsn. — καὶ vor ἄρχοντα haben einige Hsn. — ἄρχοντα für ἄρχοντας eine gute Hs.

2 Καὶ ὁ Τισσαφέρνης ἀπὸ τῆς Ἀσπένδου, ὡς ἐπύθετο τὰς τῶν Πελοποννησίων ναῦς ἐκ τῆς Μιλήτου ἐς τὸν Ἑλλήσποντον πεπλευκυίας, ἀναζεύξας ἤλαυνεν ἐπὶ τῆς Ἰωνίας. ὄντων δὲ τῶν Πελοποννησίων ἐν τῷ Ἑλλησπόντῳ, Ἀντάνδριοι, εἰσὶ δὲ Αἰολῆς, παραχομισάμενοι ἐκ τῆς Ἀβύδου πεζῇ διὰ τῆς Ἴδης τοῦ ὄρους ὁπλίτας ἐσηγάγοντο ἐς τὴν πόλιν, ὑπὸ Ἀρσάκου τοῦ Πέρσου, Τισσαφέρνους ὑπάρχου,
3 ἀδικούμενοι, ὅσπερ καὶ Δηλίους τοὺς Ἀτραμύττιον κατοικήσαντας, ὅτε ὑπ' Ἀθηναίων Δήλου καθάρσεως ἕνεκα ἀνέστησαν, ἔχθραν προσποιησάμενος ἄδηλον καὶ ἐπαγγείλας στρατιὰν αὐτῶν τοῖς βελτίστοις, ἐξαγαγὼν ὡς ἐπὶ φιλίᾳ καὶ ξυμμαχίᾳ τηρήσας ἀριστοποιουμένους καὶ περιστήσας τοὺς ἑαυτοῦ κατηκόντισεν. φοβούμενοι οὖν αὐτὸν διὰ τοῦτο τὸ ἔργον μήποτε καὶ περὶ σφᾶς τι παρανομήσῃ καὶ ἄλλα ἐπιβάλλοντος αὐτοῦ ἃ φέρειν οὐκ ἠδύναντο ἐκβάλλουσι τοὺς
109 φρουροὺς αὐτοῦ ἐκ τῆς ἀκροπόλεως. ὁ δὲ Τισσαφέρνης αἰσθόμενος καὶ τοῦτο τῶν Πελοποννησίων τὸ ἔργον καὶ οὐ μόνον τὸ ἐν Μιλήτῳ καὶ Κνίδῳ — καὶ ἐνταῦθα γὰρ αὐτοῦ ἐξεπεπτώκεσαν οἱ φρουροί — διαβεβλῆσθαί τε νομίσας αὐτοῖς σφόδρα καὶ δείσας μὴ καὶ ἄλλο τι ἔτι βλάπτωσιν, καὶ ἅμα ἀχθόμενος εἰ Φαρνάβαζος ἐξ ἐλάσσονος χρόνου καὶ δαπάνης δεξάμενος αὐτοὺς κατορθώσει τι μᾶλλον τῶν πρὸς

---

§ 2. παραχομισάμενοι, ἤγουν λεληθότως καὶ ἔξω τῆς προκειμένης ὁδοῦ ἀγαγόντες. δῆλον δὲ τοῦτο διὰ τοῦ εἰρηκέναι ὅτι διὰ τοῦ ὄρους, δηλονότι δι' ὁδοῦ ἀτρίπτου καὶ ἀσυνήθους. (Sch.)

§ 3. κατοικήσαντας ὅτε ſich angeſiedelt nachdem. vgl. 5, 1, 2. — ἔχθραν προσποιησάμενος ἄδηλον nachdem er eine geheime Feindſchaft gegen Jemand den er bekriegen wolle vorgeſchützt. — στρατιάν. στρατείαν A. Ps.; doch ſ. zu 1, 3, 4. — φοβούμενοι αὐτὸν μή. Gr. 61, 6 A. 5. — καί vor ἄλλα verbindet wohl die Participia. — ἄλλα. ἄττα Kr. — ἐπιβάλλοντος. ἐπιθέντος αὐτοῖς (αὐτοῦ?) τοῖς Ἀνταν δρίοις. (Sch.) Her. 1, 106, 1: ἔπρησσον παρ' ἑκάστων τὸ ἑκάστοισι ἐπέβαλλον.

C. 109 § 1. τὸ ἐν. τὸ ἐν τῇ mehrere auch gute Hſn. — καὶ — γάρ. zu 1, 31, 2; über die Sache 8, 84, 2. (Dr.) — αὐτοῖς. αὐτούς viele, z. Th. gute Hſn. — ἔτι βλάπτωσι für ἐπιβλάπτωσι die beſten Hſn. — μᾶλλον ἢ αὐτὸς Τισσαφέρνης. (A. Ps.) — τῶν πρὸς τοὺς A. von den Unternehmungen gegen die A., der Ge. von τι regiert. Doch fehlt τῶν in zwei Hſn.

τοὺς Ἀθηναίους, πορεύεσθαι διενοεῖτο πρὸς αὐτοὺς ἐπὶ τοῦ 2
Ἑλλησπόντου, ὅπως μέμψηταί τε τῶν περὶ τὴν Ἀνταν-
δρον γεγενημένων καὶ τὰς διαβολὰς καὶ περὶ τῶν Φοινισσῶν
νεῶν καὶ τῶν ἄλλων εὐπρεπέστατα ἀπολογήσηται. καὶ ἀφι-
κόμενος πρῶτον ἐς Ἔφεσον θυσίαν ἐποιήσατο τῇ Ἀρτέμιδι.
[ὅταν ὁ μετὰ τοῦτο τὸ θέρος χειμὼν τελευτήσῃ, ἓν καὶ εἰκο-
στὸν ἔτος πληροῦται.]

---

§ 2. πρὸς αὐτούς, τοὺς Πελοποννησίους. (Va.) — μέμψηται τῶν γεγενημένων. Gr. 47, 21. τε τῶν für τῶν die beſten Hſn. — διαβολάς. λείπει τὸ ἀπώσηται. (Sch.) Mehrere Hſn. fügen ἀπώσηται hinzu. Doch findet ſich ἀπολογεῖσθαι auch mit dem Ac., wenigſtens bei Spätern. (Hertlein). Verſchieden iſt ἀπολογεῖσθαι 3, 62, 4 zur Vertheidigung anführen. (Py.) — ὅταν — πληροῦται fehlt in einer Hſ., ſchon verdächtigt von Dodwell.

ΜΑΡΚΕΛΛΙΝΟΥ

ἐκ τῶν εἰς Θουκυδίδην σχολίων

περὶ τοῦ βίου αὐτοῦ Θουκυδίδου καὶ τῆς τοῦ λόγου ἰδέας.

---

1 Τῶν Δημοσθένους μύστας γεγενημένους θείων λόγων τε καὶ ἀγώνων, συμβουλευτικῶν τε καὶ δικανικῶν νοημάτων μεστοὺς γενομένους καὶ ἱκανῶς ἐμφορηθέντας, ὥρα λοιπὸν καὶ τῶν Θουκυδίδου τελετῶν ἐντὸς καταστῆναι· πολὺς γὰρ ἀνὴρ τέχναις καὶ κάλλει λόγων καὶ ἀκριβείᾳ πραγμάτων καὶ στρατηγικαῖς συμβουλαῖς καὶ πανηγυρικαῖς ὑποθέσεσιν. ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν τοῦ ἀνδρὸς καὶ τὸ γένος καὶ τὸν βίον· πρὸ γὰρ τῶν λόγων ταῦτα ἐξεταστέον τοῖς φρονοῦσι καλῶς.

Μαρκελλίνου. Ueber ihn ist nichts bekannt. Die Schrift selbst besteht wie sie vorliegt wenigstens aus drei Aufsätzen verschiedener Verfasser. — *ἐκ τῶν — ἰδέας* für *περὶ τοῦ Θουκυδίδου βίου καὶ τῆς ἰδέας αὐτοῦ ἀπὸ τῆς ὅλης ξυγγραφῆς παρεκβολή* eine gute Hs.

1. *ἀνήρ.* ὁ ἀνήρ Bk. — *ἀκριβείᾳ.* Aristid. π. τῶν τεττάρων p. 200 Cant.: (Θουκυδίδης ὁ Ὀλόρου) οὐ μόνον τῇ τῶν λόγων δυνάμει καὶ σεμνότητι ἀλλὰ καὶ τῇ τῶν πραγμάτων ἀκριβείᾳ πλεῖστον προέχειν τῶν συγγραφέων δοκεῖ. — *στρατηγικαῖς* für *στρατηγίαις καὶ* Grauert ad Marc. vit. Thuc. im Rhein. Mus. 1, 3.

Θουκυδίδης τοίνυν ὁ συγγραφεὺς Ὀλόρου μὲν προῆλθε 2
πατρός, τὴν ἐπωνυμίαν ἔχοντος ἀπὸ Ὀλόρου τοῦ Θρᾳκῶν
βασιλέως, καὶ μητρὸς Ἡγησιπύλης, ἀπόγονος δὲ τῶν εὐδο-
κιμωτάτων στρατηγῶν, λέγω δὴ τῶν περὶ Μιλτιάδην καὶ
Κίμωνα. ᾠκείωτο γὰρ ἐκ παλαιοῦ τῷ γένει πρὸς Μιλτιάδην
τὸν στρατηγόν, τῷ δὲ Μιλτιάδῃ πρὸς Αἰακὸν τὸν Διός.
οὕτως αὐχεῖ τὸ γένος ὁ συγγραφεὺς ἄνωθεν. καὶ τούτοις 3
Ἴδυμος μαρτυρεῖ, Φερεκύδην ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν
φάσκων οὕτως λέγειν· "Φιλαίας δὲ ὁ Αἴαντος οἰκεῖ ἐν
Ἀθήναις. ἐκ τούτου δὲ γίγνεται Λάϊκλος, τοῦ δὲ Ἐπίδυκος,
τοῦ δὲ Ἀκέστωρ, τοῦ δὲ Ἀγήνωρ, τοῦ δὲ Ὄλιος, τοῦ δὲ
Λύκης, τοῦ δὲ Τύφων, τοῦ δὲ Λάϊος, τοῦ δὲ Ἀγαμήστωρ,
τοῦ δὲ Τίσανδρος, [ἐφ' οὗ ἄρχοντος ἐν Ἀθήναις*] τοῦ δὲ
Μιλτιάδης, τοῦ δὲ Ἱπποκλείδης, ἐφ' οὗ ἄρχοντος Παναθή-
ναια ἐτέθη* τοῦ δὲ Μιλτιάδης, ὃς ᾤκησε Χερρόνησον."
μαρτυρεῖ τούτοις καὶ Ἑλλάνικος ἐν τῇ ἐπιγραφομένῃ Ἀσω- 4
πίδι. ἀλλ' οὐκ ἂν εἴποι τις, τί αὐτῷ πρὸς Θουκυδίδην;
ἔστι γὰρ οὕτως τούτου συγγενής. Θρᾷκες [καὶ] Λόλογκοι 5
ἐπολέμουν πρὸς Ἀψινθίους, ὄντας γείτονας· ταλαιπωρού-
μενοι δὲ τῷ πολέμῳ καὶ τι κακὸν οὐ πάσχοντες ἐκ τοῦ
μεῖον ἔχειν ἀεὶ τῶν πολεμίων καταφεύγουσιν ἐπὶ τὰ τοῦ
Θεοῦ χρηστήρια, εἰδότες ὅτι μόνος θεὸς ἐξ ἀμηχάνων
εὑρίσκει πόρους· θεοῦ γὰρ ἰσχὺς καὶ κατ' Αἰσχύλον
ὑπερτέρα, πολλάκις δ' ἐν κακοῖσι τὰν ἀμήχανον ἐκ χαλεπᾶς

---

2. Θουκυδίδης. Krügers Unterſuchungen über das Leben des Thuk. 1832. — δή. δέ? — γάρ für δέ eine gute Hſ. — τὸ γένος. τοῦ γένους?

3. Φερεκύδης nicht der Syrier, ſondern der Lerier oder Athener. vgl. Sturz Pher. fragmm. p. 84 ff. (Pp.) — Φιλαίας. Φιλαῖος Weſſeling z. Her. 6, 35. Ueber die Stammtafel Vömel Exerc. chronol. de aet. Sol. et Croesi. (Pp.) — Λάϊκλος. Αἶκλος Caſaub. — Ἐπίδυκος. Ἐπίδικος Grauert, Ἐπίλυκος Gö. — Τύφων. Τόφων eine gute Hſ., Ἰοφῶν Hertlein? — ἐφ' οὗ ἄρχοντος ἐν Ἀθήναις tilgen Rutgerſius, Corſini F. A. zu Ol. 53, 3 u Vömel, der τοῦ δὲ Τίσανδρος dafür hinzugefügt. — ἐτέθη ἐτέθη, καὶ Κύψελος Vömel. — ᾤκησε. ᾤκισε Steph. u. Caſ.; doch ſ. zu Th. 1, 6, 1.

5. Λόλογκοι für Λόλοπες Weſſ. zu Her. 6, 34. — θεός für ὁ θεός eine gute Hſ. — θεὸς — πόρους. nach Aeſch. Pro. 59. (Hudſon.) — Αἰσχύλον, Sieben 211 ff. (Hudſ.) Dort ſteht πολλάκι — κἀκ χαλ. — ὕπερθ' ὀμμάτων.

6 δύας ὕπέρ τε ὀμμάτων κρημναμέναν νεφέλαν ὀρθοῖ· καὶ οὐκ ἐψεύσθησαν τῶν ἐλπίδων· ἐχρήσθησαν γὰρ κράτιστον ἔξειν ἡγεμόνα τοῦτον ὃς ἂν αὐτοὺς ἁλωμένους ἐπὶ ξενίαν καλέσῃ. [τότε καὶ Κροῖσος εἶχε Λυδίαν καὶ τὰς Ἀθήνας ἡ Πεισιστρατιδῶν τυραννίς.] ἐπανιόντες οὖν ἀπὸ τοῦ χρηστηρίου περιέτυχον τῷ Μιλτιάδῃ πρὸ τῶν θυρῶν καθεζομένῳ τῆς αὐτοῦ οἰκίας, ἀχθομένῳ μὲν τῇ τυραννίδι, ζητοῦντι δὲ δικαίαν τῆς Ἀττικῆς ἔξοδον· ταῦτα γὰρ ᾠκονόμησεν ὁ
7 χρησμὸς αὐτοῖς. ὁρῶν οὖν αὐτοὺς πλανητῶν ἔχοντας στολήν, συνεὶς τί δύναται πλάνη καλεῖ τοὺς ἄνδρας ἐπὶ ξενίαν, ὑπηρετῶν τῷ χρησμῷ λανθάνων. οἱ δ' ἥσθησαν τὸν ἡγεμόνα τὸν ἀπὸ τῶν ξενίων εἰληφότες καὶ πάντα αὐτῷ διηγησάμενοι στρατηγὸν ἐχειροτόνησαν αὐτῶν. οἱ μὲν οὖν τὸν θεόν φασιν ἐρωτήσαντα ἐξελθεῖν, οἱ δὲ οὐκ ἄνευ γνώμης τοῦ τυράννου τὴν ἔξοδον πεποιηκέναι, ἀλλὰ τῷ κρατοῦντι τὴν πρόσκλησιν τῶν Θρᾳκῶν διηγησάμενον ἀπελθεῖν· ὃς καὶ προσδοὺς δύναμιν ἀπέπεμψεν, ἡσθεὶς ὅτι μέγα δυνάμενος
8 ἀνὴρ ἕξεισι τῶν Ἀθηνῶν. οὗτος οὖν ἡγούμενος ἐπλήρωσε τὰ μεμαντευμένα, καὶ μετὰ τὴν νίκην γίγνεται καὶ Χερρονήσου
9 οἰκιστής. ἀποθανόντος δὲ τοῦ παιδὸς αὐτοῦ διαδέχεται τὴν ἐν Χερρονήσῳ ἀρχὴν Στησαγόρας ὁ ..... ἀδελφὸς ὁμομή-
10 τριος. ἀποθανόντος δὲ καὶ τούτου διαδέχεται τὴν ἀρχὴν Μιλτιάδης, ὁμώνυμος μὲν τῷ πρώτῳ οἰκιστῇ, ἀδελφὸς δὲ
11 Στησαγόρου ὁμομήτριος καὶ ὁμοπάτριος. οὗτος οὖν, ὄντων αὐτῷ παίδων ἐξ Ἀττικῆς γυναικός, ὅμως ἐπιθυμῶν δυνα-
στείας λαμβάνει Θρᾳκῶν βασιλέως Ὀλόρου θυγατέρα Ἡγη-
12 σιπύλην πρὸς γάμον· ἐξ οὗ καὶ αὐτῆς γίνεται παιδίον. κατελθόντων δὲ εἰς τὴν Ἑλλάδα Περσῶν συσκευασάμενος τὰ αὐτοῦ εἰς τὰς Ἀθήνας πέμπει καὶ τὰ πολλὰ τοῦ γένους ἀποστέλλει. ἡ δὲ ναῦς ἁλίσκεται, ἐν ᾗ καὶ οἱ παῖδες αὐτοῦ, ἀλλ' οὐχ οἱ ἐκ τῆς γυναικὸς τῆς Θρᾳκικῆς· ἀφίενται δ' ὑπὸ βασιλέως, εἴ γε μὴ Ἡρόδοτος ψεύδεται. Μιλτιάδης δ' εἰς

---

6. καὶ οὐκ. κοὐκ Bk. — ἐχρήσθησαν sie erhielten ein Orakel, ungewöhnlich. — θυρῶν für ὀρῶν Rutgerſ. — τῆς αὐτοῦ οἰκίας für τῆς Ἀττικῆς derſ. vgl. jedoch Valck. zu Her. 6, 35. (Pp.)

7. ὅς für οἷς Caſaubonus.

9. ὁ ..... ἀδελφός. Die Lücke erkannte Bk. vgl. Her. 6, 38 f. αὐτοῦ nach ἀδελφός fehlt in einer guten Hſ.

12. ἁλίσκεται. Her. 6, 41. — Ἡρόδοτος hat dies nicht geſagt.

τὴν Ἀττικὴν ἐκ Θρᾴκης διαφυγὼν σώζεται. οὐκ ἀπέδρα δὲ καὶ τὴν τῶν (ἐχθρῶν) συκοφαντίαν· ἐγκλήματα γὰρ αὐτῷ 13
(ἐπέφερον) διεξιόντες τὴν τυραννίδα. ἀποφεύγει δὲ (καὶ τούτους καὶ) στρατηγὸς τοῦ πρὸς τοὺς βαρβάρους πολέμου γίγνεται. ἀπὸ τούτου οὖν ..... κατάγεσθαί φησι τὸ Θου- 14
κυδίδου γένος. καὶ μέγιστον τεκμήριον νομίζουσι τὴν πολλὴν περιουσίαν καὶ τὰ ἐπὶ Θράκης κτήματα καὶ ..... σύλη μέταλλα χρυσᾶ. δοκεῖ οὖν τισιν ..... εἶναι τοῦ Μιλτιάδου ἢ 15
Θυγατριδοῦς. παρέσχε δ' ἡμῖν τὴν ἄλλως αὐτὸς ζήτησιν, μηδεμίαν μνήμην περὶ τοῦ γένους πεποιημένος. μὴ ἀγνοῶ- 16
μεν δὲ τοῦτο ὅτι Ὄρολος ὁ πατὴρ αὐτῷ ἐστί, τῆς μὲν πρώτης συλλαβῆς τὸ ρ ἐχούσης, τῆς δὲ δευτέρας τὸ λ. αὕτη γὰρ ἡ γραφή, ὡς καὶ Διδύμῳ δοκεῖ, ἡμάρτηται. ὅτι γὰρ Ὄρολός ἐστιν, ἡ στήλη δηλοῖ ἡ ἐπὶ τοῦ τάφου αὐτοῦ κειμένη, ἔνθα κεχάραχται· "Θουκυδίδης Ὀρόλου Ἁλιμούσιος." πρὸς γαρ 17
ταῖς Μελιτίσι πύλαις καλουμέναις ἐστὶν ἐν Κοίλῃ τὰ καλούμενα Κιμώνια μνήματα, ἔνθα δείκνυται Ἡροδότου καὶ Θουκυδίδου τάφος. εὑρίσκεται δῆλον ὅτι τοῦ Μιλτιάδου γένους ὄντως· ξένος γὰρ οὐδεὶς ἐκεῖ θάπτεται. καὶ Πολέμων δὲ ἐν τῷ περὶ ἀκροπόλεως τούτοις μαρτυρεῖ· ἔνθα καὶ Τιμόθεον υἱὸν αὐτῷ γεγενῆσθαι προσιστορεῖ. ὁ δὲ Ἕρμιππος 18
καὶ ἀπὸ τῶν Πεισιστρατιδῶν αὐτὸν λέγει τῶν τυράννων ἔλκειν τὸ γένος, διὸ καὶ διαφθονεῖν αὐτόν φησιν ἐν τῇ συγγραφῇ τοῖς περὶ Ἁρμόδιον καὶ Ἀριστογείτονα, λέγοντα ὡς

---

13. δὲ καί. δὲ τοὺς ἐχθροὺς καὶ Grauert. — ἐχθρῶν, ἐπέφερον u. καὶ τούτους καὶ sind aus Suidas zugefügt.

14. οὖν. Die Lücke hat eine gute Hs. — καὶ .. σύλη. καὶ ἐν Σκαπτησύλῃ Pp., καὶ τὰ ἐν Σ. Bk.

15. τισίν. ἀδελφιδοῦς fügt Casaubonus hinzu, υἱδοῦς Pierson; ohne Lücke will Wuttcke ὁ für ᾗ lesen.

16. Ὄρολος. Ὅλορος, οὐκ Ὄρολος u. im Folgenden zwei Mal Ὅλορος Grauert.

17. Μελιτίσι für Μελιρίσι Steph. u. Casaub. — Κοίλῃ. Kr. Unterf. S. 69. — Ἡροδότου. Ἡρώδου Coraes zu Plut. Kim. 4, Ὀλόρου Sauppe. — εὑρίσκεται. εὑρίσκονται Schäfer. — ὄντως. ὄντες derselbe, ὢν Pp., ὄντως ὢν Grauert. — Τιμόθεον υἱόν für θεονυ Steph. u. Casaub.

18. λέγει. Kr. S. 5 f. — λέγοντα 6, 54 ff.

οὐκ ἐγένοντο τυραννοφόνοι· οὐ γὰρ ἐφόνευσαν τὸν τύραννον;
19 ἀλλὰ τὸν ἀδελφὸν τοῦ τυράννου Ἵππαρχον. ἠγάγετο δὲ γυ-
ναῖκα ἀπὸ Σκαπτησύλης τῆς Θρᾴκης. πλουσίαν σφόδρα καὶ
20 μέταλλα κεκτημένην ἐν τῇ Θρᾴκῃ. τοῦτον δὲ τὸν πλοῦτον
λαμβάνων οὐκ εἰς τρυφὴν ἀνήλισκεν, ἀλλὰ πρὸ τοῦ Πελο-
ποννησιακοῦ πολέμου τὸν πόλεμον αἰσθηθεὶς κινεῖσθαι μέλ-
λοντα προελόμενος συγγράψαι αὐτὸν παρεῖχε πολλὰ τοῖς
Ἀθηναίων στρατιώταις καὶ τοῖς Λακεδαιμονίων καὶ πολλοῖς
ἄλλοις, ἵνα ἀπαγγέλλοιεν αὐτῷ βουλομένῳ συγγράφειν τὰ
γινόμενα κατὰ καιρὸν καὶ λεγόμενα ἐν αὐτῷ τῷ πολέμῳ.
21 ζητητέον δὲ διὰ τί καὶ Λακεδαιμονίοις παρεῖχε καὶ ἄλλοις,
ἐξὸν Ἀθηναίοις διδόναι μόνοις καὶ παρ' ἐκείνων μανθάνειν.
καὶ λέγομεν ὅτι οὐκ ἀσκόπως καὶ τοῖς ἄλλοις παρεῖχεν·
σκοπὸς γὰρ ἦν αὐτῷ τὴν ἀλήθειαν τῶν πραγμάτων συγγρά-
ψαι, εἰκὸς δὲ ἦν Ἀθηναίους πρὸς τὸ χρήσιμον ἑαυτῶν ἀπαγ-
γέλλοντας ψεύδεσθαι καὶ λέγειν πολλάκις ὡς ἡμεῖς ἐνικήσα-
μεν, οὐ νικήσαντας. διὸ πᾶσι παρεῖχεν, ἐκ τῆς τῶν πολ-
λῶν συμφωνίας θηρώμενος τὴν τῆς ἀληθείας κατάληψιν· τὸ
γὰρ ἀσαφὲς ἐξελέγχεται τῇ τῶν πολλῶν συναδούσῃ συμφωνίᾳ.
22 ἤκουσε δὲ διδασκάλων Ἀναξαγόρου μὲν ἐν φιλοσόφοις,
ὅθεν, φησὶν ὁ Ἄντυλλος, καὶ ἄθεος ἠρέμα ἐνομίσθη, τῆς
ἐκεῖθεν θεωρίας ἐμφορηθείς, Ἀντιφῶντος δὲ ῥήτορος, δει-
νοῦ τὴν ῥητορικὴν ἀνδρός, οὗ καὶ μέμνηται ἐν τῇ ὀγδόῃ ὡς
αἰτίου τῆς καταλύσεως τῆς δημοκρατίας καὶ τῆς τῶν τετρακο-
σίων καταστάσεως. ὅτι δὲ μετὰ τὸν θάνατον τιμωρούμενοι
τὸν Ἀντιφῶντα οἱ Ἀθηναῖοι ἔρριψαν ἔξω τῆς πόλεως τὸ
σῶμα, σεσιώπηκεν ὡς διδασκάλῳ χαριζόμενος· λέγεται γὰρ
ὡς ἔρριψαν αὐτοῦ τὸ σῶμα οἱ Ἀθηναῖοι ὡς αἰτίου τῆς
23 μεταβολῆς τῆς δημοκρατίας. οὐκ ἐπολιτεύσατο δ' ὁ συγγρα-
φεὺς γενόμενος ἐν ἡλικίᾳ οὐδὲ προσῆλθε τῷ βήματι, ἐστρα-
τήγησε δ', ἀρχέκακον ἀρχὴν παραλαβών· ἀπὸ γὰρ ταύτης

---

19. πλουσίαν. Kr. S. 40 ff.

20. αἰσθηθείς. Derselbe Ao. Hiob 14, 23, wie αἰσθηθήσομαι Jes. 33, 11. (Pp.)

22. Ἀναξαγόρου. Kr. S. 37 f. — ἄθεος heißt jeder Orthodoxie Jeder der ihren Aberglauben ablehnt. — Ἀντιφῶντος. Kr. S. 33 ff. — ἐν τῇ ὀγδόῃ S. 68.

φυγαδεύεται. πεμφθεὶς γὰρ ἐπ' Ἀμφίπολιν Βρυσίδου φθάσαντος καὶ προλαβόντος αὐτὴν ἔσχεν αἰτίαν, καίτοι μὴ πάντα κατασταὰς ἀνόνητος Ἀθηναίοις· τῆς μὲν γὰρ ἁμαρτάνει, Ἠιόνα δὲ τὴν ἐπὶ Στρυμόνι λαμβάνει. ἀλλὰ καὶ οὕτως τὸ πρῶτον ἀτύχημα εἰς ἁμάρτημα μεταλαβόντες φυγαδεύουσιν αὐτόν. γενόμενος δ' ἐν Αἰγίνῃ μετὰ τὴν φυγήν, 24
ὡς ἂν πλουτῶν, ἐδάνεισε τὰ πλεῖστα τῶν χρημάτων. ἀλλὰ 25
κἀκεῖθεν μετῆλθε καὶ διατρίβων ἐν Σκαπτῇ ὕλῃ ὑπὸ πλατάνῳ ἔγραφεν· μὴ γὰρ δὴ πειθώμεθα Τιμαίῳ λέγοντι ὡς φυγὼν ᾤκησεν ἐν Ἰταλίᾳ. ἔγραφε δ' οὐδ' οὕτως μνησικακῶν 26
τοῖς Ἀθηναίοις, ἀλλὰ φιλαλήθης ὢν καὶ τὰ ἤθη μέτριος, εἴ γε οὔτε Κλέων παρ' αὐτῷ οὔτε Βρασίδας ὁ τῆς συμφορᾶς αἴτιος ἀπέλαυσε λοιδορίας, ὡς ἂν τοῦ συγγραφέως ὀργιζομένου. καίτοι οἱ πολλοὶ τοῖς ἰδίοις πάθεσι συνέθεσαν τὰς 27
ἱστορίας, ἥκιστα μελήσαν αὐτοῖς τῆς ἀληθείας. Ἡρόδοτος μὲν γὰρ ὑπεροφθεὶς ὑπὸ Κορινθίων ἀποδρᾶναί φησιν αὐτοὺς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, Τίμαιος δ' ὁ Ταυρομενίτης Τιμολέοντα ὑπερεπῄνεσε τοῦ μετρίου, καθότι Ἀνδρόμαχον τὸν αὐτοῦ πατέρα οὐ κατέλυσε τῆς μοναρχίας· Φίλιστος δὲ τῷ νέῳ Διονυσίῳ τοῖς λόγοις πολεμεῖ, Ξενοφῶν δὲ Μένωνι λοιδορεῖται τῷ Πλάτωνος ἑταίρῳ διὰ τὸν πρὸς Πλάτωνα ζῆλον. ὁ δὲ μέτριος καὶ ἐπιεικής, τῆς ἀληθείας ἥττων.

Μὴ ἀγνοῶμεν δὲ ὅτι ἐγένοντο Θουκυδίδαι πολλοί, οὗ- 28
τός τε ὁ Ὀλόρου παῖς καὶ δεύτερος δημαγωγός, Μιλησίου, ὃς καὶ Περικλεῖ διεπολιτεύσατο· τρίτος δὲ γένει Φαρσάλιος, οὗ μέμνηται Πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως, φάσκων αὐτὸν εἶναι πατρὸς Μένωνος. τέταρτος ἄλλος Θουκυδίδης

---

23. ἐπ' Ἀμφίπολιν. eig. nach Thrake 4, 104, 2. vgl. jedoch 5, 26, 5. — Ἠιόνα. 4, 104, 3. — φυγαδεύουσιν αὐτόν. vgl. § 46. 55 u. Kr. S. 45 ff.

25. ἐν Αἰγίνῃ. Falsch. Kr. S. 48. — ἐν Σκαπτησύλῃ. Kr. S. 49 ff.

27. φησιν 8, 94. — τῆς μοναρχίας, über das von ihm hergestellte Tauromenion. (Pv.) — πολεμεῖ. συμπολεμεῖ Grauert. — Ξενοφῶν Anab. 2, 6, 21 ff.

28. Μιλησίου. Μελησίας bei Platon. — διεπολιτεύσατο, ἀντεπολιτεύσατο. (Pp.) — Φαρσάλιος Thuk. 8, 92, 8.

ποιητής, τὸν δῆμον Ἀχερδούσιος, οὗ μέμνηται Ἀνδροτίων
29 ἐν τῇ Ἀτθίδι, λέγων εἶναι υἱὸν Ἀριστωνος· συνεχρόνισε
δ', ὡς φησὶ Πραξιφάνης ἐν τῷ περὶ ἱστορίας, Πλάτωνι τῷ
κωμικῷ, Ἀγάθωνι τραγικῷ, Νικηράτῳ ἑποποιῷ καὶ Χοιρίλῳ
30 καὶ Μελανιππίδῃ. καὶ ἐπεὶ μὲν ἔζη Ἀρχέλαος, ἄδοξος ἦν
ὡς ἐπὶ πλεῖστον, ὡς αὐτὸς Πραξιφάνης δηλοῖ, ὕστερον δὲ
δαιμονίως ἐθαυμάσθη.

31 Οἱ μὲν οὖν αὐτὸν ἐκεῖ λέγουσιν ἀποθανεῖν ἔνθα καὶ
διέτριβε φυγὰς ὧν καὶ φέρουσι μαρτύριον τοῦ μὴ κεῖσθαι
τὸ σῶμα ἐπὶ τῆς Ἀττικῆς· ἴκριον γὰρ ἐπὶ τοῦ τάφου κεῖ-
σθαι, τοῦ κενοταφίου δὲ τοῦτο γνώρισμα εἶναι ἐπιχώριον
καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ τοιαύτῃ δυστυχίᾳ τετελευτη-
32 κότων καὶ μὴ ἐν Ἀθήναις ταφέντων. Ἀίδυμος δ' ἐν Ἀθήναις
ἀπὸ τῆς φυγῆς ἐλθόντα βιαίῳ θανάτῳ φησὶν ἀποθανεῖν· τοῦτο
δέ φησι Ζώπυρον ἱστορεῖν. τοὺς γὰρ Ἀθηναίους κάθοδον δε-
δωκέναι τοῖς φυγάσι πλὴν τῶν Πεισιστρατιδῶν μετὰ τὴν ἧτταν
[τὴν ἐν Σικελίᾳ]. ἥκοντα οὖν αὐτὸν ἀποθανεῖν βίᾳ καὶ τε-
θῆναι ἐν τοῖς Κιμωνίοις μνήμασιν. καὶ καταγινώσκειν εὐή-
θειαν ἔφη τῶν νομιζόντων αὐτὸν ἐκτὸς μὲν τετελευτηκέναι,
ἐπὶ γῆς δὲ τῆς Ἀττικῆς τεθάφθαι· ἢ γὰρ οὐκ ἂν ἐτέθη ἐν
τοῖς πατρῴοις μνήμασιν ἢ κλέβδην τεθεὶς οὐκ ἂν ἔτυχεν
οὔτε στήλης οὔτε ἐπιγράμματος, ἢ τῷ τάφῳ προσκειμένη
τοῦ συγγραφέως μηνύει τοὔνομα. ἀλλὰ δῆλον ὅτι κάθοδος
ἐδόθη τοῖς φεύγουσιν, ὡς καὶ Φιλόχορος λέγει καὶ Δημή-
33 τριος ἐν τοῖς ἄρχουσιν. ἐγὼ δὲ Ζώπυρον ληρεῖν νομίζω
λέγοντα τοῦτον ἐν Θρᾴκῃ τετελευτηκέναι, κἂν ἀληθεύειν νο-
μίζῃ Κράτιππος αὐτόν. τὸ δ' ἐν Ἰταλίᾳ Τίμαιον αὐτὸν καὶ
34 ἄλλους λέγειν κεῖσθαι μὴ καὶ σφόδρα καταγέλαστον ᾖ. λέ-

---

29. *συνεχρόνισε*, der Dichter. Kr. 61, ff. — *Χοιρίλῳ* flir *Χοιριδίῳ* Steph. u. Casaub.

30. *Ἀρχέλαος*. Kr. S. 62. — *αὐτός*. *ὁ αὐτός* Pp.

31. *ἴκριον*, *ἱστόν*, eig bei den zur See Umgekommenen aufgerichtet. vgl. Hesych. u. Eustath. zu Il. *ι*, 64 u. *γ*, 353. (Grauert.)

32. *ἐλθόντα*. Kr. S. 56 ff. — *τὴν ἐν Σικελίᾳ* ist irrig oder zu tilgen. — *ἢ γάρ* für *εἰ γάρ* Bk. — *ἢ κλέβδην* hat Bk. zugefügt.

33. *Θρᾴκῃ*. *Ἀττικῇ* Pp. — *Κράτιππος*. Kr. S. 56 f.

γεται δ' αὐτὸν τὸ εἶδος γεγονέναι σύννουν μὲν τὸ πρόσωπον, τὴν δὲ κεφαλὴν καὶ τὰς τρίχας εἰς ὀξὺ πεφυκυίας, τήν τε λοιπὴν ἕξιν προσπεφυκέναι τῇ συγγραφῇ. παύσασθαι δὲ τὸν βίον ὑπὲρ τὰ πεντήκοντα ἔτη, μὴ πληρώσαντα τῆς συγγραφῆς τὴν προθεσμίαν.

Ζηλωτὴς δὲ γέγονεν ὁ Θουκυδίδης εἰς μὲν τὴν οἰκονο- 35
μίαν Ὁμήρου, Πινδάρου δὲ εἰς τὸ μεγαλοφυὲς καὶ ὑψηλὸν τοῦ χαρακτῆρος, ἀσαφῶς δὲ λέγων ἀνὴρ ἐπίτηδες, ἵνα μὴ πᾶσιν εἴη βατός, μηδὲ εὐτελὴς φαίνηται παντὶ τῷ βουλομένῳ νοούμενος εὐχερῶς, ἀλλὰ τοῖς λίαν σοφοῖς δοκιμαζόμενος παρὰ τούτοις θαυμάζηται· ὁ γὰρ τοῖς ἀρίστοις ἐπαινούμενος καὶ κεκριμένην δόξαν λαβὼν ἀνάγραπτον εἰς τὸν ἔπειτα χρόνον κέκτηται τὴν τιμήν, οὐ κινδυνεύουσαν ἐξαλειφθῆναι τοῖς ἐπικρίνουσιν. ἐζήλωσε δὲ ἐπ' ὀλίγον, ὡς φησὶν Ἄντυλλος, 36
καὶ τὰς Γοργίου τοῦ Λεοντίνου παρισώσεις καὶ τὰς ἀντιθέσεις τῶν ὀνομάτων, εὐδοκιμούσας κατ' ἐκεῖνο καιροῦ παρὰ τοῖς Ἕλλησι, καὶ μέντοι καὶ Προδίκου τοῦ Κείου τὴν ἐπὶ τοῖς ὀνόμασιν ἀκριβολογίαν. μάλιστα δὲ πάντων, ὅπερ εἴ- 37
πομεν, ἐζήλωσεν Ὅμηρον καὶ τῆς περὶ τὰ ὀνόματα ἐκλογῆς καὶ τῆς περὶ τὴν σύνθεσιν ἀκριβείας, τῆς τε ἰσχύος τῆς κατὰ τὴν ἑρμηνείαν καὶ τοῦ κάλλους καὶ τοῦ τάχους. τῶν δὲ πρὸ 38
αὐτοῦ συγγραφέων τε καὶ ἱστορικῶν ἀψύχους ὥσπερ εἰσαγόντων τὰς συγγραφὰς καὶ ψιλῇ μόνῃ χρησαμένων διὰ παντὸς διηγήσει, προσώποις δὲ οὐ περιθέντων λόγους τινὰς οὐδὲ ποιησάντων δημηγορίας, ἀλλ' Ἡροδότου μὲν ἐπιχειρήσαντος, οὐ μὴν ἐξισχύσαντος — δι' ὀλίγων γὰρ ἐποίησε λόγων ὡς προσωποποιίας μᾶλλον ἤπερ δημηγορίας — μόνος ὁ συγγραφεὺς ἐξεῦρέ τε δημηγορίας καὶ τελείως ἐποίησε

---

34. προσπεφυκέναι zugewachsen gebildet sein. — ὑπὲρ τὰ πεντήκοντα ἔτη. Kr. S. 7 ff. u. Nachtrag S. 6 f.

35. λέγων ἀνὴρ ἐπίτηδες. λέγειν ἄνὴρ ἐπιτηδεύει Grauert. — βατός zugänglich, wie in dem Epigr. Brunck Anal. 3 p. 265, das denselben Irrthum über Thuk. ausspricht.

36. ἐζήλωσε. Kr. S. 39 f.

37. τῆς ἐκλογῆς. Gr. 47, 21. Doch ist der Ge. so gebraucht hart. — τάχους. Kr. Ind. z. Dion. u. die Erkl. zu Plin. ep. 1, 20, 18.

38. ἀψύχους ὥσπερ. ὥσπερ ἀψύχους? — μετὰ κ. καί. καὶ

μετὰ κεφαλαίων καὶ διαιρέσεως, ὥστε καὶ στάσει ὑποπίπτειν
39 τὰς δημηγορίας· ὅπερ ἐστὶ λόγων τελείων εἰκών. τριῶν δὲ
ὄντων χαρακτήρων φραστικῶν, ὑψηλοῦ, ἰσχνοῦ, μέσου, παρεὶς
τοὺς ἄλλους ἐζήλωσε τὸν ὑψηλὸν ὡς ὄντα τῇ φύσει πρόσ-
φορον τῇ οἰκείᾳ καὶ τῷ μεγέθει πρέποντα τοῦ τοσούτου
πολέμου· ὧν γὰρ αἱ πράξεις μεγάλαι, καὶ τὸν περὶ αὐτῶν
40 ἔπρεπε λόγον ἐοικέναι ταῖς πράξεσιν. ἵνα δὲ μηδὲ τοὺς
ἄλλους ἀγνοῇς χαρακτῆρας, ἴσθι ὅτι μέσῳ μὲν Ἡρόδοτος
ἐχρήσατο, ὃς οὔτε ὑψηλός ἐστιν οὔτε ἰσχνός, ἰσχνῷ δὲ ὁ
41 Ξενοφῶν. διά γε οὖν τὸ ὑψηλὸν ὁ Θουκυδίδης καὶ ποιητι-
καῖς πολλάκις ἐχρήσατο λέξεσι καὶ μεταφοραῖς τισι. περὶ δὲ
πάσης τῆς συγγραφῆς ἐτόλμησάν τινες ἀποφήνασθαι ὅτι αὐτὸ
τὸ εἶδος τῆς συγγραφῆς οὐκ ἔστι ῥητορικῆς ἀλλὰ ποιητικῆς.
καὶ ὅτι μὲν οὐκ ἔστι ποιητικῆς, δῆλον ἐξ ὧν οὐχ ὑποπίπτει
μέτρῳ τινί. εἰ δέ τις ἡμῖν ἀντείποι ὅτι οὐ πάντως ὁ πεζὸς
λόγος ῥητορικῆς ἐστίν, ὥσπερ οὐδὲ τὰ Πλάτωνος συγγράμ-
ματα οὐδὲ τὰ ἰατρικά, λέγομεν ὅτι ἀλλ' ἡ συγγραφὴ κεφα-
42 λαίοις διαιρεῖται καὶ ἐπὶ εἶδος ἀνάγεται ῥητορικῆς, κοινῶς
μὲν πᾶσα συγγραφὴ ἐπὶ τὸ συμβουλευτικόν — ἄλλοι δὲ καὶ
ὑπὸ τὸ πανηγυρικὸν ἀνάγουσι, φάσκοντες ὅτι ἐγκωμιάζει
τοὺς ἀρίστους ἐν τοῖς πολέμοις γενομένους — ἐξαιρέτως δὲ
ἡ Θουκυδίδου ἐν τοῖς τρισὶν εἴδεσιν ὑποπίπτει, τῷ μὲν συμ-
βουλευτικῷ διὰ τῶν ὅλων δημηγοριῶν πλὴν τῆς Πλαταιέων
καὶ Θηβαίων ἐν τῇ τρίτῃ, τῷ δὲ πανηγυρικῷ διὰ τοῦ ἐπι-
ταφίου, τῷ δὲ δικανικῷ διὰ τῆς δημηγορίας τῶν Πλαταιέων
καὶ τῶν Θηβαίων, ἃς ἀνωτέρω τῶν ἄλλων ὑπεξειλόμεθα.
ὅπου γὰρ δικασταὶ κρίνουσι Λακεδαιμονίων οἱ παραγενό-
μενοι, καὶ κρίνεται πρὸς τὴν ἐρώτησιν ὁ Πλαταιεὺς καὶ ἀπο-
λογεῖται περὶ ὧν ἐρωτᾶται διὰ πλειόνων τοὺς λόγους ποιού-
μενος, καὶ ἀντιλέγει τούτοις ὁ Θηβαῖος εἰς ὀργὴν τὸν
Λακεδαιμόνιον προκαλούμενος, ἡ τοῦ λόγου τάξις καὶ μέ-
θοδος καὶ τὸ σχῆμα δικανικὸν καθαρῶς ἀποφαίνει τὸ εἶδος.

μετὰ κ. Grauert. — στάσει ὑποπίπτειν auf beſtimmte Kategorien zurückgeführt werden können. — εἰκών. οἰκεῖον Grauert.

41. ἀλλ' ἢ wenigſtens die. (Pp.)

42. ἐν vor τοῖς würde man gern entbehren. (Pp.) — ἐν τῇ τρίτῃ, 53 ff. — τοῦ ἐπιταφίου 2, 35 ff. — τὰς δημηγορίας — 3, 53 ff. — πρὸς τὴν ἐρώτησιν 3, 52, 3. 68, 1.

Λέγουσι δέ τινες τὴν ὀγδόην ἱστορίαν νοθεύεσθαι καὶ 43
μὴ εἶναι Θουκυδίδου, ἀλλ' οἱ μέν φασιν εἶναι τῆς θυγατρὸς
αὐτοῦ, οἱ δὲ Ξενοφῶντος. πρὸς οὓς λέγομεν ὅτι τῆς μὲν
θυγατρὸς ὡς οὐκ ἔστι δῆλον· οὐ γὰρ γυναικείας ἦν φύσεως
τοιαύτην ἀρετήν τε καὶ τέχνην μιμήσασθαι· ἔπειτα, εἰ τοι-
αύτη τις ἦν, οὐκ ἂν ἐσπούδασε λαθεῖν, οὐδ' ἂν τὴν ὀγδόην
ἔγραψε μόνον, ἀλλὰ καὶ ἄλλα πολλὰ κατέλιπεν ἄν, τὴν οἰ-
κείαν ἐκφαίνουσα φύσιν. ὅτι δὲ οὐδὲ Ξενοφῶντός ἐστιν, ὁ
χαρακτὴρ μόνον οὐχὶ βοᾷ· πολὺ γὰρ τὸ μέσον ἰσχνοῦ χαρα-
κτῆρος καὶ ὑψηλοῦ. οὐ μὴν οὐδὲ Θεοπόμπου, καθά τινες
ἠξίωσαν. τισὶ δέ, καὶ μᾶλλον τοῖς χαριεστέροις, Θουκυ- 44
δίδου μὲν εἶναι δοκεῖ, ἄλλως δ' ἀκαλλώπιστος, δι' ἐκτύπων
γεγραμμένη, καὶ πολλῶν πλήρης ἐν κεφαλαίῳ πραγμάτων
καλλωπισθῆναι καὶ λαβεῖν ἔκτασιν δυναμένων. ἔνθεν καὶ
λέγομεν ὡς ἀσθενέστερον πέφρασται, καὶ ὀλίγον καθότι ἀρ-
ρωστιῶν αὐτὴν φαίνεται συντεθειχώς. ἀσθενοῦντος δὲ σώ-
ματος βραχύ τι καὶ ὁ λογισμὸς ἀτονώτερος εἶναι φιλεῖ·
μικροῦ γὰρ συμπάσχουσιν ἀλλήλοις ὅ τε λογισμὸς καὶ τὸ
σῶμα.

Ἀπέθανε δὲ μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν ἐν 45
τῇ Θρᾴκῃ, συγγράφων τὰ πράγματα τοῦ εἰκοστοῦ καὶ πρώ-
του ἐνιαυτοῦ· εἴκοσι γὰρ καὶ ἑπτὰ κατέσχεν ὁ πόλεμος. τὰ
δὲ τῶν ἄλλων ἐξ ἐτῶν πράγματα ἀναπληροῖ ὅ τε Θεόπομπος
καὶ ὁ Ξενοφῶν, οἷς συνάπτει τὴν Ἑλληνικὴν ἱστορίαν. ἱστέον 46
δὲ ὅτι στρατηγήσας ὁ Θουκυδίδης ἐν Ἀμφιπόλει καὶ δόξας
ἐκεῖ βραδέως ἀφικέσθαι καὶ προλαβόντος αὐτὸν τοῦ Βρα-
σίδου ἐφυγαδεύθη ὑπ' Ἀθηναίων, διαβάλλοντος αὐτὸν τοῦ
Κλέωνος· διὸ καὶ ἀπεχθάνεται τῷ Κλέωνι καὶ ὡς μεμηνότα
αὐτὸν εἰσάγει πανταχοῦ. καὶ ἀπελθών, ὡς φασιν, ἐν τῇ

---

43. νοθεύεσθαι. Kr. S. 74 ff. vgl. z. Dion. p. 251 ff.

44. καὶ ὀλίγον. κατ' ὀλίγον Grauert, κατὰ λόγον Bk. u. Gö. — μικροῦ. Gr. 47, 16 A. 6.

45. οἷς. ὅς Grauert. vgl. Kr. Stud. S. 258.

46. φασιν für φησιν Grauert.

47 Θράκῃ τὸ κάλλος ἐκεῖ τῆς συγγραφῆς συνέθηκεν. ἀφ' οὗ μὲν γὰρ ὁ πόλεμος ἤρξατο, ἐσημειοῦτο τὰ λεγόμενα ἅπαντα καὶ τὰ πραττόμενα, οὐ μὴν κάλλους ἐφρόντισε τὴν ἀρχὴν ἀλλ' ἢ τοῦ μόνον σῶσαι τῇ σημειώσει τὰ πράγματα· ὕστερον δὲ μετὰ τὴν ἔξοριαν ἐν Σκαπτῇ ὕλῃ τῆς Θράκης χωρίῳ δι-
48 αιτώμενος συνέταξε μετὰ κάλλους ἃ ἐξ ἀρχῆς μόνον ἐση-
μειοῦτο διὰ τὴν μνήμην. ἔστι δὲ τοῖς μύθοις ἐναντίος διὰ τὸ χαίρειν ταῖς ἀληθείαις. οὐ γὰρ ἐπετήδευσε τοῖς ἄλλοις ταὐτὸν συγγραφεῦσιν οὐδὲ ἱστορικοῖς, οἳ μύθους ἐγκατέμιξαν ταῖς ἑαυτῶν ἱστορίαις, τοῦ τερπνοῦ πλέον τῆς ἀληθείας ἀντι-
ποιούμενοι. ἀλλ' ἐκεῖνοι μὲν οὕτω, τῷ συγγραφεῖ δ' οὐκ ἐμέλησε πρὸς τέρψιν τῶν ἀκουόντων ἀλλὰ πρὸς ἀκρίβειαν τῶν μανθανόντων γράφειν. καὶ γὰρ ὠνόμασεν ..... ἀγώ-
νισμα τὴν ἑαυτοῦ συγγραφήν. πολλὰ γὰρ τῶν πρὸς ἡδονὴν ἀπέφυγε, τὰς παρενθήκας ἃς εἰώθασι ποιεῖν οἱ πλείονες
49 ἀποκλίνας, ὅπου γε καὶ παρ' Ἡροδότῳ καὶ ὁ δελφίς ἐστιν ὁ φιλήκοος καὶ Ἄριων ὁ κυβερνώμενος μουσικῇ, καὶ ὅλως ἡ δευτέρα τῶν ἱστοριῶν τὴν ὑπόθεσιν ψεύδεται. ὁ δὲ συγγρα-
φεὺς οὗτος ἂν ἀναμνησθῇ τινος περιττοῦ, διὰ μὲν τὴν ἀνάγ-
κην λέγει, διηγεῖται δὲ μόνον εἰς γνῶσιν τῶν ἀκουόντων ἀφικνούμενος· ὅ τε γὰρ περὶ Τηρέως αὐτῷ λόγος πέφρα-
σται μόνον περὶ παθῶν τῶν γυναικῶν, ἥ τε Κυκλώπων ἱστορία τῶν τόπων ἐμνημονεύθη χάριν, καὶ ὁ Ἀλκμαίων ὅτε σωφρονεῖν μνημονεύεται, ἔνθα τὰ τῆς σωφροσύνης αὐτοῦ
50 νήσους ποιεῖ, τὰ δ' ἄλλα οὐκ ἀκριβοῖ. περὶ μὲν οὖν τοὺς μύθους τοιοῦτος, δεινὸς δὲ ἠθογραφῆσαι, καὶ ἐν μὲν τοῖς μέρεσι σαφής, ὑπὸ δὲ τὴν σύνταξιν ἐνίοτε διὰ τὸ ἐπιτεῖνον

---

48. πλέον. πλέον ἤ Pp. doch s. Gr. 47, 27 A. 1. — ὠνόμασεν. χτῆμα ἐς ἀεὶ μᾶλλον ὠνόμασεν ἤ A. Ps. u. Steph. vgl. 1, 22, 3.

49. ὅπου γε für ὅπου γάρ Schäfer z. Dion. p. 68. — κυβερνώμενος. Ein andres Beispiel dieses Med. führt Steph. aus Aristot. an. (Pp.) — Τηρέως 2, 29, 2 f. — Κυκλώπων 6, 2, 1. — ὁ Ἀλκμαίων 2, 102, 4. — ὅτε σωφρονεῖν. ὅτ' ἐσωφρόνει Grauert. ὅτε μητροκτονεῖν? — ἔνθα. ἐνταῦθα Pp, μνημονεύεται ἔνθα! — σωφροσύνης. κακοφροσύνης? — ποιεῖ. οἰκίζει oder οἰκητὰς ποιεῖ Grauert. — ἀκριβοῖ verfolgt genau. (Pp.)

50 ὑπό. περί Bf., κατά Pp. — ἐπιτεῖνον Länge der Perioden und Gedanken meint Ernesti Lex. techn. Wohl eher Ge-

τῆς ἑρμηνείας ἄδηλος εἶναι δοκῶν. ἔχει δὲ χαρακτῆρα ὑπέρσεμνον καὶ μέγαν, τὸ δὲ τῆς συνθέσεως τραχύτητος ὂν μεστὸν καὶ ἐμβριθὲς καὶ ὑπερβατικόν, ἐνίοτε δὲ καὶ ἀσαφές. αἱ δὲ βραχύτητες θαυμασταὶ καὶ τῶν λέξεων οἱ νόες πλείονες. τὸ δὲ γνωμολογικὸν αὐτοῦ πάνυ ἐπαινετόν. ἐν δὲ 51
